This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

DEPARTMENT OF
THE HISTORY OF ART
OXFORD

Ex Libris.
REV. W. TELFER.

J. F. Bethune-Baker.

# CONSTITUTIONES APOSTOLORUM.

P. A. DE LAGARDE

EDIDIT.

SUMTIBUS EDITORIS. FORMIS TEUBNERIANIS.

LIPSIAE
B. G. TEUBNER.

LONDINII
WILLIAMS & NORGATE.

1862.

ASHMOLEAN
OXFORD
MUSEUM
24 JAN 1957

DEPT. HISTORY
OXFORD
OF ART

Constitutionum*) apostolicarum codices quatuor**) sunt:

w petropolitanus graecus 254 p $1^a$—$138^b$, scriptus anno 1111, foliorum 149. antea Petri Dubrowsky fuerat, Montefalconii tempore coislinianus 212 (Montfaucon bibl coisl II p 271), in cuius locum menologii graeci partem nescio quam suffectam inveni, quum anno 1853 ineunte Parisiis conferre vellem. quibus autem hominibus debeam ut tandem Petropoli inventum excutere ipse possem, id hoc loco silentio praetereundum esse credo, ne non tam gratus esse quam illorum benevolentia gloriari velle videar.

x vindobonensis historicus graecus 46 p $2^a$—$184^b$, ab Augerio de Busbecke Constantinopoli comparatus, foliorum 195, quorum quae constitutiones continent saeculo XIV scripta sunt. Lambeck VIII p 951 ed Kollar. folia nonnulla a bibliopego transposita sunt, nam 153—160 esse debent ante 145—152.

y vindobonensis historicus graecus 47 p $1^a$—$124^b$, chartaceus, foliorum 183, saeculo XVI a pluribus librariis exaratus, quorum is qui partem priorem (1—75) scripsit in parte altera correctorem egit. ad Sebastiani Tengnagelii bibliothecam pertinuerat. Lambeck VIII p 958.

---

*) opus inscribitur *αἱ τῶν ἁγίων ἀποστόλων διατάξεις* et paulo superius ΑΡΧ ΣΥΝΘΩ ΤΩΝ ΑΠΟΣΤΟΛΙΚΩΝ ΔΙΑΤΑΞΕΩΝ in w, ***διαταγαὶ τῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος τοῦ Ῥωμαίων ἐπισκόπου τε καὶ πολίτου καθολικὴ διδασκαλία διὰ βιβλίων ὀκτώ*** in prima pagina Turriani [accentus addidi], qui singulis foliis *Διαταγαὶ τῶν ἀποστόλων* praeposuit. x singulis tantum libris titulos praemittit, sed $1^b$ a manu recentiori legitur ***διαταγαὶ τῶν ἀποστόλων συγγραφεῖσαι περὶ κλήμεντος πάππα ῥώμης καὶ μαθητοῦ πέτρου τοῦ ἀποστόλου.*** e codicibus syriacis musei britannici didici ***διδαχὰς τῶν ἀποστόλων*** plane diversos libros esse, quos Guilelmus Cureton sibi edendos reservari voluit.

**) quum Middlehilliae apud Thomam Phillippsium codicem quintum inveniri audivissem, hunc initio eundem esse ac coislinianum Parisiis ablatum credebam: quod postquam aliter se habere intellexi, omnia movi ut Middlehilliae conferre ipse possem, sed ne id quidem explorare potui, utrum sit aliquis codex constitutionum phillippsianus necne.

utriusque libri vindobonensis collationem Ioh Clericus editioni Cotelerii anno 1724 repetitae inseruit; hac quantum mea praestet ab aliis explorari quam a me ipso praedicari malo.

z parisinus graecus 931 (e colbertino 4491 regius 2874) p 5ª—194ᵇ, chartaceus, saeculi XVI, foliorum 204. a bibliopego male compactus est, nam foliorum hic debet ordo esse: 5—97. 138—145. 130—137. 122—129. 114—121. 106-113. 98—105. 146—194.

in quibus codicibus quae ante emendationem legebantur literis WXYZ additis adnotavi, quid in singulis desit ex tabula sequenti perspicietur:

w 209,8 *μετὰ* — 224,5 *λήψεως*
229,10 *δόξα* — 261,27 *διακόνοις*
266,23 *περὶ* — 267,22 *διδασκαλεῖον*
271,2 *εἰ* — 276,3 *ἀμήν*
277,21 *εἰ* — 281,9 *θεοῦ*
y 1,1 *οἱ* — 3,22 *ἀνήρ*
z 1,1 *οἱ* — 25,25 *νοῖς*
229,15 *ἐπουράνιε* — 281,9 *θεοῦ*.

ad codices accedit

t editio princeps a Francisco Turriano anno 1563 curata *Venetiis ex officina Iordani Zileti.* hanc diu frustra quaesitam e bibliotheca gottingensi benevole permissam contuli, quum a Cotelerio eam nunquam ne visam quidem esse intellexissem*). Turrianus se tres codices habuisse scribit: *ἓν μὲν παλαιὸν ἀπὸ τῆς καλαβρίας τῆς τὸ παλαιὸν μεγάλης ἑλλάδος καλουμένης, ὃ εὗρον ἐγὼ ἐν τῇ μονῇ τῆς νέας ὁδηγητρίας τῇ τοῦ πατρὸς νῦν ἐπικαλουμένῃ* (*satis quidem antiquum et recte scriptum, sed libro octavo inchoato et imperfecto,* [quod] .... *in Calabria inveneram in bibliotheca monasterii quod vocant πατῆρος B. Mariae sacri, quam incolae νέαν ὁδηγήτριαν appellant. hoc ... quanta potui diligentia exscripsi et cum aliis contuli* praefat vers lat), *ἣν δὲ τοῦτο πάνυ ἀρχαῖον. ἕτερον δὲ καὶ αὐτὸ ἀρχαῖον ἀπὸ Σικελίας, ὃ ἐκεῖθεν ἐκομίσατό μοι Αντώνιος Αὐγουστῖνος ὁ τῆς Ἰλέρδας ἐπίσκοπος* (postea archiepiscopus tarraconensis, ictus celeberrimus: *vetus quidem illud, sed non satis bene scriptum* praef vers lat). *τρίτον δ' ἔτι παλαιότερον καὶ ἀκριβέστερον ἀπὸ* .... *Κρήτης, ὅπερ ὁ αὐτὸς τῆς Ἰλέρδας ἐπίσκοπος δαψιλῶς ὠνησάμενος ἐδωρήσατό μοι· ἣν δὲ τοῦτο τοῦ σοφοῦ Ανδρέου τοῦ δώνου* (*cretense ut reliquis duobus melius et graece edidi et latine transtuli* praef vers lat). *μάρτυς* Ζαχαρίας *ἱερεὺς κρὴς ὁ σκορδύλιος ὁ ἐπιλεγόμενος μαραφαρᾶς* .... *νῦν* ... *τοῦ τῆς*

---

*) sequutus est editionem Zonarae [Paris. 1618] adhaerentem, quam P soleo vocare sed non contuli, quum mala fide principem sequatur. Cotelerii librum ipsum (1672) nunquam vidi, sed repetitum tantum a bibliopolis quaestum facere cupientibus, qui adeo neglegenter rem egerunt, ut integri versus exciderint. horum errores in commentario notari neminis interesse potest.

*κωνσταντινουπόλεως πατριάρχου κυρίου Ιωάσαφ ἐπίτροπος Ἐνετίῃσι διατρίβων. τούτων δὴ τῶν τριῶν ἀντιγράφων ἓν μὲν ἦν ἀρχαιότατον καὶ ὀρθότατον, ᾧ ἐν τῇ ἐκτυπώσει σχεδὸν κατὰ πάντα ἠκολουθήσαμεν, τὰ δὲ λοιπὰ ἔχουσί τινα ἔμμικτα, τὸ μὲν πρότερον ἔξωθεν ἑρμηνείας ἕνεκεν κατὰ τὸ εἰκὸς παρά τινος φιλομαθοῦς σημειωθέντα, ἔπειτα δὲ διὰ ἀπειρεία[ν] καὶ ἀμαθία[ν] τινὸς ἀντιγραφέως ἔσω μεταβαλόντα καὶ τόπον κειμένου ἀποκληρώσαντα. οἷον ἐπαρθεὶς καὶ τυφωθεὶς ἀντὶ κεκφωθεὶς, πυκνῶς συντρέχειν ἀντὶ τοῦ πυκνάζειν, ἐπιμελούμενος ἀντὶ τοῦ ἐπιστρεφόμενος, βαπτίσατε ἀντὶ τοῦ μνήσατε, παρὰ τὸ πρέπον ἀντὶ τοῦ παρὰ τὸ ἰντροΐτον.*

codicibus accurate collatis duas librorum familias esse intellexi, quarum una in wx contineretur, in yz altera: Turrianum autem credo quum codicem alterius familiae descripsisset, locis non paucis scripturas e libro meorum wx simillimo desumptas apographo intulisse: qua re factum est ut editionis principis usus non sit nisi exiguus. ego codices wx sequutus sum, adscita tamen interdum scriptura alterius recensionis si aut wx ipsi inter se dissentirent aut unius familiae textus recentiorum Graecorum more pronuntiatus ab alterius lectione sono non differret. bene scio locos esse quibus wx erroris convinci possent, sed quum adnotationes*) alias atque criticas in hac tanta rerum ecclesiasticarum incuria addere rei familiaris tenuitate prohiberer (laudantur enim nostra, sed neque leguntur neque emuntur), omnem licentiae speciem fugere quam scripturas inferre malui quae possent ex arbitrio meo illatae videri. nam quomodo res se haberent non nunc didici, sed per multos iam annos et intellexi et non sine magna multorum offensione professus sum, ecclesiae evangelicae eam esse condicionem, ut neque vivere possit cum honore neque mori sine dedecore. qua ex calamitate emergendi unam tantum viam video: ad integros fontes redeundum est non ut superstitione liberemur sed ut religione obstringamur, eaque omnia quae intellegamus vel a Iesu dicta vel ab apostolis Iesu iubente instituta sequenda sunt, non quia placent sed quia dominus voluit. itaque haec non edo nisi ut testem protraham a quo de antiquitate christiana doceri possimus, quem quum satis iam superque libidinis habuerimus, religioni duxi ex ingeniolo meo corrigere.

---

*) libro Turriani et Cotelerii commentarios in brevius contractos subiunxissem, nisi sumptus nimii futuri fuissent. Turrianus a nemine lectus esse videtur, Cotelerius sine ulla grati animi significatione expilatus est: quo vix unquam doctiorem hominem vidi. et debetur hoc viris probis et eruditis ut quotquot se eorum similes esse cupiunt eos ab ignavis furibus defendant. ego autem ut Fr. Lucae brugensis, I. A. Bengelii, Chr. B. et I. D. Michaelium laudes praedicavi, ita spero fore ut aliquando Cotelerii et Turriani libros in debitum honorem restituam.

locos constitutionum non paucos a patribus laudari Cotelerius docuerat: nam Turrianus hoc non docuit, quum nemo ab eo didicerit. hos ego locos in commentarium non retuli, nam quanta neglegentia patres editi sunt scio*), quibus uti nemo potest nisi qui codices adhibuerit manu scriptos: codices autem scriptorum constitutiones laudantium Cotelerius non evolvit fere nisi Anastasii, ac ne eos quidem ea quam nunc poscimus diligentia excussit. haec igitur tractabuntur, si Parisios iterum adire mihi contigerit.

neque versiones ad commentarium adhiberi posse videbantur. nam de didascalia syriaca a me anno 1854 edita**) propediem singulari libro agetur: arabicam aethiopicam aegyptiacam utramque***) contuli quidem, sed quum commentarium harum scripturis distentum Teubnero imprimendum tradidissem, ipsa libri verba e vasto adnotatorum quasi gurgite vix emergebant. quumque ipsa interdum vocabula barbara producenda essent, coptica autem et aethiopica apud Teubnerum typis nullo modo exscribi possent, arabica non commode, consultius putavi haec libro germanico seponere, quo de omnibus libris Clementi romano suppositis acturus sum. iam quid ad nos ipsius Turriani versio latina? quem illum ipsum codicem in vertendo sequutum esse supra vidimus, quem typographus imprimendum accepisset. Ioannis Karoli Bovii episcopi ostunensis interpretatio (*Venetiis* anno 1563 *ex officina Iordani Ziletti* edita) quum aliquotiens repetita passim obvia sit, facile ab eis conferri poterit qui mensium aliquot iactura discere volent quae ex codicibus a me collatis homines minus laboriosi uno in conspectu videre contenti erunt.

Davidis nomen codices semper δᾱδ scribunt. accentuum et interpunctionis discrepantiam adnotavi si sensus simul mutaretur. iota subscriptum nunquam adest in x, fere nunquam in t et priore parte y: adscribitur in w. quod omissum ubi poni debebat praeterii, positum ubi non scribendum erat notavi.

capita mea eadem sunt ac Turriani, nisi quod hunc eosdem numeros repetentem aut aliter turbantem correxi: capitum titulos a monachis profectos edere necessarium non videbatur. adnotationes eorundem paucas tantum delibavi p. 281 seqq, ceteras plane nullius pretii esse iudico.

---

*) vide modo in Hippolyto quot locos Combefisius mutaverit, neque codicum (quos nullos habebat) testimonio invitatus neque necessitate coactus: Hippolyt ed Lagarde p 1—36.

**) per aliquot annos liberum fuit viris doctis syriaca mea (excepto Xysto) vertere, explicare, ad graeca corrigenda adhibere: nunc quum neminem venia data usum esse videam et ipse in his tractandis eo progressus sim ut deo volente mox versiones et adnotationes proferre possim, nolo quemquam me invito in meos labores involare, eum autem qui contra fecerit furem esse iudicabo. sola geoponica omnibus permissa sunto.

***) vide reliquias iuris ecclesiastici graeci a me editas p II seqq.

locos e scripturis laudatos ita indico ut in vetere testamento semper hebraicae editionis numeris utar. si evangeliorum in margine nomina adscribo, non ideo auctorem ex evangeliis sua hausisse credo. legit enim ille ni fallor harmoniam e quatuor evangeliis concinnatam *).

ceteros libros Clementi romano suppositos a me e codicum fide recensitos quanta maxima potero celeritate editurus sum, in quibus legendis quum per decem annos paene totus fuerim, spero fore ut non contemnar si recognitiones codicibus non collatis tractari non posse dixero; eum autem qui glossario clementino destitutus ad haec investiganda accedat, tempus et operam perditurum esse scio.

*) Ephraemi Syri libros non paucos habemus in sermonem armenicum versos et Venetiae anno 1836 quatuor voluminibus editos, quos quo quisque linguae armenicae imperitior fuit, eo audacius suppositos vocavit. II 5—260 legitur explicatio harmoniae evangelicae quae dicitur, a loco Ioh 1, 1 initium facientis: ut facile disci possit quaenam fuerit harmonia illa ab Ephraemo explicata. quod ego docendum mox suscipiam, si de evangeliis a Curetone editis agere potero, epistularum etiam ab Ephraemo lectarum quae quasi facies fuerit ex eodem opere III 7—265 monstraturus. sed quum linguae armenicae mentionem iniecerim, addo me, si furem non castigo qui nuperrime librum meum *zur urgeschichte der Armenier* depeculatus est, id contemtu eius et amicorum non facere. sed quid dico contemtu? quum gratus potius esse velim quod quum tertiam tantum radicum armenicarum partem a me primo recte cum indicis comparatam videret et praepositiones aliquot dumtaxat aricas in vocabulis armenicis quibuscum coaluerant indagatas, tamen me tam divitem esse credidit ut me non laedi putaret, si aliqua surriperet, et tam benevolum ut tacitum me haec passurum esse arbitraretur.

Gen 1, 1: 135, 1
Gen 1, 2: 214, 14
Gen 1, 6: 214, 14
Gen 1, 9: 214, 23
Gen 1, 14: 215, 8
Gen 1, 15: 139, 24
Gen 1, 16: 273, 13
Gen 1, 26: 215, 16
Gen 1, 26: 251, 8
Gen 1, 26. 27: 135, 22
Gen 1, 28: 192, 2
Gen 1, 28: 272, 21
Gen 1, 31: 168, 5
Gen 2, 2: 219, 4
Gen 2, 7: 132, 24 N
Gen 2, 8: 251, 18
Gen 2, 24: 97, 26
Gen 2, 24: 199, 12
Gen 3, 16: 105, 21
Gen 3, 19: 132, 24 N
Gen 4, 7: 30, 26
Gen 9, 3: 205, 20
Gen 9, 6: 71, 3
Gen 13, 16: 213, 25
Gen 17, 7: 214, 4
Gen 18, 12: 194, 6
Gen 18, 23: 26, 5
Gen 19, 24: 153, 9
Gen 22, 17: 213, 25
Gen 26, 3: 214, 4
Gen 28, 15: 214, 7
Gen 32, 25. 27: 217, 9
Gen 32, 31: 153, 11
Gen 45, 18: 205, 23
Gen 48, 4: 214, 7
Gen 49, 10. 9: 168, 17
Gen 49, 10: 187, 5
Exod 2, 14: 158, 1
Exod 3, 14. 15: 214, 9
Exod 7, 1: 58, 20
Exod 14, 29: 219, 18
Exod 15, 26: 20, 1 N
Exod 16, 8: 60, 5
Exod 20, 6: 273, 25
Exod 20, 12: 60, 20
Exod 20, 12: 204, 15
Exod 20, 13: 199, 6
Exod 20, 14: 4, 10
Exod 20, 14: 199, 10
Exod 20, 15: 199, 19
Exod 20, 16: 200, 13
Exod 20, 17: 1, 21
Exod 20, 17: 4, 10
Exod 20, 17: 104, 24
Exod 20, 17: 200, 10
Exod 20, 24. 25: 181, 17
Exod 21, 17: 60, 21
Exod 21, 22: 200, 8
Exod 22, 18: 200, 6
Exod 22, 27: 54, 18
Exod 22, 27: 59, 17
Exod 23, 2. 1: 77, 14
Exod 23, 3: 16, 19
Exod 23, 3: 69, 20
Exod 23, 7: 70, 2
Exod 23, 7. 8: 21, 16
Exod 32, 1: 183, 3
Exod 32, 4: 182, 10
Exod 32, 4: 183, 19
Exod 33, 11: 278, 21
Exod 33, 19: 278, 23
Lev 15, 31: 17, 27
Lev 15, 31: 32, 16
Lev 15, 31: 69, 18
Lev 18, 22: 192, 20
Lev 19, 6: 120, 17
Lev 19, 15: 16, 18
Lev 19, 15: 69, 19
Lev 19, 17: 80, 16
Lev 19, 17: 201, 2
Lev 19, 18: 50, 15
Lev 19, 18: 186, 16
Lev 19, 26: 94, 7
Lev 19, 27: 5, 13
Lev 19, 27: 5, 16
Lev 20, 10: 192, 22
Lev 20, 13: 192, 20
Lev 21, 14: 177, 14
Lev 21, 17: 15, 21
Lev 26, 11. 12: 240, 10
Lev 26, 27. 28: 72, 16
Num 6, 24—26: 87, 23
Num 12, 2: 157, 20
Num 12, 8: 60, 3
Num 12, 14: 31, 3
Num 14, 4: 159, 8
Num 16, 3: 157, 21
Num 16, 13. 14: 157, 16
Num 16, 15: 159, 5
Num 16, 22: 273, 12
Num 16, 26: 159, 21
Num 17, 13: 220, 25
Num 18, 1: 34, 5
Num 18, 1. 8—10: 52, 21

Num 18, 12: 53, 6
Num 18, 20: 51, 11
Num 23, 23: 94, 5
Num 23, 23: 201, 17
Num 24, 9: 3, 8
Num 24, 9: 108, 20
Deut 1, 17: 16, 20
Deut 1, 17: 21, 15
Deut 1, 17: 24, 16
Deut 1, 17: 69, 21
Deut 1, 17: 201, 1
Deut 1, 17: 203, 6
Deut 4, 19: 139, 20
Deut 4, 20: 219, 16
Deut 4, 39: 218, 7
Deut 5, 28: 85, 23
Deut 6, 4: 20, 1
Deut 6, 4: 183, 20
Deut 6, 4: 186, 14
Deut 6, 5: 183, 23
Deut 6, 5: 198, 1
Deut 6, 6. 7: 187, 20
Deut 6, 7: 6, 5
Deut 7, 21?: 259, 1
Deut 10, 16: 175, 2
Deut 15, 23: 205, 21
Deut 16, 19: 70, 3
Deut 16, 20: 16, 20
Deut 16, 20: 21, 14
Deut 16, 20: 75, 17
Deut 17, 7: 21, 18
Deut 17, 7: 69, 18
Deut 18, 10. 11: 201, 18
Deut 18, 15. 19: 153, 14
Deut 19, 13: 71, 4
Deut 19, 14: 2, 29
Deut 19, 15: 76, 25
Deut 19, 17: 75, 6
Deut 22, 22: 192, 22
Deut 23, 8: 80, 19
Deut 23, 8: 198, 10
Deut 23, 17. 18: 192, 25
Deut 23, 18: 199, 17
Deut 23, 19: 105, 1
Deut 23, 19: 117, 12
Deut 23, 19: 118, 24
Deut 23, 19: 193, 1
Deut 25, 4: 50, 17
Deut 27, 9: 85, 22
Deut 27, 15: 199, 16
Deut 27, 17: 2, 23
Deut 27, 25: 70, 3
Deut 27, 26: 188, 18
Deut 28, 5. 4: 210, 21
Deut 28, 48: 183, 7
Deut 29, 19: 47, 20
Deut 30, 19: 197, 3
Deut 32, 21: 139, 15
Deut 33, 1: 233, 7
Deut 33, 3: 275, 9
Deut 34, 8: 276, 7
Deut 34, 10: 159, 2
Iosue 1, 7: 205, 16
Iosue 1, 8: 6, 4
Iosue 5, 14: 153, 19
Iosue 10, 12: 233, 12
Reg α 1, 15: 155, 13
Reg α 12, 3?: 153, 21
Reg α 13, 13: 55, 19
Reg α 15, 22: 185, 19
Reg α 15, 23: 94, 7
Reg α 15, 23: 201, 16
Reg β 12, 13: 33, 6
Reg β 12, 13: 42, 6
Reg β 15, 3. 4: 157, 9
Reg β 20, 1: 157, 11
Reg β 22, 44: 221, 23
Reg β 24: 218, 2
Reg γ 13: 118, 6
Reg γ 13, 33: 279, 17
Reg γ 18, 21: 197, 6
Reg γ 19, 8: 155, 9
Reg γ 19, 18: 233, 17
Reg δ 13, 21: 195, 19
Reg δ 21: 42, 14
Paral β 5, 12. 13: 227, 25
Paral β 19, 2. 3: 179, 2
Paral β 20, 37: 179, 6
Paral β 33: 42, 14
Esdr α 4, 36: 241, 27
Esdr α 9, 4: 264, 17
Esth 4, 16: 155, 16
Tob 4, 15: 198, 5
Iudith 8, 6: 155, 17
Macc β 1, 4??: 196, 5
Orat Manass: 45, 15
Iob 10, 10—13: 136, 2
Iob 14, 4. 5: 33, 15
Iob 14, 11: 242, 6
Iob 20, 15: 116, 9
Iob 20, 18: 115, 25
Iob 22, 7: 115, 21
Iob 26, 7: 250, 2
Iob 31, 5. 6: 93, 7
Iob 31, 18: 230, 7
Iob 35, 7. 8: 128, 21
Iob 38, 10. 11: 277, 25
Iob 38, 11: 215, 1
Iob 38, 38: 217, 13
Iob 41, 25?: 241, 27
Iob fin: 135, 26
Psalm 1, 1. 2: 92, 21
Psalm 1, 2: 187, 22
Psalm 2, 1. 2: 151, 7
Psalm 2, 7: 60, 16
Psalm 2, 11: 139, 2
Psalm 4, 5: 79, 24
Psalm 5, 7: 200, 21
Psalm 6, 6: 24, 5
Psalm 7, 5: 80, 21
Psalm 7, 5: 198, 16
Psalm 7, 16: 109, 11
Psalm 8, 3: 242, 2
Psalm 11, 7: 276, 13
Psalm 12, 6: 151, 14
Psalm 13, 4: 211, 26
Psalm 17, 5: 243, 27
Psalm 18, 26. 27: 72, 18
Psalm 18, 44 (45): 149, 1.
Psalm 19, 2?: 216, 15
Psalm 19, 8: 180, 18
Psalm 22, 13. 17: 143, 19
Psalm 22, 17: 144, 6
Psalm 22, 19: 144, 21
Psalm 22, 28. 29: 170, 11

Psalm 26, 4. 5: 92, 18
Psalm 27, 12: 144, 4
Psalm 31, 17: 263, 4
Psalm 31, 17: 272, 25
Psalm 31, 21: 221, 25
Psalm 33, 19: 221, 24
Psalm 34: 259, 28
Psalm 37, 16: 118, 12
Psalm 37, 26: 199, 1 N
Psalm 41, 2: 99, 13
Psalm 41, 11: 151, 15
Psalm 45, 1. 4—8: 153, 24
Psalm 50, 9. 12—14: 185, 22
Psalm 50, 12: 182, 7.
Psalm 51, 11—13: 68, 17
Psalm 51, 12: 241, 2
Psalm 51, 12. 19: 186, 5
Psalm 51, 14: 68, 15
Psalm 51, 14: 243, 25
Psalm 62, 6: 247, 15
Psalm 63: 90, 7
Psalm 63, 11: 172, 25
Psalm 63, 11: 178, 15
Psalm 63, 12: 200, 13
Psalm 65, 2: 229, 25
Psalm 68, 6: 114, 10
Psalm 68, 16. 17: 160, 16
Psalm 68, 18: 146, 24
Psalm 68, 18: 146, 25 N
Psalm 68, 18: 217, 10
Psalm 68, 19?: 87, 4
Psalm 69, 22: 144, 19
Psalm 72, 8: 245, 4
Psalm 72, 8: 256, 22
Psalm 74, 4. 5: 146, 6
Psalm 74, 15: 253, 23
Psalm 74, 19: 24, 24
Psalm 82, 6: 54, 18
Psalm 82, 6: 59, 20
Psalm 82, 8: 151, 13
Psalm 90, 17: 240, 12
Psalm 91, 5. 6: 247, 19
Psalm 91, 7: 146, 25 N
Psalm 101, 1: 41, 21
Psalm 103, 14: 136, 9
Psalm 103, 14: 243, 17
Psalm 104, 2: 250, 1
Psalm 104, 9: 277, 24
Psalm 104, 14: 116, 18
Psalm 104, 24: 216, 19
Psalm 104, 32: 242, 3
Psalm 106, 20: 182, 12
Psalm 109, 8: 168, 25
Psalm 109, 24: 155, 18
Psalm 110, 1: 196, 19
Psalm 110, 4: 56, 2
Psalm 112, 5: 199, 1
Psalm 112, 9: 62, 19
Psalm 112, 9: 99, 15
Psalm 112, 9?: 242, 1
Psalm 113, 1: 229, 22
Psalm 116, 7: 195, 8
Psalm 116, 15: 138, 11
Psalm 116, 15: 195, 7
Psalm 119, 1. 2: 187, 25
Psalm 119, 73: 136, 8
Psalm 121, 8: 240, 11
Psalm 121, 8: 261, 19
Psalm 128, 3. 4: 193, 8
Psalm 130, 3. 4: 30, 23
Psalm 130, 3. 4: 244, 21
Psalm 131, 1. 2: 202, 4
Psalm 136, 25: 257, 31
Psalm 138, 6: 237, 29
Psalm 139, 5. 6: 136, 9
Psalm 139, 16: 136, 12
Psalm 139, 21. 22: 178, 21
Psalm 140, 12: 200, 18
Psalm 141: 90, 7
Psalm 141, 5: 119, 20
Psalm 145, 3: 218, 4
Psalm 145, 16: 116, 15
Psalm 145, 16: 255, 3
Psalm 145, 17: 137, 2
Prov 1, 8: 20, 4
Prov 1, 16: 40, 16
Prov 3, 9: 63, 22
Prov 3, 9: 199, 5
Prov 3, 9. 10: 119, 27
Prov 3, 28: 176, 7
Prov 3, 34: 200, 25
Prov 3, 34: 235, 18
Prov 5, 2—4: 8, 26
Prov 5, 11—14: 9, 6
Prov 5, 18. 19: 194, 9
Prov 5, 22: 27, 2
Prov 6, 2: 200, 18
Prov 6, 6—8: 95, 10
Prov 6, 9—11: 95, 19
Prov 6, 22: 190, 6
Prov 7, 1. 4—18: 8, 2
Prov 7, 21. 22: 8, 23
Prov 7, 26: 9, 5
Prov 8, 22—25: 154, 7
Prov 9, 1: 154, 11
Prov 9, 8: 201, 4
Prov 9, 18: 9, 3
Prov 10, 7: 138, 13
Prov 10, 7: 138, 17
Prov 10, 7: 195, 9
Prov 10, 18: 109, 6
Prov 11, 4: 116, 2
Prov 11, 22: 12, 5
Prov 11, 25: 62, 22
Prov 11, 26: 62, 7
Prov 12, 4: 11, 11
Prov 12, 4: 12, 7
Prov 12, 28: 79, 26
Prov 12, 28: 200, 16
Prov 13, 17: 202, 18
Prov 13, 20: 178, 17
Prov 13, 20: 202, 20 N
Prov 13, 24: 121, 10
Prov 14, 1: 11, 12
Prov 14, 5: 138, 17
Prov 14, 12: 178, 1
Prov 14, 29: 67, 14
Prov 14, 29: 202, 12
Prov 14, 31: 200, 14
Prov 14, 33: 65, 14
Prov 15, 1: 15, 23
Prov 16, 6: 62, 21

Prov 16, 6: 99, 12
Prov 16, 6: 203, 15
Prov 17, 15?: 118, 2
Prov 18, 3: 11, 27
Prov 18, 22: 174, 16
Prov 19, 13: 193, 3
Prov 19, 14: 174, 3
Prov 19, 14: 193, 7
Prov 19, 17: 99, 17
Prov 19, 17: 203, 18
Prov 19, 18: 121, 8
Prov 19, 18: 204, 1
Prov 19, 24: 16, 8
Prov 19, 24: 96, 3
Prov 20, 9: 33, 22
Prov 20, 9: 243, 18
Prov 20, 13: 200, 15
Prov 20, 22: 3, 12
Prov 21, 13: 99, 18
Prov 21, 13: 203, 20
Prov 21, 19: 12, 8
Prov 21, 19: 13, 11
Prov 21, 27: 186, 2
Prov 22, 10: 21, 19
Prov 23, 14: 121, 8
Prov 23, 21: 16, 11
Prov 23, 29. 30: 277, 5
Prov 23, 31: 16, 13
Prov 24, 11: 120, 10
Prov 24, 27: 24, 9
Prov 26, 2: 109, 5
Prov 26, 9: 277, 1
Prov 26, 17: 78, 15
Prov 26, 27: 109, 13
Prov 28, 19: 95, 25
Prov 29, 12: 32, 6
Prov 29, 17: 121, 7
Prov 30, 6: 204, 10
Prov 31, 4. 5: 276, 20
Prov 31, 10—31: 10, 1
Eccl 2, 25: 116, 14
Eccl 2, 25: 206, 2
Eccl 4, 5: 16, 10
Eccl 4, 5: 96, 2
Eccl 5, 4: 96, 18
Eccl 5, 4: 123, 1
Eccl 6, 2: 116, 8
Eccl 7, 26: 12, 3
Eccl 10, 1: 32, 5
Eccl 10, 18: 96, 5
Eccl 12, 14: 131, 21
Cant 2, 15: 173, 1
Cant 2, 15: 178, 15
Isaj 1, 6: 69, 6
Isaj 1, 7: 114, 13
Isaj 1, 8: 160, 11
Isaj 1, 11—14: 185, 8
Isaj 1, 16: 242, 24
Isaj 1, 19: 205, 19
Isaj 1, 22: 117, 11
Isaj 2, 1. 2: 160, 20
Isaj 5, 6: 160, 7
Isaj 5, 8: 50, 14
Isaj 5, 8. 9: 2, 19
Isaj 5, 20: 70, 10
Isaj 5, 23: 70, 5
Isaj 6, 2: 253, 29
Isaj 6, 3: 217, 3
Isaj 6, 3: 254, 4
Isaj 6, 9. 10: 102, 2
Isaj 6, 9. 10: 147, 20
Isaj 7, 14: 147, 12
Isaj 9, 5: 147, 14
Isaj 9, 5: 168, 20
Isaj 9, 6: 48, 20
Isaj 9, 6: 249, 21
Isaj 11, 1: 168, 19
Isaj 11, 1. 10: 154, 12
Isaj 11, 4: 212, 6
Isaj 14, 19: 151, 10
Isaj 22, 13: 102, 19
Isaj 26, 19: 132, 4
Isaj 28, 11: 231, 25
Isaj 35, 3: 67, 11
Isaj 35, 10: 274, 30
Isaj 40, 1. 2: 29, 11
Isaj 40, 11: 39, 12
Isaj 40, 22: 250, 1
Isaj 43, 10: 198, 3
Isaj 45, 5: 218, 9
Isaj 45, 5: 247, 15
Isaj 52, 5: 13, 8
Isaj 52, 5: 100, 21
Isaj 52, 5: 208, 12
Isaj 53, 1: 147, 19
Isaj 53, 4: 52, 9
Isaj 53, 11: 112, 4
Isaj 53, 12: 52, 10
Isaj 53, 12: 144, 23
Isaj 53, 12: 150, 5
Isaj 54, 13: 269, 13
Isaj 54, 14: 119, 9
Isaj 54, 14: 201, 5
Isaj 56, 10: 179, 10
Isaj 57, 1: 138, 14
Isaj 57, 15: 237, 29
Isaj 57, 20: 179, 9
Isaj 58, 6: 80, 23
Isaj 58, 6: 238, 23
Isaj 58, 7: 99, 5
Isaj 58, 7: 204, 18
Isaj 58, 9: 103, 22
Isaj 59, 7: 40, 16
Isaj 62, 2: 110, 18 N
Isaj 63, 10: 147, 5
Isaj 63, 13: 182, 17
Isaj 64, 7: 136, 14
Isaj 65, 1: 146, 16
Isaj 65, 2. 3: 147, 1
Isaj 65, 24: 103, 22
Isaj 66, 2: 14, 21
Isaj 66, 2: 202, 15
Isaj 66, 2: 236, 3
Hier 1, 5: 135, 17
Hier 2, 10. 11: 91, 20
Hier 2, 11: 91, 19
Hier 3, 11: 91, 18
Hier 3, 22: 25, 4
Hier 4, 4: 175, 1
Hier 5, 7: 139, 13
Hier 6, 20: 185, 2
Hier 7, 16: 118, 17
Hier 7, 21. 22: 185, 5
Hier 8, 4. 5: 25, 2
Hier 10, 2: 94, 10
Hier 10, 2: 139, 22
Hier 12, 7: 160, 6
Hier 12, 8: 144, 7

Hier 12, 10: 30, 5
Hier 15, 1: 118, 16
Hier 15, 17: 93, 4
Hier 15, 19: 84, 10
Hier 17, 12: 160, 19
Hier 23, 15: 160, 2
Hier 26, 2. 3: 19, 25
Hier 29, 22: 235, 13
Hier 51, 18: 139, 12
Thren 4, 20: 152, 18
Thren 4, 20: 154, 25
Baruch 3, 36—38: 152, 20
Baruch 3, 38: 209, 19
Baruch 4, 4: 187, 27
Ezech 3, 11: 19, 26
Ezech 3, 12: 217, 7
Ezech 5, 6. 7: 91, 15
Ezech 8, 16: 140, 5
Ezech 8, 17. 18: 140, 9
Ezech 14, 13. 14: 25, 13
Ezech 16, 47: 91, 17
Ezech 18, 2—5: 27, 22
Ezech 18, 6: 193, 23
Ezech 18, 9—11: 28, 8
Ezech 18, 13: 28, 12
Ezech 18, 19. 20: 28, 14
Ezech 18, 20: 25, 12
Ezech 18, 24: 28, 19
Ezech 18, 27. 28: 28, 24
Ezech 18, 30: 29, 2
Ezech 20, 25: 184, 12
Ezech 33, 2. 6: 19, 4
Ezech 33, 3—5: 19, 9
Ezech 33, 7—9: 18, 19
Ezech 33, 10: 37, 18
Ezech 33, 11: 23, 11
Ezech 33, 11: 204, 14
Ezech 33, 19: 244, 13
Ezech 34, 2—5: 34, 15
Ezech 34, 3: 50, 13
Ezech 34, 4: 39, 10
Ezech 34, 8: 35, 1
Ezech 34, 10: 35, 3
Ezech 34, 17: 35, 17
Ezech 34, 17—19: 35, 9
Ezech 34, 30. 31: 35, 13
Ezech 37, 11. 12. 14: 131, 24
Dan 2, 34: 154, 20
Dan 4, 24: 99, 9
Dan 5, 23: 127, 2
Dan 7, 13: 154, 18
Dan 8, 13: 217, 1
Dan 10, 3: 155, 10
Dan 12, 1: 243, 14
Dan 12, 2. 3: 131, 11
Dan 12, 3: 136, 21
Sus 48. 49: 78, 23
Osee 4, 6: 175, 13
Osee 4, 9: 18, 11
Osee 9, 4: 186, 3
Osee 10, 12: 17, 13
Osee 10, 13: 32, 22
Amos 4, 5?: 188, 22
Amos 5, 23: 185, 17
Amos 9, 11. 12: 171, 10
Ioel 3, 1: 161, 3
Ioel 3, 5: 170, 10
Ionas 3, 7: 155, 14
Ionas 4, 11: 210, 13
Nahum 1, 3: 242, 7
Nahum 1, 4: 242, 1
Habac 2, 9: 200, 22
Sophon 3, 10: 208, 23
Aggae 1, 6: 277, 1
Zach 3, 2: 161, 18
Zach 3, 4: 161, 22
Zach 7, 9: 64, 7
Zach 8, 17: 81, 2
Zach 9, 9: 154, 15
Zach 9, 17: 116, 16
Zach 9, 17: 205, 24
Zach 10, 3: 30, 7
Zach 12, 1: 135, 18
Zach 12, 10: 152, 14
Zach 13, 2: 139, 14
Zach 14, 7: 144, 25
Mal 1, 6: 30, 9
Mal 1, 6: 208, 8
Mal 1, 6: 235, 10
Mal 1, 11. 14: 211, 6
Mal 2, 7: 57, 21
Mal 2, 14 (15): 174, 9
Mal 2, 14. 15: 194, 14
Mal 3, 22: 180, 20
Sirach 4, 31: 203, 12
Sirach 5, 7: 176, 6
Sirach 8, 5: 243, 19
Sirach 15, 13: 128, 19
Sirach 25, 26: 174, 17
Sirach 26, 29: 117, 9
Sirach 30, 12: 121, 11
Sirach 34, 27: 276, 26
Sap 2, 24: 197, 17. 19 N
Sap 3, 1: 195, 10
Sap 4, 7: 41, 9
Matth 3, 2: 82, 21
Matth 3, 15: 232, 20
Matth 3, 16: 270, 13
Matth 4, 1. 2: 206, 21
Matth 4, 23: 232, 1
Matth 4, 23: 246, 10
Matth 4, 23: 247, 18
Matth 4, 23: 254, 30
Matth 5, 5: 14, 24
Matth 5, 5: 202, 11
Matth 5, 7: 14, 25
Matth 5, 7: 202, 13
Matth 5, 8: 15, 4
Matth 5, 9: 15, 1
Matth 5, 9: 74, 25
Matth 5, 11. 12: 20, 21
Matth 5, 11. 12: 126, 11
Matth 5, 17: 7, 7
Matth 5, 17: 181, 3
Matth 5, 18: 181, 2
Matth 5, 19: 18, 14
Matth 5, 20: 62, 15
Matth 5, 22: 60, 7
Matth 5, 23. 24: 80, 2
Matth 5, 27. 28: 2, 9
Matth 5, 33. 34: 200, 11

Matth 5, 34: 187, 7
Matth 5, 34. 35: 140, 20
Matth 5, 37: 140, 26
Matth 5, 39: 198, 14
Matth 5, 41. 40. 42: 198, 17
Matth 5, 44: 3, 10
Matth 5, 44. 45: 3, 15
Matth 5, 44—47: 198, 5
Matth 5, 45: 25, 24
Matth 5, 45: 81, 9
Matth 5, 45: 199, 2
Matth 6, 3. 4: 107, 23
Matth 6, 9—13: 111, 19
Matth 6, 9—13: 207, 25
Matth 6, 10: 83, 7
Matth 6, 12: 40, 24
Matth 6, 13: 129, 3
Matth 6, 13: 209, 23
Matth 6, 13: 210, 6
Matth 6, 20: 64, 3
Matth 6, 21: 102, 26
Matth 6, 24: 197, 9
Matth 6, 26. 31. 32: 116, 20
Matth 7, 2: 70, 13
Matth 7, 2: 76, 15
Matth 7, 6: 100, 13
Matth 7, 15: 172, 23
Matth 7, 15. 16: 173, 4
Matth 7, 25: 245, 6
Matth 9, 2: 88, 19
Matth 9, 12: 27, 7
Matth 9, 12: 39, 4
Matth 9, 12: 67, 7
Matth 9, 15: 150, 2
Matth 9, 22: 193, 20
Matth 10, 10: 210, 19
Matth 10, 17. 18. 22: 126, 18
Matth 10, 22: 246, 16
Matth 10, 22: 257, 20
Matth 10, 23: 126, 16
Matth 10, 23: 277, 9
Matth 10, 28: 127, 20
Matth 10, 32: 124, 15
Matth 10, 33: 127, 10
Matth 10, 37—39: 127, 14
Matth 11, 5: 232, 4
Matth 11, 15 etc: 20, 3
Matth 11, 28: 7, 10
Matth 11, 29?: 196, 4
Matth 12, 25: 234, 6
Matth 12, 29: 241, 23
Matth 12, 30: 83, 20
Matth 12, 30: 89, 23
Matth 12, 32: 178, 6
Matth 12, 36: 14, 6
Matth 12, 36: 200, 20
Matth 12, 37: 14, 7
Matth 12, 40: 145, 7
Matth 13, 16: 184, 6
Matth 13, 31: 100, 10
Matth 14, 31: 203, 12
Matth 15, 11: 205, 21
Matth 16, 24: 184, 23
Matth 16, 26: 127, 18
Matth 18, 7: 4, 18
Matth 18, 7: 22, 3
Matth 18, 10: 33, 3
Matth 18, 12: 38, 11
Matth 18, 14: 27, 8
Matth 18, 15—17: 65, 10
Matth 18, 16: 113, 19
Matth 18, 16: 237, 10
Matth 18, 18: 23, 5
Matth 18, 18: 238, 24
Matth 18, 20: 271, 11
Matth 18, 21. 22: 74, 17
Matth 19, 4: 191, 27
Matth 19, 4. 5: 174, 4
Matth 19, 6: 174, 11
Matth 19, 14: 176, 9
Matth 20, 26. 27: 112, 19
Matth 20, 28: 112, 9
Matth 21, 9: 209, 26
Matth 21, 9: 259, 17
Matth 21, 13: 32, 13
Matth 21, 28. 29: 148, 16
Matth 21, 35: 148, 21
Matth 21, 39: 148, 24
Matth 21, 42: 148, 25
Matth 21, 43: 148, 12
Matth 22, 13: 130, 5
Matth 22, 21: 73, 23
Matth 22, 31. 32: 195, 12
Matth 22, 32: 275, 8
Matth 23, 3: 21, 6
Matth 23, 16—22: 140, 23
Matth 23, 35: 148, 23
Matth 23, 38: 161, 1
Matth 24, 4: 205, 15
Matth 24, 11. 24: 173, 6
Matth 24, 12: 173, 2
Matth 24, 12: 179, 15
Matth 24, 12: 212, 2
Matth 24, 13: 212, 7
Matth 24, 24: 178, 4
Matth 24, 24: 179, 16
Matth 24, 30: 196, 11
Matth 24, 50: 211, 22
Matth 24, 51: 200, 24
Matth 25, 34—40+46: 124, 24
Matth 25, 41: 127, 6
Matth 25, 41—45: 125, 8 N
Matth 25, 46: 212, 15
Matth 26, 15: 142, 12
Matth 26, 24: 142, 10
Matth 26, 25: 142, 8
Matth 26, 34: 142, 20
Matth 26, 41: 129, 22
Matth 26, 41: 277, 11
Matth 26, 45: 143, 4
Matth 27, 9. 10: 142, 14 N
Matth 27, 24. 25: 150, 22
Matth 27, 46: 145, 1
Matth 27, 51: 160, 23
Matth 28, 19: 137, 24
Matth 28, 19: 224, 17

Matth 28, 19. 20: 55, 8
Matth 28, 19. 20: 206, 8
Matth 28, 20: 229, 8
Marc 1, 43: 180, 24
Marc 5, 9: 241, 16
Marc 5, 34: 38, 20
Marc 12, 42—44: 104, 5
Marc 14, 20: 142, 6
Marc 15, 28: 150, 5
Marc 16, 15: 137, 23
Marc 16, 16: 176, 2
Marc 16, 17. 18: 230, 23
Luc 1, 33: 225, 14
Luc 2, 14: 229, 10
Luc 2, 14: 259, 16
Luc 2, 29—32: 230, 3
Luc 2, 36. 37: 97, 6
Luc 2, 51: 187, 1
Luc 3, 13: 66, 9
Luc 3, 14: 117, 23
Luc 3, 14: 268, 20
Luc 4, 19: 38, 17
Luc 4, 24: 88, 21
Luc 6, 30: 99, 1
Luc 6, 37: 64, 10
Luc 6, 38: 40, 21
Luc 6, 40: 130, 13
Luc 6, 41: 31, 17
Luc 7, 47: 49, 6
Luc 8, 3: 124, 3
Luc 10, 5: 81, 18
Luc 10, 5. 6: 108, 21
Luc 10, 7: 49, 24
Luc 10, 16: 36, 9
Luc 10, 16: 236, 14
Luc 10, 16: 277, 18
Luc 10, 18: 241, 28
Luc 10, 19: 241, 24
Luc 10, 20: 231, 14
Luc 12, 48: 33, 12
Luc 12, 57: 64, 12
Luc 14, 11: 15, 8
Luc 14, 13: 56, 21
Luc 14, 23: 84, 1
Luc 14, 33: 128, 14
Luc 15, 7: 24, 21
Luc 15, 7: 243, 21
Luc 15, 13: 244, 18
Luc 15, 21: 67, 21
Luc 15, 31. 32: 68, 9
Luc 16, 15: 202, 17
Luc 17, 14: 180, 26
Luc 18, 8: 179, 14
Luc 18, 14: 202, 16
Luc 18, 27: 136, 7 N
Luc 19, 10: 39, 5
Luc 19, 41. 44: 145, 18
Luc 20, 38: 195, 15
Luc 20, 38: 275, 9
Luc 21, 18: 131, 7
Luc 21, 19: 131, 9
Luc 22, 19: 151, 19
Luc 22, 32: 161, 25
Luc 22, 42: 143, 1
Luc 23, 2: 143, 27
Luc 23, 21: 151, 3
Luc 23, 34: 30, 15
Luc 23, 34: 145, 2
Luc 23, 46: 130, 19
Luc 23, 46: 145, 3
Ioh 1, 3: 249, 30
Ioh 1, 29: 229, 17
Ioh 1, 29: 229, 25
Ioh 3, 5: 175, 25
Ioh 3, 5: 242, 26
Ioh 3, 12: 246, 6
Ioh 3, 15: 83, 3
Ioh 3, 36: 155, 4
Ioh 5, 25: 132, 24
Ioh 5, 39: 17, 5
Ioh 5, 46: 17, 6
Ioh 6, 27: 92, 7
Ioh 6, 29: 92, 9
Ioh 6, 45: 269, 13
Ioh 6, 67: 184, 24
Ioh 7, 24: 64, 11
Ioh 8, 11: 49, 11
Ioh 8, 44: 40, 5
Ioh 10, 11. 12: 37, 23
Ioh 10, 29: 247, 14
Ioh 11, 25: 132, 18
Ioh 11, 48: 188, 10
Ioh 12, 43: 129, 11
Ioh 13, 4: 112, 23
Ioh 13, 17: 188, 1
Ioh 13, 21: 141, 26
Ioh 13, 26: 142, 7
Ioh 13, 34: 186, 18
Ioh 13, 35: 15, 24
Ioh 15, 13: 112, 13
Ioh 15, 15: 184, 9
Ioh 15, 20: 126, 15
Ioh 16, 32: 142, 17
Ioh 16, 33: 126, 17
Ioh 17, 3: 148, 5
Ioh 17, 3: 186, 15
Ioh 17, 4: 255, 6
Ioh 17, 6. 4: 230, 17
Ioh 17, 17: 247, 16
Ioh 17, 25: 230, 19
Ioh 18, 1: 142, 24
Ioh 18, 38: 143, 24
Ioh 19, 12: 151, 3
Ioh 19, 15: 151, 1
Ioh 19, 15: 188, 9
Ioh 20, 23: 238, 22
Ioh 21, 15: 238, 16
Act 1, 1: 18, 14 N
Act 1, 9: 138, 1
Act 1, 9: 196, 15
Act 1, 9: 232, 25
Act 1, 18: 200, 1
Act 1, 20: 168, 25
Act 1, 24: 238, 15
Act 4, 27: 259, 2
Act 4, 30: 238, 29
Act 7, 55. 56: 196, 22
Act 7, 55. 56: 280, 27
Act 8, 18: 119, 3
Act 8, 19: 163, 9
Act 8, 20—23: 163, 18
Act 8, 24: 164, 2
Act 9, 15: 49, 5
Act 9, 15: 82, 23
Act 9, 15: 173, 15
Act 9, 15: 236, 19
Act 10, 10—20: 169, 21
Act 10, 22: 169, 16

Act 10, 34. 35. 45: 170, 21
Act 10, 44: 170, 17
Act 11, 15: 170, 17
Act 13, 22: 157, 13
Act 15, 1: 169, 2
Act 15, 7: 169, 4
Act 15, 7. 8: 169, 12
Act 15, 9: 170, 19
Act 15, 10. 11: 170, 24
Act 15, 13—20: 171, 7
Act 15, 22—29: 171, 22
Act 18, 25: 280, 26
Act 19, 14: 235, 5
Act 20, 28: 93, 15
Act 20, 28: 209, 22
Act 20, 28: 247, 12
Act 20, 28: 256, 23
Act 20, 28: 275, 24
Act 20, 35: 115, 6
Act 26, 14: 280, 1
Rom 1, 3: 220, 16
Rom 1, 11: 232, 14
Rom 1, 24?: 141, 3
Rom 1, 25: 139, 26
Rom 2, 6: 152, 13
Rom 2, 6: 212, 14
Rom 2, 6: 256, 6
Rom 3, 16—18: 40, 16
Rom 4, 17?: 134, 19
Rom 4, 17?: 249, 17
Rom 6, 3: 148, 7
Rom 6, 3: 207, 4
Rom 6, 3: 209, 2
Rom 8, 21: 222, 19
Rom 9, 5: 189, 14
Rom 10, 12: 262, 28
Rom 12, 1: 187, 13
Rom 12, 2: 83, 2
Rom 13, 4: 122, 20
Rom 13, 4: 204, 21
Rom 13, 8: 122, 23
Rom 16, 20: 243, 8
Cor α 1, 10: 73, 2
Cor α 2, 9: 212, 17
Cor α 6, 19. 20: 148, 9
Cor α 7, 25: 265, 4
Cor α 8, 6: 225, 1
Cor α 8, 6: 225, 4
Cor α 8, 6: 249, 12
Cor α 8, 6: 249, 23
Cor α 11, 3: 9, 16
Cor α 11, 3: 101, 6
Cor α 11, 3: 105, 16
Cor α 11, 23—26: 255, 22
Cor α 11, 26: 208, 28
Cor α 14, 21: 231, 25
Cor α 14, 33: 279, 28
Cor α 15, 14?: 134, 23
Cor α 15, 32: 102, 19
Cor α 16, 20: 247, 28
Cor α 16, 22: 209, 26
Cor β 1, 3: 237, 28
Cor β 3, 13: 232, 17
Cor β 4, 4: 123, 20
Cor β 4, 18: 246, 5
Cor β 5, 17: 180, 13
Cor β 6, 14: 93, 24
Cor β 6, 14?: 149, 7
Cor β 6, 14: 271, 16
Cor β 6, 16: 240, 10
Cor β 6, 17: 159, 22
Cor β 7, 1: 223, 19
Cor β 7, 1: 240, 9
Cor β 7, 1: 243, 15
Cor β 7, 1: 259, 6
Cor β 7, 1: 263, 24
Cor β 9, 8: 230, 9
Cor β 13, 13: 239, 11
Cor β 13, 13: 248, 27
Gal 2, 19: 223, 28
Gal 3, 10: 188, 18
Gal 4, 9: 147, 26
Gal 5, 9: 32, 3
Eph 1, 5: 223, 26
Eph 1, 18: 223, 21
Eph 2, 17: 81, 20
Eph 3, 15: 249, 8
Eph 4, 13: 246, 21
Eph 4, 30: 278, 12
Eph 5, 2: 258, 16
Eph 5, 27: 93, 20
Eph 5, 27: 224, 10
Eph 5, 27: 247, 8
Eph 6, 4: 120, 26
Eph 6, 4: 176, 8
Eph 6, 14: 211, 19
Phil 3, 10: 124, 1
Col 1, 15: 93, 16
Col 1, 15: 167, 20
Col 1, 15: 220, 6
Col 1, 15: 225, 3
Col 1, 15: 225, 5
Col 1, 15: 249, 20
Col 1, 15: 254, 24
Col 1, 22: 247, 7
Col 2, 14: 243, 14
Col 3, 5: 223, 28
Col 3, 23: 204, 6
Thess α 5, 18: 177, 16
Thess β 3, 10: 96, 6
Tim α 1, 1: 179, 19
Tim α 1, 1: 216, 8
Tim α 1, 1: 241, 7
Tim α 1, 1: 257, 3
Tim α 1, 1: 267, 6
Tim α 2, 2: 258, 22
Tim α 2, 3: 267, 20
Tim α 2, 4: 223, 10
Tim α 2, 4: 244, 16
Tim α 2, 5: 168, 15
Tim α 3, 2: 34, 1
Tim α 3, 6: 15, 7
Tim α 3, 16: 209, 28
Tim α 4, 10: 197, 12
Tim α 5, 15: 278, 19
Tim α 6, 9: 98, 1
Tim α 6, 11: 5, 8
Tim α 6, 11: 50, 3
Tim α 6, 11: 64, 21
Tim α 6, 11: 75, 5
Tim α 6, 11: 84, 15
Tim α 6, 11: 126, 22
Tim α 6, 11: 140, 17
Tim α 6, 11: 165, 18
Tim α 6, 12: 129, 13
Tim α 6, 16: 167, 16
Tim α 6, 16: 261, 8

Tim β 1, 10: 219, 12
Tim β 2, 5: 26, 3
Tim β 2, 15: 72, 16
Tim β 2, 15: 211, 13
Tim β 2, 15: 245, 11
Tim β 2, 15: 256, 25
Tim β 2, 19: 81, 20
Tim β 3, 15: 121, 16
Tim β 4, 7: 275, 27
Tit 2, 5: 268, 4
Tit 3, 5: 223, 25
Tit 3, 5: 226, 14
Tit 3, 5: 240, 6
Petr α 1, 2: 1, 2—4
Petr α 1, 19: 260, 2
Petr α 2, 2: 148, 8
Petr α 2, 9: 53, 13
Petr α 2, 9: 87, 29
Petr α 2, 9: 110, 16
Petr α 2, 9: 257, 10
Petr α 2, 10. 9: 146, 10
Petr α 2, 12: 113, 11
Petr α 2, 21: 206, 26
Petr α 3, 20: 252, 17
Petr α 4, 5: 256, 5
Petr α 5, 5: 235, 18
Petr β 3, 6: 204, 14
Hebr 4, 15: 226, 25
Hebr 8, 1: 196, 18
Hebr 11, 37: 148, 22
Hebr 12, 17: 65, 23
Hebr 12, 17: 150, 20
Hebr 13, 7: 202, 24
Iac 1, 6. 7: 203, 10
Apoc 22, 18. 19: 204, 9
Sibylla: 133, 14
apocr: 3, 1
apocr: 20, 25
apocr: 27, 3
apocr: 47, 23
apocr: 64, 7
apocr: 90, 22. 23
apocr: 109, 14
apocr: 114, 12
apocr: 115, 8
apocr: 160, 14
apocr: 177, 25
apocr: 198, 4
apocr: 238, 23
apocr: 276, 14

# A

*Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι πᾶσι τοῖς ἐξ ἐθνῶν
πιστεύσασιν ἐπὶ τὸν κύριον Ἰησοῦν χριστόν· χάρις ὑμῖν
καὶ εἰρήνη ἀπὸ τοῦ παντοκράτορος θεοῦ διὰ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ χριστοῦ πληθυνθείη ἐν ἐπιγνώσει αὐτοῦ.
θεοῦ φυτεία ἡ καθολικὴ ἐκκλησία, καὶ ἀμπελὼν αὐτοῦ
ἐκλεκτὸς οἱ πεπιστευκότες εἰς τὴν ἀπλανῆ θεοσέβειαν αὐτοῦ,
οἱ τὴν αἰώνιον καρπούμενοι διὰ πίστεως βασιλείαν αὐτοῦ,
* δύναμιν αὐτοῦ εἰληφότες καὶ μετουσίαν * ἁγίου πνεύ-
ματος, ὡπλισμένοι διὰ Ἰησοῦ καὶ ἐνεστερνισμένοι τὸν φό-
βον αὐτοῦ, ῥαντίσματος μέτοχοι τοῦ τιμίου καὶ ἀθώου αἵ-
ματος τοῦ χριστοῦ, οἱ παρρησίαν εἰληφότες τὸν παντοκρά-
τορα θεὸν καλεῖν πατέρα, συγκληρονόμοι καὶ συμμέτοχοι
τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ. ἀκούσατε διδασκαλίαν ἱεράν,
οἱ ἀντεχόμενοι τῆς ἐπαγγελίας αὐτοῦ, ἐκ προστάγματος τοῦ
σωτῆρος, ὁμοστοίχως ταῖς ἐνδόξοις φθογγαῖς αὐτοῦ. φυλάσ-
σεσθε, οἱ υἱοὶ θεοῦ, πάντα εἰς ὑπακοὴν θεοῦ πράσσειν καὶ
γίνεσθαι ἀρεστοὶ ἐν πᾶσι κυρίῳ τῷ θεῷ ἡμῶν. ἐὰν γάρ
τις ἀνομίαν μεταδιώκῃ καὶ τὰ ἐναντία τῷ θελήματι τοῦ
θεοῦ ποιῇ, ὡς παράνομον ἔθνος τῷ θεῷ ὁ τοιοῦτος λογι-
1 σθήσεται. | ἀπέχεσθε οὖν πάσης πλεονεξίας καὶ ἀδικίας.
καὶ γὰρ ἐν τῷ νόμῳ γέγραπται Οὐκ ἐπιθυμήσεις τὴν γυ-
ναῖκα τοῦ πλησίον σου οὐδὲ τὸν ἀγρὸν αὐτοῦ οὐδὲ τὸν*

2–4 Petr α 1,2: nam etiam *ῥάντισμα αἵματος* 10 et *εἰς ὑπακοὴν* 16 eundem versum in memoriam revocant | 21 Exod 20, 17

1 *πᾶσιν* x | 2 *ἐπὶ* wx, *εἰς* t | 5 *θεοῦ* xt, *χριστοῦ* w | 8 *οἱ* + t | 8 *τοῦ* + t | 8 *ἁγίν* t | 9 *ὁπλησάμενοι* w | 9 *ἐνεστερνισμένοι* L, *ἐνστερνισάμενοι* w, *ἐνστερνισμένοι* xt | 12 *θεὸν* > t | 12 *πατέρα καλεῖν* t | 12 *συνκληρονόμοι* x | 15 *ὁμόστοιχον* t | 15 *φθονγαῖς* x | 16 *θεοῦ υἱοὶ* t | 16 *ἅπαντα* t | 17 *γίνεσθε* xt | 17 *πᾶσιν* x | 17 *κυρίω* wx, *χριστῶ* t | 17 *ἡμῶν* > w | 19 *ποιεῖ* x | 22 *οὐδὲ* alterum wt, *οὔτε* x

παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε ὅσα τῷ πλησίον σου ἐστίν. ὅτι ἡ πᾶσα τούτων ἐπιθυμία ἐκ τοῦ πονηροῦ ὑπάρχει. ὁ γὰρ ἐπιθυμήσας τὴν γυναῖκα ἢ τὸν παῖδα ἢ τὴν παιδίσκην τοῦ πλησίον ἤδη κατὰ διάνοιαν μοιχὸς καὶ κλέπτης ἐστίν, ἐὰν μὴ μεταγνῷ, καὶ κέκριται ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα * εἰς τοὺς αἰῶνας. ἀμήν. λέγει γὰρ ἐν τῷ εὐαγγελίῳ ἀνακεφαλαιούμενος καὶ στηρίζων καὶ πληρῶν τὴν δεκάλογον τοῦ νόμου ὅτι Ἐν τῷ νόμῳ γέγραπται Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν (τοῦτ' ἔστιν ἐν τῷ νόμῳ τῷ διὰ Μωϋσέως ἐγὼ ἐλάλησα, νῦν δὲ ὁ || αὐτὸς ὑμῖν λέγω) Πᾶς ὅστις ἐμβλέψει εἰς τὴν γυναῖκα τοῦ πλησίον πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. οὕτως ἐκρίθη μοιχὸς κατ' ἔννοιαν ὁ ἐπιθυμήσας. ὁ δὲ τὸν βοῦν ἢ τὸν ὄνον ἐπιθυμήσας οὐκ ἐπὶ τῷ κλέψαι καὶ ἰδιοποιήσασθαι ἢ καὶ ἀπαγαγεῖν αὐτὰ διανοεῖται; ἢ ὁ τὸν ἀγρὸν πάλιν ἐπιθυμήσας καὶ ἐπιμείνας τῇ τοιᾶδε διαθέσει * πονηρεύεται, ὅπως ὁρογλυφήσας ἀναγκάσῃ τὸν ἔχοντα τοῦ μηδενὸς ἀποδόσθαι αὐτῷ; φησὶ γάρ που ὁ προφήτης * Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. διὸ λέγει Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου Σαβαὼθ ταῦτα. καὶ ἀλλαχοῦ Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον αὐτοῦ, καὶ ἐρεῖ πᾶς ὁ λαὸς Γένοιτο, γένοιτο. διό φησιν * ὁ Μωσῆς Οὐ μετακινήσεις ὅρια τοῦ πλησίον * σου. διὰ ταῦτα οὖν φόβοι, θάνατοι, δικαστήρια, καταδίκαι παρὰ * θεοῦ τοῖς τοιούτοις ἐπακολουθοῦσι. τοῖς δὲ ὑπηκόοις θεῷ ἀνθρώποις εἷς νόμος θεοῦ

9 Matth 5, 27. 28 | 19 Isaj 5, 8. 9 | 23 Deut 27, 17 | 29 Deut 19, 14

1 τὸν βοῦν et 2 τὸ ὑποζύγιον t | 2 τῷ wx, τοῦ t | 6 καὶ > t, puncto ante ἐὰν posito | 7 ᾧ wx, δι' οὗ t | 7 τῷ θεῷ + t | 11 τῷ > t | 11 μωσέως t | 12 ἐμβλέψῃ w | 14 οὗτος t | 14 ὁ > t | 17 ὁ > wX | 18 διαθέσι w | 18 οὐ + t | 19 φησὶν x | 20 ἡσαΐας + x | 20 καὶ .... 21 ἐγγίζοντες > w | 21 ἀφέλονται wx | 22 τι > x | 22 οἰκήσεται w, οἰκήσητε t | 24 μεταθεὶς w | 24 τοῦ πλησίον xt, πατέρων w | 24 αὐτοῦ > x | 25 γένοιτο alterum > t | 25 φησὶ t | 25 καὶ + t | 25 μωϋσῆς x | 26 ἃ ἔθεντο οἱ πατέρες + t | 26 τοῦτο t | 27 τοῦ + t | 27. 28 παρακολουθοῦσι w, ἐπακολουθοῦσιν x

* ζῶν, ἀληθὴς οὗτος ἐνυπάρχει˙ Ὃ σὺ μισεῖς ὑφ' ἑτέρου γί-
νεσθαι σοί, σὺ ἄλλῳ οὐ ποιήσεις. οὐ βούλει τῇ γυναικί
σου τινὰ ἐμβλέψαι κακῶς * εἰς διαφθορὰν αὐτῆς; μηδὲ σὺ
τῇ τοῦ πλησίον σου γυναικὶ κακοήθως ἀτενίσῃς. οὐ βούλει
σου τὸ ἱμάτιον ἀρθῆναι; μηδὲ σὺ τὸ τοῦ ἑτέρου ἄρῃς. οὐ
θέλεις πληγῆναι, λοιδορηθῆναι, ὑβρισθῆναι; μηδὲ σὺ ἄλλῳ
2 ταῦτα διαθῇς. | ἀλλὰ καταρᾶταί σε τις; σὺ εὐλόγησον αὐτόν.
ὅτι γέγραπται ἐν τῇ βίβλῳ τῶν ἀριθμῶν Ὁ εὐλογῶν σε
εὐλόγηται καὶ ὁ καταρώμενός σε κεκατήραται. ὁμοίως καὶ
ἐν τῷ εὐαγγελίῳ γέγραπται Εὐλογεῖτε τοὺς καταρωμένους
ὑμᾶς. ἀδικούμενοι μὴ ἀνταδικήσητε, ἀλλ' ὑπομείνατε, ὅτι
λέγει ἡ γραφὴ Μὴ εἴπῃς Τίσομαι τὸν ἐχθρόν μου ἅ με ἠδί-
κησεν, ἀλλ' ὑπόμεινον, ἵνα σοι βοηθήσῃ ὁ κύριος καὶ ἐκ-
δικίαν ἐπαγάγῃ τῷ ἀδικοῦντί σε. καὶ γὰρ πάλιν ἐν τῷ
εὐαγγελίῳ λέγει Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε
τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόν-
των * καὶ διωκόντων ὑμᾶς, καὶ ἔσεσθε υἱοὶ τοῦ πατρὸς ὑμῶν
τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ
πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.
προσέχωμεν οὖν, ἀγαπητοί, ταῖς ἐντολαῖς ταύταις, ἵνα τέκνα
φωτὸς εὑρεθῶμεν πράσσοντες αὐτάς. βαστάζετε οὖν, οἱ
δοῦλοι καὶ * υἱοὶ τοῦ θεοῦ, ἀλλήλους. ὁ μὲν ἀνὴρ * τὴν * γυ-
ναῖκα *, μὴ ὑπερήφανος μηδὲ ἀλαζών, ἀλλ' εὔσπλαγχνος,
εὐμετάδοτος, || τῇ ἰδίᾳ γυναικὶ μόνον βουλόμενος ἀρέσκειν.
καὶ ταύτην κολακεύειν ἐντίμως, σπουδάζων * καταθύμιος αὐτῇ
3 εἶναι, | μὴ καλλωπιζόμενος εἰς τὸ ἀγρευθῆναί τινα νεωτέραν
ἐπὶ σοί. εἴτε γὰρ ἀναγκασθεὶς ὑπ' αὐτῆς ἁμαρτήσεις εἰς

1 Luc 6, 31 | 8 Num 24, 9 | 10 Matth 5, 44 | 12 Prov 20, 22 | 15 Matth 5, 44. 45

1 ἁπλοῦς + t | 1 ἀληθὴς ζῶν t | 1. 2 σοι γενέσθαι t | 2 σοὶ > x | 2 σὺ > w | 2 ἄλλο w | 2 βούλῃ wx | 3 πρὸς τὸ ἐπιθυμῆσαι + w | 4 βούλῃ x | 5 ἱμάτι W | 7 διαθῇ w | 7 σὺ > x | 9 εὐλογεῖται x | 11 ἀνταδική-σειτε w | 11 ἀλλὰ x | 12 μου > t | 13 ἀλλὰ x | 13 ἵνα σε ἐκδικήσῃ t | 16. 17 ἐπερεαζόντων x | 17 ὑμᾶς + xt | 17 διοκόντων w | 17 ὑμᾶς > t | 18 τοῖς > x | 22 οἱ + w | 22 πρὸς + t | 22 ἑαυτοῦ + t | 23 ἔστω + t, virgula sequenti deleta | 23 ὑπερηφανῶν y | 23 ἀλαζονευόμενος y | 24 μόνον > x | 25 καὶ + y | 25 καταθύμος y | 25. 26 εἶναι αὐτῇ yt | 26 ἑτέραν yt | 27 ἁμαρτήσῃς t

*αὐτήν, θάνατος παρὰ θεοῦ ἐπελεύσεταί σοι αἰώνιος, ἐν αἰσθήσει κολαζομένῳ πικρῶς. εἴτε μὴ ποιήσεις τὸ μύσος, ἀλλὰ ἀποσεισάμενος αὐτὴν ἀρνήσῃ, αὐτὸ καὶ τοῦτο ἥμαρτες, εἰ καὶ μὴ ἐπ' ἴσης, μόνον δὲ τὸ διὰ τοῦ καλλωπισμοῦ σου παγιδεῦσαι γυναῖκα εἰς τὸ ἐπιθυμῆσαί σου· ἐποίησας γὰρ τὴν τοῦτο παθοῦσαν διὰ τῆς ὀρέξεως μοιχευθῆναι ἐπὶ σοί. ἀλλ' οὐχ οὕτως αἴτιος ὑπάρχεις διὰ τὸ μὴ προσαποστεῖλαί σε τῇ ἐπὶ σοὶ πεπαγιδευμένῃ· οὐ γὰρ σὺ ἐπεθύμησας αὐτῆς. μὴ συνεπιδοὺς δὲ αὐτῇ ἑαυτὸν ἐλεηθήσῃ ὑπὸ κυρίου τοῦ θεοῦ τοῦ εἰπόντος Οὐ μοιχεύσεις καὶ Οὐκ ἐπιθυμήσεις. εἰ γὰρ ἐκείνη θεασαμένη σε ἢ ἀκαίρως συναντήσασα ἐπλήγη τὴν διάνοιαν καὶ προσέπεμψέν σοι, σὺ δὲ ὡς θεοσεβὴς ἠρνήσω αὐτὴν ἀπέσχου τε καὶ οὐχ ἥμαρτες εἰς αὐτήν, ἐκείνη μέντοι τὴν καρδίαν ἐτραυματίσθη, εὐμόρφου νεωτέρου ὑπάρχοντός σου καὶ κεκαλλωπισμένου ὥστε ἐρασθῆναί σου, ἔνοχος εὑρίσκῃ σὺ τοῦ ἐκείνης παραπτώματος ὡς αἴτιος αὐτῇ σκανδάλου γενόμενος καὶ τοῦ οὐαὶ κληρονόμος. διὸ δεήθητι κυρίου τοῦ θεοῦ, ὅπως μηδέν σοι κακὸν διὰ τούτου στηριχθῇ. οὐ γὰρ ἀνθρώποις σε χρὴ ἀρέσκειν εἰς ἁμαρτίαν, ἀλλὰ θεῷ εἰς ὁσιότητα, ζωῆς τε καὶ ἀναπαύσεως τῆς αἰωνίου ἀντέχεσθαι. τὸ ὑπὸ τῆς φύσεώς σοι δεδομένον ἐκ θεοῦ κάλλος μὴ προσεπικαλλώπιζε, ἀλλὰ ταπεινοφρόνως μετρίασον αὐτὸ πρὸς ἀνθρώπους οὕτως, τὴν τρίχα σου τῆς κόμης μὴ παρατρέφων, μᾶλλον δὲ συγκόπτων καὶ καθαίρων αὐτήν, ἵνα μὴ κατακνιζομένου σου καὶ ἄσκυλτον τηροῦντος τὴν κεφαλὴν ἢ καταμεμυ-*

10 Exod 20, 14 | 10 Exod 20, 17 | 18 Matth 18, 7

2 *κολαζομένῳ* post *πικρῶς* yt, sed *κολαζομένου* y | 2 *ποιήσης* xt | 3 *ἀλλ'* yt | 3 *ἀρτὴν* y | 3 *ἀρνήσει* w | 3 *αὐτὸ* wxy, *αὐτὴν* cum praecedd coniunctum t | 4 *ἐφ' ἴσης* y, *ποιήσης* t | 5 *ἐποίησες* y | 6 *ὠρέξεως* w | 7. 8 *προσάποστῆναί* w | 8 *σοὶ* wx, *σὲ* yt | 9 *συνεπιδιδοὺς* xt | 9 *ἐλεηθήσει* w | 11 *ἢ* wxt, *ἡ* y | 12 *προσέπεμψέ* t | 13 *ἀπέσχου* .... 14 *αὐτήν* > t | 13 *ἀπέχου* W | 14 *μὲν* y | 15 *νεοτέρου* t | 16 *εὑρίσκει* y | 17 *αὐτῆς* Wt | 17 *καὶ* ..... 18 *κληρονόμος* > x | 18 *κληρονόμ*.... W | 19 *διὰ τούτου κακὸν* yt | 19 *ἐπιστηριχθῇ* w | 20 *ὁσιώτητα* y | 22 *κάλλος ἐκ θεοῦ* w | 23 *αὐτῶ* x | 24 *οὕτω* t; *οὕτως* cum sequentibus iungit y, x utrimque punctum ponit, t a neutro latere *οὕτω* sui | 24 *σου* post *κόμης* y | 24 *κώμης* t | 25 *συνκόπτων* x | 25 *κατακτενιζομένου* t

*ρισμένου σου ἐπαγάγῃς σεαυτῷ τὰς οὕτως ἀγρευομένας ἢ
ἀγρευούσας γυναῖκας. μηδὲ ἐπιτετηδευμένῃ σοι τῇ ἐσθῆτι
χρήσῃ εἰς ἀπάτην μηδὲ ἀναξυρίδας ἢ κρηπῖδάς σου τοῖς ποσὶ
κακοτέχνως ὑπορρίψῃς, ἀλλὰ τὸ τῆς σεμνότητος καὶ τὸ τῆς
χρείας μόνον, μηδὲ χρυσήλατον σφενδόνην τοῖς δακτύλοις
σου περιθῇς, ὅτι πάντα ταῦτα ἑταιρισμοῦ τεκμήρια ὑπάρ-
χει, ἅπερ παρὰ τὸ προσῆκον ἐπιτηδεύων οὐ ποιήσεις δι-
καίως. πιστῷ γάρ σοι ὄντι καὶ ἀνθρώπῳ τοῦ θεοῦ οὐκ
ἔξεστί σοι τρέφειν τὰς τρίχας τῆς κεφαλῆς καὶ ποιεῖν σι-
σόην, ὅ ἐστι σπατάλιον ἢ ἀπόχυμα, ἢ μεμερισμένην τη-
ρεῖν οὔτε μὴν ὀγκοποιεῖν * διαξαίνειν τε καὶ πλάσσοντα οὔλην
διατιθεῖν ἢ ξανθοποιεῖν αὐτήν. ἐπείπερ καὶ ὁ νόμος ἀπα-
γορεύει φάσκων ἐν τῷ δευτερονομίῳ Οὐ ποιήσετε ὑμῖν σι-
σόην ἢ ἀναξυρίδας. χρὴ δὲ οὐδὲ γενείου τρίχα διαφθείρειν
? ||καὶ τὴν μορφὴν τοῦ ἀνθρώπου παρὰ φύσιν ἐξαλλάσσειν.
οὐκ ἀπομαδαρώσετε γάρ, φησὶν ὁ νόμος, τοὺς πώγωνας
ὑμῶν. τοῦτο γὰρ γυναιξὶν εὐπρεπὲς ὁ κτίσας ἐποίησε θεός,
ἀνδράσι δὲ ἀνάρμοστον ἐδικαίωσεν. σὺ δὲ ταῦτα ποιῶν
δι' ἀρέσκειαν, ἐναντιούμενος τῷ νόμῳ, βδελυκτὸς γενήσῃ
παρὰ τῷ θεῷ τῷ κτίσαντί σε κατ' εἰκόνα ἑαυτοῦ. ἐὰν οὖν
θέλῃς θεῷ ἀρέσκειν, ἀπόσχου πάντων ὧν μισεῖ αὐτὸς καὶ
4 μηδὲν πρᾶσσε τῶν αὐτῷ ἀπαρεσκόντων. | οὐκ ἔσῃ * πωτώ-
μενος * καὶ ἀλώμενος ἐν ταῖς ῥύμαις, ἀκαιροεπόπτης τῶν*

8 Tim α 6, 11 | 13 Lev 19, 27 | 16 Lev 19, 27

1 *σαυτῷ* y | 2 *μηδὲ* .... 3 *ἀπάτην* bis y | 2 *ἐπιτηδευμένη* w | 2 *σοι* wxy, *σὺ* t | 3 *χρήσει* w | 3 *κριπίδας* wx, *κρηπίδα* y | 3 *ποσὶν* xy | 4 *κακοτέχνους* y | 4 *ὑπορράψῃς* wt, *ὑπορίψῃς* y | 4 *τὸ* alterum > yt | 5 *χρυσίλατον* x | 6 *ταῦτα πάντα* yt | 6 *ἑτερισμοῦ* y | 9 *ἔξεστίν* x | 9 *σοι* > w | 9 *καὶ ποιεῖν* y in margine, in textu spatium vacuum | 9. 10 *εἰσόην* w, sed quod in *σισόην* mutatum videri possit, *εἰς ἐνόεστιν* ita cum sequentibus iunctum y, *εἰς ἕν* t | 10 *ἐστιν* xy | 10 *ἀπό* sequente spatio vacuo y et in margine *σχημα* | 10 *μεριστὴν* w, *μερισμὴν* x, cum proximo vocabulo coniunctum *μερισμητήρειν* y | 11 *οὐδὲ* yt | 11 *ἢ* + t | 11 *διαξαίνοντά τε* t | 13 *ποιήσεται* y | 13. 14 *σεισόην* wt | 14 *ἢ* wx, *οὐδὲ* yt | 14 *γενίου* y | 14 *τρίχας* y | 14 *διαφθήρειν* w | 16 *ἀπομαδαρώσεται* w | 16 *φησι* W | 16 *πώγονας* w | 17 *γυναξὶν* t | 17 *ἐποίησεν* xy | 18 *ἐδικαίωσε* t | 18 *σὺ* .... 19 *ἀρέσκειαν* > w | 19 *διὰ* t | 19 virgulam post *ἀρέσκειαν* > t | 19 *βδελλυκτὸς* w | 19 *γενήσει* wy | 20 *τῷ* prius > yt | 20 *αὐτοῦ* x | 22 *ὡς* + t | 22. 23 *πετόμενος* t | 23 *καὶ ἐμπεριπατῶν* + t | 23 *ἀλόμενος* t | 23 *ἀκεροεπόπτης* x

*κακῶς ζώντων, ἀλλὰ τῇ τέχνῃ σου ἢ τῷ ἔργῳ σου προ-
σέχων τὰ τῷ θεῷ φίλα ἀναζήτει ποιεῖν καὶ τὰ * χρι-
στοῦ λόγια ἀναμιμνησκόμενος διηνεκῶς μελέτα. λέγει γὰρ
ἡ γραφή σοι ὅτι Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσεις ἡμέρας καὶ
νυκτός, περιπατῶν ἐν ἀγρῷ καὶ ἐν οἴκῳ καθήμενος, καὶ
κοιταζόμενος καὶ ἀνιστάμενος, ἵνα συνῇς ἐν πᾶσιν. ἀλλ'
εἰ καὶ πλούσιος ὑπάρχεις, χρείαν τέχνης πρὸς τὸ τρέφεσθαι
οὐκ ἔχων, ῥεμβὸς μὴ γίνου μηδὲ ἀκαιροπερίπατος, ἀλλ'
εἴτε προσέρχῃ τοῖς πιστοῖς τε καὶ ὁμοδόξοις συμβάλλων τὰ
ζωοποιὰ προσομίλει ῥήματα· | εἰ δὲ μή, καθεζόμενος ἔνδον* 5
*ἀναγίνωσκε τὸν νόμον, τὰς βασιλείους, τοὺς προφήτας,
ψάλλε τοὺς ὕμνους *, διέρχου ἐπιμελῶς τὸ εὐαγγέλιον τὸ
τούτων συμπλήρωμα. | τῶν ἐθνικῶν βιβλίων πάντων ἀπέ-* 6
*χου. * τί γάρ σοὶ καὶ ἀλλοτρίοις λόγοις ἢ νόμοις ἢ ψευδο-
προφήταις; ἃ δὴ καὶ παρατρέπει τῆς πίστεως τοὺς ἐλα-
φρούς. τί γάρ σοὶ καὶ λείπει ἐν τῷ νόμῳ τοῦ θεοῦ, ἵνα
ἐπ' ἐκεῖνα τὰ ἐθνόμυθα ὁρμήσῃς; εἴτε γὰρ ἱστορικὰ θέλεις
διέρχεσθαι, ἔχεις τὰς βασιλείους· εἴτε σοφιστικὰ καὶ ποιη-
τικά, ἔχεις τοὺς προφήτας, τὸν Ἰώβ, τὸν παροιμιαστήν,
ἐν οἷς πάσης ποιήσεως καὶ σοφιστείας πλείονα ἀγχίνοιαν
εὑρήσεις, ὅτι κυρίου * μόνου σοφοῦ θεοῦ φθογγαί εἰσιν·
εἴτε ᾀσματικῶν ὀρέγῃ, ἔχεις τοὺς ψαλμούς· εἴτε ἀρχαιογο-
νίας, ἔχεις τὴν γένεσιν· εἴτε νομίμων καὶ παραγγελιῶν,
τὸν ἔνδοξον κυρίου τοῦ θεοῦ νόμον. πάντων οὖν τῶν ἀλ-
λοτρίων καὶ διαβολικῶν ἰσχυρῶς ἀπόσχου. πλὴν καὶ τὸν
νόμον ἀναγινώσκων τῶν ἐν αὐτῷ ἐπεισάκτων ἀπόσχου εἰ
καὶ μὴ πάντων, ἀλλὰ τινῶν, * τῆς δευτερώσεως, μόνον δὲ
πρὸς ἱστορίαν ἀναγίνωσκε εἰς τὸ γινώσκειν σε καὶ δοξάζειν
τὸν θεόν, ὅτι ἀπὸ τοιούτων καὶ τοσούτων σε ἐρρύσατο*

4 Iosue 1, 8 | 5 Deut 6, 7

1 *ἢ* wxy, *καὶ* t | 2 *τοῦ* + yt | 4 *ἡ γραφή σοι* xyt, *ἐν γραφῆι σου* w | 4 *μελετήσει* w | 6 *διανιστάμενος* yt | 6 *συνιῇς* t | 7 *χρεία* y | 8 *οὐκ ἔχων* > w | 8 *μὴ ῥεμβὸς* t | 8 *ἀκαιροπεριπάτητος* t | 9 *προσέρχει* x | 9 *συμβαλὼν* w | 12 *δάδ* + t | 13 *ἐθνηκῶν* w | 14 *τὰ αἱρετικὰ μὴ ἀναγίνωσκε* + y | 15 *τῆς πίστεως* post *ἐλαφροὺς* w | 16 *λίπει* w | 17 *ἑονόμυθα* y | 17 *ὁρμήσεις* w | 17 *θέλης* w | 20 *σοφιστίας* xy, *προφητείας* w | 20 *πλείωνα* t | 21 *τοῦ* + yt | 21 *εἰσὶν φθογγαί* w | 22. 23 *ἀρχεογονίας* x | 26 *ἐπισάκτων* x | 27 *τῶν* + t | 29 *τοιούτων* wxt, *τούτων* y | 29 *ἐρρύσατό σε* yt

δεσμῶν. ἔστω δέ σοι πρὸ ὀφθαλμῶν γινώσκειν || τί νόμος φυσικὸς καὶ τί τὰ * τῆς δευτερώσεως τά τε ἐν τῇ ἐρήμῳ τοῖς μοσχοποιήσασι δοθέντα ἐπείσακτα. νόμος γάρ ἐστιν ἃ ἐλάλησε κύριος ὁ θεὸς πρὸ τοῦ τὸν λαὸν εἰδωλολατρῆσαι *, τοῦτ' ἔστιν ἡ δεκάλογος. ἃ δὲ ἁμαρτήσασιν αὐτοῖς ἐπετέθη δεσμά, σὺ ἑαυτῷ μὴ ἐπισπάσῃ. ὁ γὰρ σωτὴρ * ἡμῶν οὐ δι' ἕτερόν τι ἦλθεν ἢ ἵνα * πληρώσῃ τὸν νόμον καὶ τοὺς προφήτας καὶ τὰ δεσμὰ τῆς δευτερώσεως τῶν ἐπεισάκτων ἢ παύσῃ ἢ μεταθῇ. διὰ γὰρ τοῦτο προσκαλούμενος ἡμᾶς ἔλεγεν Δεῦτε *, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. σὺ οὖν ἀναγνοὺς τὸν νόμον, σύμφωνον ὄντα τῷ εὐαγγελίῳ καὶ τοῖς προφήταις, ἀναγίνωσκε καὶ τὰς βασιλείους, ὅπως εἰδέναι ἔχοις ὁπόσοι δίκαιοι ἐγένοντο βασιλεῖς, καὶ ηὐξήθησαν ὑπὸ τοῦ θεοῦ, καὶ ἡ ἐπαγγελία τῆς αἰωνίου ζωῆς αὐτοῖς διέμεινε παρ' αὐτῷ, ὅσοι δὲ βασιλεῖς ἐξεπόρνευσαν ἀπὸ θεοῦ ἐν ἀποστασίᾳ αὐτῶν, συντόμως ἀπώλοντο τῇ τοῦ θεοῦ δικαιοκρισίᾳ καὶ τῆς αὐτοῦ ζωῆς ἐστερήθησαν, ἀντὶ ἀναπαύσεως αἰωνίαν κόλασιν κληρωσάμενοι. ταῦτα οὖν ἀναγινώσκων, πολὺ τῇ πίστει αὐξηθεὶς προσοικοδομηθήσῃ χριστῷ, οὗ σῶμα καὶ μέλος τυγχάνεις. περιπατῶν δὲ ἐν τῇ ἀγορᾷ καὶ λούσασθαι βουλόμενος χρήσῃ βαλανείῳ ἀνδρείῳ, ἵνα μὴ διὰ τὸ ἐπιδεικνύναι τὸ σῶμα ἐν ἀσχημόνῳ ἀποκαλύψει γυναιξὶν ἢ θεάσασθαι θέαν οὐχ ἁρμόζουσαν ἀνδράσιν ἢ σὺ παγιδευθῇς ἢ παγιδεύσῃς ἐπὶ σεαυτῷ *. φυλάσσου οὖν τὰ τοιαῦτα, ἵνα μὴ

7 Matth 5, 17 | 10 Matth 11, 28

2 διὰ + wy | 3 μοσχοποιήσασιν xy | 3 ἐπίσακτα x | 3 ἐστι t | 4 ἃ wxy, τίνα t | 4 ἐλάλησεν xy | 4. 5 εἰδολολατρῆσαι w, εἰδωλολατρίσαι x | 5 καὶ μοσχοποιῆσαι τὸν παρ' αἰγυπτίοις Ἄπιν + t | 5. 6 ἐπετέθη αὐτοῖς y | 6 σεαυτῷ t | 6 καὶ θεὸς + w | 7 ῥύσηται τοὺς ὑποδίκους τῆς ἀποκειμένης ὀργῆς καὶ + t | 9 παύσει w | 10 ἔλεγε t | 10 πρὸς μέ + yt | 13 βασιλείας y | 13 ἔχεις wxY | 14 ηὐξήνθησαν w | 14 τοῦ > yt | 15 ἐπαγγελεία w | 15 διέμεινεν xy | 18 αἰώνιον w | 19 κληροσάμενοι w | 20 αὐξηθήσει καὶ προσοικοδομηθήσει w | 20 προσοικοδομηθήσει etiam y | 21 τυγχάνης Y | 22 βαλανίω yt | 22 ἀνδρίωι w, ἀνδρίω y | 22 τὸ xyt, τοῦ w | 23 τὸ wx, σε yt | 23 ἀσχήμω yt | 24 παγιδευθεις x | 25 παγιδεύσεις x | 25 σαυτῷ yt | 25 τὰς οὕτως εὐαλώτους γυναῖκας + t | 25 να t

λάβῃς βρόχους τῇ ἑαυτοῦ ψυχῇ. | μάθωμεν γὰρ τί λέγει ἐν 7
τῇ σοφίᾳ ὁ ἅγιος λόγος· Υἱέ, φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. εἰπὸν τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνωρίμην περιποίησαι σεαυτῷ, ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς, ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται. ἀπὸ γὰρ θυρίδος οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα, ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων, νεανίαν ἐνδεῆ φρενῶν, παραπορευόμενον ἐν ἀγορᾷ, ἐν διόδοις οἴκων αὐτῆς, καὶ λαλοῦντα ἐν σκότει ἑσπερινῷ, ἡνίκα ἂν * ἡσυχία νυκτερινὴ * καὶ γνοφώδης — ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ || εἶδος ἔχουσα o πορνικόν, ἣ ποιεῖ νέων ἐξίπτασθαι καρδίας, ἀνεπτερωμένη δέ ἐστιν καὶ ἄσωτος, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς· χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν γωνίαν *. εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτόν, ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτῷ Θυσία εἰρηνική μοι ἐστὶ σήμερον, ἀποδίδωμι τὰς εὐχάς μου. ἕνεκεν τούτου ἐξῆλθον εἰς συνάντησίν σου, ποθοῦσα ἰδεῖν τὸ σὸν πρόσωπον εὕρηκά σε. κηρίαις τέτακα τὴν κλίνην μου, ἀμπιτάποις δὲ ἔστρωκα τοῖς ἀπ' Αἰγύπτου. διέρραγκα τὴν κοίτην μου κρόκῳ, τὸν δὲ οἶκόν μου κιναμώμῳ. ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου, δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι — καὶ τὰ ἑξῆς, οἷς ἐπιφέρει Ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν. ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς. καὶ πάλιν λέγει Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ

2 Prov 7, 1. 4—18 | 23 Prov 7, 21. 22 | 26 Prov 5, 2—4

1 τῆς w | 1 σεαυτοῦ y | 1 ψυχῇ W, ψυχῆς w | 1 γὰρ > x | 1 τί λέγει post σοφίᾳ 2 t | 2 φυλάσσου y | 4 γνώριμον Yt | 5 τηρήσει w | 10 ἑσπερινῶ xyt, νυκτερινῶι w | 10 ἡ + y, ἣ + t | 11 ἡ + y inter versus | 11 ζοφώδης w | 11 ἡ δὲ γυνὴ > w | 11 ἀπαντᾶ αὐτὸν w | 12 ἣ .... καρδίας > w | 13 ἔστι w | 13 οὐκ y | 14 ἐμ y | 15 ad παρὰ in margine y adscriptum γρ' καὶ περί | 15 γονίαν y | 15 ἐνεδρεύει + yt | 16 ἀνεδεῖ y | 16 αὐτῷ wxy, αὐτόν t | 17 ἐστιν xy | 17 σήμερον cum praecedd iungunt wx, cum sequentibus y, t non interpungit | 17 ἀποδίδομι x | 17 ἕνεκα t | 18 σοι x | 18 ἰδεῖν > yt | 19 κειρίαις yt | 19. 20 ἀμφιτάπησι t | 20 ἔστρωσα yt | 20 δίξρανα w, διέραγκα Yx | 21 κοίτην bis y | 21 κινναμώμω yt | 22 δεύρω wy (ῦ y) | 23 ἀπεπλάνησεν xy | 24 ἐξώκιλεν wxy | 25 ἐπικολούθησεν wy

χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. καὶ πάλιν Ἀλλὰ ἀποπήδησον, * μὴ ἐγχρονίσῃς μηδὲ ἐπιστήσῃς * σὸν ὄμμα πρὸς αὐτήν. πολλοὺς γὰρ τρώσασα καταβέβληκεν, καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν. εἰ δὲ μή, φησί, μεταμεληθήσῃ ἐπ' ἐσχάτων σου, ἡνίκα ἂν κατατριβῶσι σάρκες σώματός σου. καὶ ἐρεῖς Πῶς ἐμίσησα παιδείαν καὶ ἐλέγχους * ἐξέκλινεν ἡ καρδία μου; οὐκ ἤκουον φωνῆς παιδεύοντός με καὶ διδάσκοντός με, οὐ παρέβαλον τὸ οὖς μου. παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ. ἵνα δὲ μὴ διὰ πλειόνων παρεκτείνωμεν τὰς μαρτυρίας, καὶ || εἴ τινα παρήκαμεν, οἱ σοφοί, ἑαυτοῖς τὰ καλὰ ἐπιλέγοντες ἐκ τῶν ἱερῶν γραφῶν, ἐπιστερεοῦσθε παραιτούμενοι πάντα τὰ φαῦλα εἰς τὸ ὁσίους
8 εὑρεθῆναι ὑμᾶς ἐν ζωῇ αἰωνίῳ παρὰ θεῷ. | ἡ δὲ γυνὴ ὑποτασσέσθω τῷ * ἑαυτῆς ἀνδρί, ὅτι κεφαλὴ τῆς γυναικὸς ὁ ἀνὴρ ὑπάρχει, τοῦ δὲ ἀνδρὸς τοῦ πορευομένου ἐν ὁδῷ δικαιοσύνης κεφαλή ἐστιν ὁ χριστός, τοῦ δὲ χριστοῦ * κεφαλὴ ὁ ἐπὶ πάντων θεὸς καὶ πατὴρ αὐτοῦ. μετὰ οὖν τὸν παντοκράτορα θεὸν ἡμῶν καὶ πατέρα, τοῦ * ἐνεστῶτος καὶ τοῦ μέλλοντος αἰῶνος κύριον, πάσης τε πνοῆς καὶ δυνάμεως δημιουργόν, καὶ τὸν ἠγαπημένον αὐτοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν * χριστόν, ᾧ ἡ δόξα *, φοβήθητί σου τὸν ἄνδρα, ὦ γύναι, καὶ ἐντράπηθι αὐτόν, μόνῳ ἀρέσκουσα αὐτῷ, ὑπάρχουσα εὐάρεστος ἐν ταῖς διακονίαις αὐτοῦ, ἵνα καὶ ἐπὶ σοὶ μακαρισθῇ ὁ ἀνὴρ διὰ τῆς σοφίας

3 Prov 9, 18 | 5 Prov 7, 26 | 6 Prov 5, 11—14 | 16 Cor α 11, 3

4 καὶ + t | 4 ἐνχρονίσησης x, ἐνχρονίσης y | 4 τὸ + y | 5 καταβέβληκε t | 6 φησιν xy | 6 μεταμεληθήσει w, μεταμεληθεὶς x | 7 σου > w | 7 κατατριβῶσιν xy | 8 καὶ alterum > y | 8 δὲ δικαίων + y, δικαίων + t | 9 ἴκονον w | 10 παρέβαλλον t | 11 δὲ μὴ wxy, μὴ δὲ t | 13 fin virgulam ante ἐκ ponit t, non interpungit x | 14 ἐπιστερεοῦσθαι y | 15 ἡμᾶς x | 16 ἰδίῳ + y | 18 δὲ post χριστοῦ t | 18 ἡ + y | 19 ἐπὶ πάντων > t | 20 virgulam ab wy post πατέρα positam > xt | 20 τε + yt | 21 αἰῶνος post ἐνεστῶτος 20 w | 21 virgulam ante κύριον t | 23 τὸν + yt | 23 ᾧ wx, δι' οὗ y, οὗ t | 23 τῷ θεῷ + yt | 24 ἐντράπητι xy | 24 αὐτῷ t virgula sequenti deleta | 25 virgula ante αὐτῷ t | 26 σοῦ x

τῆς λεγούσης διὰ * Σολομῶντος τάδε· Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστιν λίθων πολυτελῶν ἡ τοιαύτη· θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς. ἡ τοιαύτη σκύλων οὐκ ἀπορήσει, ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ κατὰ πάντα τὸν βίον. μυρευομένη ἔριον καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. ἐγένετο ὡς ναῦς ἐμπορευομένη μακρόθεν, συνάγουσα αὐτῷ τὸν βίον. καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκεν βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν * χειρῶν αὐτῆς ἐφύτευσεν κτῆμα. ἀναζωσαμένη * τὴν ὀσφὺν αὐτῆς ἤρεισεν τοὺς ἑαυτῆς βραχίονας *, καὶ ἐγεύσατο ὅτι καλὸν τὸ ἐργάζεσθαι. καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. τοὺς πήχεις αὐτῆς ἐκτείνει εἰς τὰ χρήσιμα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. χεῖρας * αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς *· πάντες γὰρ οἱ παρ' αὐτῆς εἰσιν ἐνδεδυμένοι. δισσὰς στολὰς καὶ χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ βύσσου καὶ πορφύρας ἐνδύματα. περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν κάθηται ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων τῶν κατ' οἶκον τῆς γῆς, σινδόνας ἐποίησεν καὶ ἀπέδοτο τοῖς Φοίνιξιν, περιζώματα δὲ τοῖς Χαναναίοις. δόξαν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη || ἐν ἡμέραις ἐσχάταις. τὸ στόμα αὐτῆς διήνοιξεν σοφῶς καὶ προσηκόντως, καὶ τά-

1 Prov. 31, 10—31

1 λεγούσις w | 1 τοῦ + y | 4 κύλων W | 5 μὴ ῥυομένη y, μηρυσαμένη t | 5. 6 εὐχρήστως y, εὔχρηστα t | 6 αὐτ... W | 7 μακρόθεν cum sequentt iungit t, xy virgula carent | 8 ἔδωκε w | 8. 9 θεραπέναις y | 9 τῶν + yt | 10 ἐφύτευσε w | 10 ἰσχυρῶς + w | 10 ὀσφὺν wyt, ἰσχὺν x | 11 ἤρησεν x, ἤρισεν y, ἤρεισε t, ἐξέτεινε w | 11 βραχίονας αὐτῆς w | 11 εἰς ἔργον + w | 13 ὅλην τὴν νύκτα ad sequentia trahit y | 13 τοὺς xyt, τὰς w | 13 ἐκτείνη w | 13. 14 ἐπὶ τὰ συμφέροντα y | 14 δὲ > t | 14 αὐτῆς > y | 14 ἐρίδει x | 14 δὲ + yt | 14. 15 χεῖρας αὐτῆς > w, substituto καὶ | 15 διήνοιξεν xy | 15 ἐξέτεινεν x | 15 πτοχῷ y | 16 ὅταν ποῦ χρονίζει + w | 17 αὐτῇ wt | 17 punctum post στολὰς t | 17 χλανίδας y | 18 ἐποίησεν xy | 20. 21 τῶν κατ' οἶκον x, τῶν κατοίκων y, καὶ κατοίκων w, τῶν κατοικούντων t | 21 τῆς γῆς > xt | 21 σινδόνας ..... p. 11, 11 αὐτῆς > w | 21 ἐποίησε t | 22 φοίνιξι t | 24 τὸ > xt | 24 διήνοιξε t

ξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. στεγναὶ * διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν. τὸ στόμα αὐτῆς ἀνοίξει σοφῶς καὶ ἐννόμως, θεσμοὶ δὲ ἐλεημοσύνης αὐτῆς ἐπὶ τῆς γλώσσης αὐτῆς. ἀνέστησαν τὰ τέκνα αὐτῆς καὶ πλουτήσαντα ᾔνεσαν αὐτήν, καὶ ὁ ἀνὴρ αὐτῆς ἐπήνεσεν αὐτήν. πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικὸς μὴ ἔστω ἐν σοί· γυνὴ γὰρ εὐσεβὴς εὐλογεῖται, φόβον δὲ κυρίου αὐτὴ αἰνείτω. δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς. καὶ πάλιν Γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς. καὶ πάλιν Πολλαὶ γυναῖκες ᾠκοδόμησαν οἶκον. μεμαθήκατε ὁποῖα ἐγκώμια γυνὴ σώφρων * καὶ φίλανδρος λαμβάνει ἀπὸ κυρίου τοῦ θεοῦ. εἰ πιστὴ καὶ ἀρεστὴ κυρίῳ βούλει εἶναι, ὦ γύναι, μὴ καλλωπίζου ἐπὶ τῷ ἀρέσκειν σε ἀλλοτρίοις ἀνδράσιν, μηδὲ τὰ τῆς ἑταιριζομένης ἐμπλέγματα ἢ ἐνδύματα ἢ ὑποδέσεις μιμοῦ φορεῖν ἐπὶ τῷ ὑπάγεσθαί σε τοὺς εἰς τὰ τοιαῦτα παγιδευομένους. καὶ γὰρ εἰ σὺ οὐκ ἐπὶ τῷ ἁμαρτάνειν ταῦτα ποιεῖς τὰ μύση, ἐπὶ δὲ τὸ μόνον καλλωπίζεσθαι, οὐδ' οὕτως ἐκφεύξῃ τὴν δίκην εἰς τὰ μετὰ ταῦτα, ἀναγκάσασα ἐπενεχθῆναί σοι τινὰ εἰς τὸ ἐπιθυμῆσαί σου, καὶ μὴ ἑαυτὴν φυλάξασα ἐπὶ τῷ μήτε σὲ ὑποπεσεῖν ἁμαρτίᾳ μήτε μὴν ἑτέρους σκανδάλῳ. εἰ γὰρ καὶ ἁμαρτήσεις ἐνδοῦσα ἑαυτήν, καὶ σὺ ἐπλημμέλησας κἀκείνου ἔνοχος τῆς ψυχῆς ἐγένου. εἶτα ἁμαρτήσασα ἐφ' ἑνί, ὥσπερ ἀπογνοῦσα εἰς ἅπαξ ἐφ' ἑτέρους ἐκτραπήσῃ πάλιν, ἀπηλγηκυῖα, καθά φησιν ὁ θεῖος λόγος Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ

11 Prov 12, 4 | 12 Prov 14, 1 | 27 Prov 18, 3

1 *γλώττη* y | 1 *δὲ* + yt | 2 *ἔφαγε* t | 2 *τὸ* > x | 2 *διήνοιξεν* x | 3 *αὐτῆς* > t | 6 *θυγατέραις* xy | 6 *ἐκτήσαντο πλοῦτον πολλαὶ* > x | 6 *ἐποιήσαντο* y | 7 *ὑπέρκεισε* y | 8 *ἀρέσκιαι* x | 8 *ἐν* > t | 9 *αὐτὴ* yt, *αὕτη* x | 10 *δώτε* y | 10 *καρπὸν* y | 11 *ἀνδρία* w | 12 *τῷ* > x | 12 *πολλαὶ* wxt, *σοφαὶ* y | 13 *οἴκους* w | 13 *ἐνκώμια* x | 13 *τε* + w | 15 *τῷ* xyt, *τὸ* w | 16 *ἀνδράσι* t | 16. 17 *ἑτεριζομένης* y | 18 et 19 *τῷ* wxy, *τὸ* t | 20 *τὸ* wxt, *τῶ* y | 20 *οὐδὲ* y | 20 *ἐκφεύξει* w | 21 *εἰς τὰ* > w | 22 *τῷ* wxy, *τὸ* t | 23 *ἑτέρου* y | 23 *σκανδαλήσασα* w | 24 *γὰρ* wx, *δὲ* yt | 24 *ἐνδύουσα* w | 24 *σαυτήν* y | 26 *ἐκτραπήσει* y | 28 *βάθος* xyt, *πλῆθος* w

ἀτιμία καὶ ὄνειδος. ἡ γὰρ τοιαύτη λοιπὸν ἀφειδῶς τετρωμένη παγιδεύει ψυχὰς ἀφρόνων. μάθωμεν οὖν καὶ τὰς τοιαύτας πῶς θριαμβεύει ὁ θεῖος λόγος φάσκων Ἐμίσησα ὑπὲρ τὸν θάνατον σὺν τὴν γυναῖκα, ἥτις ἐστὶν θήρευμα καὶ σαγήνη καρδίας, δεσμοὶ αἱ χεῖρες αὐτῆς. καὶ ἐν ἄλλοις Ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥινὶ ὑός, οὕτως γυναικὶ κακόφρονι κάλλος. καὶ πάλιν Ὥσπερ ἐν ξύλῳ σκώληξ, οὕτως ἀπόλλυσιν ἄνδρα γυνὴ κακοποιός. καὶ πάλιν Κρεῖσσον οἰκεῖν ἐν γωνίᾳ ὑπαίθρου ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμης. μὴ οὖν μιμεῖσθε τὰς τοιαύτας γυναῖκας, ὑμεῖς αἱ χριστιαναὶ || ὑπάρχουσαι. πιστὴ δὲ θέλουσα εἶναι, τῷ σῷ ἀνδρὶ πρόσεχε b ἐπὶ τῷ ἀρέσκειν αὐτῷ μόνῳ, ἐν δὲ ταῖς πλατείαις σκέπουσα τὴν κεφαλήν σου· διὰ γὰρ τῆς ἐπικαλύψεως ἀποκλείσεις τὴν θέαν τοῖς περιεργοτέροις. μὴ καταξωγράφει σου τὸ ὑπὸ θεοῦ πεποιημένον πρόσωπον· οὐδὲν γὰρ ἐν σοὶ ὃ κοσμήσεως δέεται, ἐπείπερ πάντα ὅσα ἐποίησεν ἐν σοὶ ὁ θεὸς καλὰ λίαν, ἀσελγὴς δὲ * ἐν καλῷ ἐπικόσμησις τεχνίτου χάριν ἐνυβρίζει. κάτω βλέπουσα τὴν ὁδοιπορίαν σου ποιοῦ, περικαλύπτουσα ἑαυτήν, καθὼς πρέπει γυναιξίν. | 9 περιίστασο καὶ τὴν ἐν βαλανείῳ μετὰ ἀνδρῶν ἄτακτον γινομένην λοῦσιν· πολλὰ γὰρ τὰ δίκτυα τοῦ πονηροῦ. ἀνδρόγυνον πιστὴ γυνὴ μὴ λουέσθω. εἰ γὰρ περικαλύπτεται γυνὴ τὸ πρόσωπον, τὴν ἀπ' ἀλλοτρίων ἀνδρῶν ὄψιν μετὰ αἰδοῦς κρύπτουσα, πῶς γυμνὴ μετὰ ἀνδρῶν ἡ τοιαύτη εἰς λουτρὸν εἰσελεύσεται; γυναικείου δὲ ὄντος βαλανείου, εὐτάκτως μετὰ αἰδοῦς μεμετρημένως λουέσθω. μὴ περισσοτέραν δὲ λοῦσιν ποιείσθω μηδὲ πολλὴν μηδὲ πολλάκις μηδὲ ἐν μέσῃ

3 Eccl 7, 26 | 5 Prov 11, 22 | 7 Prov 12, 4 | 8 Prov 21, 19

3 ἐμίσησα .... 5 ἄλλοις > w | 4 σὺν > y | 4 ἐστὶ t | 4. 5 σαγίνη y | 5 virgulam ante καρδίας x | 5 αἱ wxy, δὲ t | 6 οὕτω t | 7 καὶ .... 8 κακοποιὸς post μαχίμης 9 w | 8 ἄνδρας t | 8 πάλιν xyt, ἐν ἄλλοις w | 8. 9 ἐπὶ γωνίας yt | 9 ὕπερθρος w | 9 γλωσσόδους x | 10 μιμεῖσθαι y 12 τῶι w, τῶ xy, τὸ t | 12. 13 σκέπε y | 13. 14 ἀποκλήσεις w | 16 ἐν σοὶ > yt | 17 δ' t | 17 ἡ + w | 20 βαλανίωι w, βαλανίω y | 20 μετὰ ἀνδρῶν > X, sed m. pr. habet x in margine | 20. 21 γενομένην W ? | 21. 22 ἀνδρόγυνον xyt, μετὰ ἀνδρὸς w | 22 γυνὴ πιστὴ yt | 22 γυνὴ alterum > yt | 23 ἀπὸ w | 24 γυνὴ w | 25 γυναικίου wy | 25 βαλανίου ὄντος y | 26 μεμετριμένως yt

τῇ ἡμέρᾳ, ἀλλ' (εἰ δυνατόν) μηδὲ καθ' ἡμέραν. ὥρα δέ σοι ἔστω τακτὴ ἡ τῆς καιρολουσίας δεκάτη. δεῖ γάρ σε πιστὴν οὖσαν ἐκ παντὸς καὶ πάντοτε τὴν πολυόφθαλμον περιεργίαν φεύγειν. | τὸ δὲ μάχιμόν σου πρὸς πάντας, μάλιστα δὲ * πρὸς τὸν ἄνδρα σου, περίκοψον, πιστὴ ὑπάρχουσα, ἵνα σου ὁ ἀνήρ, ἐὰν ἢ πιστὸς ἢ ἐθνικός, μὴ διὰ σὲ σκανδαλισθεὶς βλασφημήσῃ θεόν, καὶ σὺ τοῦ οὐαὶ κληρονόμος εὑρεθήσῃ παρὰ θεῷ. οὐαὶ γάρ, φησί, δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. εἰ δὲ πιστὸς ὑπάρχει σου ὁ ἀνήρ, ἀναγκασθήσεται ὡς εἰδὼς τὰς γραφὰς εἰπεῖν τὸ ῥῆμα τὸ γεγραμμένον ἐν τῇ σοφίᾳ Κρεῖσσον οἰκεῖν ἐν ἐρήμῳ ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμης. αἱ οὖν γυναῖκες διὰ τῆς αἰδοῦς καὶ πραότητος τὴν θεοσέβειαν ἐνδείκνυσθε εἰς ἐπιστροφὴν καὶ προτροπὴν πίστεως καὶ τοῖς ἐκτὸς πᾶσιν εἴτε γυναιξὶν εἴτε ἀνδράσιν. καὶ εἰ δι' ὀλίγων νουθετήσαντες ἐπαιδεύσαμεν ὑμᾶς, ἀδελφαὶ καὶ θυγατέρες καὶ μέλη ἡμῶν, ὡς σοφαὶ καὶ αὐταί, ἀλοιδόρητοι τοῦ βίου *, ἐκζητεῖτε μαθήματα γινώσκειν, δι' ὧν δυνήσεσθε τῇ τοῦ κυρίου * ἐγγίσαι βασιλείᾳ εὐαρέστως καὶ ἀναπαύεσθαι *.

## B

Περὶ δὲ τῶν ἐπισκόπων οὕτως ἠκούσαμεν παρὰ τοῦ κυρίου ἡμῶν. τὸν ποιμένα τὸν καθιστάμενον ἐπίσκοπον εἰς τὰς ἐκκλησίας ἐν πάσῃ παροικίᾳ δεῖ ὑπάρχειν ἀνέγκλη-

8 Isaj 52, 5 | 11 Prov 21, 19

1 δή y | 2 med δεκτὴ w | 3 περιεργείαν y | 4 καὶ + yt | 5 τὸν > y | 5 πιστῆι w | 6 ἐὰν > y | 6 ἤ=ἢ t, ἢ xy, ἐστὶ w | 6 ἄπιστος t | 6 ἐθνηκὸς w | 7 βλασφημήσει w | 7 τοῦ wxt, τὸ y | 7 εὑρεθήσει w, εὑρεθῇς t | 8 φησιν x, φη̄ w | 9 ἔθνεσι W | 10 εἰδὸς w | 10 τὸ + t | 12 γλοσσώδους y | 15 ἀνδρᾶσι t | 16 θυγατέραις x | 17 αὗται t deleta virgula sequenti | 17 ἀλλοιδώρητοι t | 17 διαμείνατε + t | 18 ἡμῶν + yt | 19 ἀναπαύεσθε x, ἀναπαύσεσθε y | 19 εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν + t | subscriptum libro in x: καθολικὴ διδασκαλία περὶ λαϊκῶν τετέλεσται |

Titulus περὶ ἐπισκόπων πρεσβυτέρων καὶ διακόνων: βιβλίον δεύτερον wxt, nisi quod β' xt, βιβλ· t: καὶ et βιβλίον δεύτερον > y | 20 οὕτως > t | 22 πᾶσι παροικεία y

τον, ἀνεπίληπτον, ἀνέπαφον πάσης ἀδικίας ἀνθρώπων, οὐκ ἔλαττον ἐτῶν πεντήκοντα, ὅτι τρόπῳ τινὶ τὰς νεωτερικὰς ἐπιθυμίας καὶ τὰς ἔξωθεν διαβολὰς ἐκπεφευγὼς ὑπάρχει πρὸς τὰς τινῶν ψευδαδέλφων εἰς πολλοὺς ἐπιφερομένας βλασφημίας οὐ γινωσκόντων ῥῆμα θεοῦ τὸ ἐν τῷ εὐαγγελίῳ εἰρημένον Ὃς ἂν εἴπῃ ῥῆμα ἀργόν, ἀποδώσει περὶ αὐτοῦ λόγον τῷ κυρίῳ ἐν ἡμέρᾳ κρίσεως. καὶ πάλιν Ἐκ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ. ἔστω οὖν, εἰ δυνατόν, πεπαιδευμένος· εἰ δὲ καὶ ἀγράμματος, ἀλλ' οὖν ἔμπειρος τῶν λόγων, καθήκων τῇ ἡλικίᾳ. εἰ δὲ καὶ ἐν παροικίᾳ μικρᾷ ὑπαρχούσῃ που προβεβηκὼς τῷ χρόνῳ μὴ εὑρίσκηται μεμαρτυρημένος καὶ σοφὸς εἰς ἐπισκοπὴν κατασταθῆναι, νέος δὲ ᾖ ἐκεῖ, μεμαρτυρημένος ὑπὸ τῶν συνόντων αὐτῷ ὡς ἄξιος ἐπισκοπῆς, διὰ τῆς νεότητος ἐν πραΰτητι καὶ εὐταξίᾳ γῆρας ἐπιδεικνύμενος, δοκιμασθεὶς εἰ ὑπὸ τῶν πάντων οὕτως μαρτυρεῖται, καθιστάσθω ἐν εἰρήνῃ. καὶ γὰρ Σολομὼν δωδεκαετὴς τοῦ Ἰσραὴλ ἐβασίλευσεν, καὶ Ἰωσίας ἐν δικαιοσύνῃ ὀκτὼ ἐτῶν ἐβασίλευσεν, ὁμοίως δὲ καὶ Ἰωὰς ἑπτὰ ἐτῶν ἦρξε τοῦ λαοῦ. ὥστε εἰ καὶ νέος, ἀλλὰ πρᾶος ὑπαρχέτω δειλός τε καὶ ἡσύχιος· ὅτι λέγει διὰ τοῦ Ἠσαΐου κύριος ὁ θεὸς Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους *; ὁμοίως καὶ ἐν τῷ εὐαγγελίῳ οὕτως· Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. ἔστω οὖν καὶ ἐλεήμων, ὅτι πάλιν εἴρηται Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ἔστω δὲ καὶ εἰρηνο-

6 Matth 12, 36 | 7 Matth 12, 37 | 21 Isaj 66, 2 | 24 Matth 5, 5 | 25 Matth 5, 7

1 ἀδικίας xyt, πονηρίας w | 2 πεντίκοντα w, ν̄ y | 3 ἐπιθυμίας wx, ἀταξίας yt et in margine x sed nullo signo ad ἐπιθυμίας relatum | 6 εἰρημένον > yt | 6 εἴπει w, λαλήσῃ yt | 6 ῥημ y | 8. 9 κατακριθήσῃ w | 9 εἰ δυνατὸν > t | 9 εἰ δὲ > t | 10 ἀγράμματος ἀλλ' οὖν > t | 10 τοῦ λόγου yt | 12 εὑρίσκεται w, εὑρήσκηται y | 12 μεμαρτυρημένος .... 13 ἐκεῖ > t | 13 ἐπίσκοπον w | 15 ἐν > in rasura w | 15 πραότητι yt | 16 πάντων wx, τοιούτων yt | 16 οὕτως > yt | 18 ἐβασίλευσε t | 19 ἦρξεν x | 20 δειλός τε > in rasura w | 22 πρᾶον wx, ταπεινὸν yt | 23 διαπαντός + yt | 23. 24 οὕτω t | 24 κληρονομήσουσιν xy | 25 οὖν wx, δὲ yt | 26 ἔστω ... p. 15, 2 κληθήσονται > t

ποιός, ὅτι πάλιν λέγει Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ
υἱοὶ θεοῦ κληθήσονται. γινέσθω δὲ καὶ εὐσυνείδητος, πά-
σης κακίας καὶ πονηρίας καὶ ἀδικίας κεκαθαρμένος, ὅτι πά-
λιν εἴρηται Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν
2 θεὸν ὄψονται. | ἔστω οὖν καὶ νηφάλιος, σώφρων, κόσμιος,
εὐσταθής, ἀτάραχος, μὴ πάροινος, μὴ πλήκτης, ἀλλ' ἐπιει-
L κής, ἄμαχος, ἀ||φιλάργυρος. μὴ νεόφυτος, ἵνα μὴ τυφωθεὶς
εἰς κρίμα ἐμπέσῃ * τοῦ διαβόλου· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν
ταπεινωθήσεται. τοιοῦτον δὲ δεῖ εἶναι τὸν ἐπίσκοπον· μιᾶς
γυναικὸς ἄνδρα γεγενημένον, μονόγαμον, καλῶς τοῦ ἰδίου
οἴκου προεστῶτα. οὕτως γὰρ δοκιμαζέσθω, ὁπόταν τὴν χει-
ροτονίαν λαμβάνων καθίσταται ἐν τῷ τόπῳ τῆς ἐπισκοπῆς,
εἰ ἔστι πιστός, σεμνὸς καὶ κόσμιος, εἰ γυναῖκα σεμνὴν καὶ
πιστὴν ἔχει ἢ ἐσχήκει, εἰ τέκνα θεοσεβῶς ἀναθρέψας καὶ
ἐν νουθεσίᾳ κυρίου παιδεύσας προήγαγεν, εἰ οἱ κατ' οἶ-
κον αὐτοῦ, εὐλαβούμενοι καὶ ἐντρεπόμενοι αὐτόν, ὑπήκοοι
πάντες εἰσὶν αὐτῷ. εἰ γὰρ οἱ κατὰ σάρκα ἴδιοι αὐτοῦ πρὸς
αὐτὸν στασιάζουσι καὶ ἀπειθοῦσι, πῶς οἱ ἔξω τῆς οἰκίας
3 αὐτοῦ, ἴδιοι αὐτοῦ γενόμενοι, αὐτῷ ὑποταγήσονται; | δο-
κιμαζέσθω οὖν εἰ ἄμωμός ἐστι περὶ τὰς βιωτικὰς χρείας·
γέγραπται γὰρ * μωμοσκοπεῖσθαι τὸν μέλλοντα εἰς ἱερωσύ-
νην προχειρίζεσθαι. ὑπαρχέτω οὖν καὶ ἀόργητος, ὅτι λέγει
ἡ σοφία Ὀργὴ καὶ φρονίμους ἀπόλλυσιν. ἔστω δὲ εὔσπλαγ-
χνος, ἀβάναυσος, ἀγαπητικός· ὅτι λέγει κύριος Ἐν τούτῳ
γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλ-
λήλους. ἔστω καὶ εὐμετάδοτος, φιλόχηρος, φιλόξενος, ὑπη-
ρετικός, εὐδιάκονος, εὔσκυλτος, ἀνεπαίσχυντος, εἰδὼς τὸν

1 Matth 5, 9 | 4 Matth 5, 8 | 7 Tim α 3, 6 | 8 Luc 14, 11 | 21 Levit 21, 17 | 23 Prov 15, 1 | 24 Ioh 13, 35

1 αὐτοὶ post θεοῦ 2 y | 3 κεκαρθαρμένος w, κεκαθαρισμένος yt | 5 νηφάλαιος y | 7 νεόφυτον y | 8 καὶ παγίδα + t | 8 ἑαυτῶν X | 9 δὲ > y | 10 γυναικὸς post γεγενημένον yt | 10 μονογάμου t | 11 οὕτω t | 11. 12 χειροτονείαν y | 13 ἔστιν xy | 13 σεμνὸς πιστὸς καὶ κόσμιος t, πιστὸς καὶ κόσμιος καὶ σεμνός y | 13 σεμνὴν xt, συνετὴν w, πιστὴν y | 14 πιστὴν wxt, σεμνὴν y | 14 ἔχοι t | 14 ἔσχηκεν t | 18 στασιάζουσιν xy | 18 καὶ wxt, ἢ y | 18 ἀπιθοῦσι w, ἀπειθοῦσιν xy | 19 αὐτοῦ prius xyt, αὐτῶν w | 19 αὐτοῦ alterum > yt, αὐτῶ x | 19 αὐτῷ > x | 20 ἔστιν xy | 20 παρὰ x | 21 μὴ + t | 21 μωμοσκοπεῖσθε t | 23 φρονήμους y | 23 ἀπόλλυσι W | 23. 24 εὔσπλαγχος y | 26. 27 ὑπηρετηκός w

μᾶλλον ὄντα ἄξιον ὑπολήψεως. | εἰ γὰρ χήρα τις ὑπάρχουσα 4
ἡ δυναμένη ἐπαρκεῖν ἐν τῷ βίῳ τὰ χρηστήρια, ἑτέρα δὲ
οὐ χήρα, ἀλλ' ἐνδεὴς ὑπάρχει καὶ διὰ νόσον ἢ τεκνοτροφίαν
ἢ δι' ἀσθένειαν χειρῶν, ἐπὶ ταύτην μᾶλλον ἐκτεινάτω τὴν
χεῖρα. εἰ δέ τις ὡς καταφαγᾶς ἢ μέθυσος ἢ ἀργὸς ἐν τοῖς
βιωτικοῖς θλίβεται, οὐκ ἔστιν ἄξιος ἐπικουρίας, οὔτε μὴν
ἐκκλησίας θεοῦ. λέγει γὰρ ἡ γραφὴ περὶ τούτων φάσκουσα
ὅτι Κρύψας ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν κόλπον οὐ
δυνήσεται ἀπενεγκεῖν αὐτὴν εἰς τὸ στόμα αὐτοῦ· καὶ πά-
λιν Ὁ ἀργὸς περιέλαβε τὴν χεῖρα αὐτοῦ καὶ ἔφαγε τὰς σάρ-
κας αὐτοῦ· πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει,
καὶ ἐνδύσεται διερρηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης· καὶ
ἐν ἄλλοις Ἐὰν δὲ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς
ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου.
ὡς ἀληθῶς γὰρ μήτηρ * ἡ ἀργία * λιμοῦ. | ἔστω δὲ ὁ ἐπί- 5
σκοπος ἀπροσωπόληπτος, μήτε πλούσιον ἐντρεπόμενος ἢ
κολακεύων παρὰ τὸ προσῆκον, μήτε πένητα παρορῶν ἢ
καταδυναστεύων. οὐ λήψῃ γάρ, φησὶν ὁ θεὸς τῷ Μωσῇ,
πρόσωπον ἐν κρίσει πλουσίου, καὶ Πένητα οὐκ ἐλεήσεις ἐν
κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις. καὶ πάλιν Δικαίως διώ-
ξει τὸ δίκαιον. τροφῇ καὶ πότῳ λυσιτελὴς καὶ αὐτάρκης
ὑπαρχέτω ὁ ἐπίσκοπος, ἵνα δυνηθῇ νήφειν πρὸς τὸ νουθε-
τεῖν τοὺς ἀπαιδεύτους. ἔστω * μὴ δάπανος, μὴ τρυφητής, μὴ
ἡδύβιος, μὴ χρηστοφάγος. ἔστω * ἀνεξίκακος, μακρόθυμος ἐν
ταῖς νουθεσίαις, πολυδίδακτος, μελετῶν * || καὶ σπουδάζων

8 Prov 19, 24 | 10 Eccl 4, 5 | 11 Prov 23, 21 | 13 Prov 23, 31 | 18 Lev 19, 15 | 19 Exod 23, 3 | 20 Deut 1, 17 | 20 Deut 16, 20

1 ὑπολήμψεως y | 1 caput IV w post V habet | 2 τῷ > w | 2 χαρηστήρια w | 3 ἐνδεεῖς y | 3 καὶ > t | 3 νόσσον y | 4 ἐπικτεινάτω y | 5 δέ τις wxt, δέστιν y | 9 ἀπενενκεῖν x, ἐπενεγκεῖν y | 10 περιέλαβεν xt | 10 τὰς χεῖρας yt | 10 ἔφαγεν xy | 12 διερρωγότα yt | 12 καὶ ῥακώδη > y | 13. 14 τοῖς ὀφθαλμοῖς Y | 14 περιπατήσης w | 14 γυμνὸς w, γυμνότερον y | 14 ὑπέρου > w | 15 ἐστιν + yt | 15 τοῦ + yt | 18 λήψει w, λήμψει y | 18 φησι W, > x | 18 μωϋσῇ w, Μωσεῖ t | 19 ἐν κρίσει > yt | 19 πλούσιον virgula praemissa w | 20 δίκαιος w | 20. 21 διώξῃ y, διώξεις t | 21 ad τροφῇ t in margine: ἐν ἄλλοις τροφὴ καὶ ποτὸς λυσιτελὴς καὶ αὐτάρκης ὑπαρχέτω σοι ὦ ἐπίσκοπε. ἵνα δυνηθῇς | 21 αὔταρκις x | 22 τῶι ἐπισκόπωι w | 23 δὲ + t | 24 δὲ + yt | 25 πολυδιδακτικός y | 25 ἐν τοῖς [sic] βίβλοις + w | 25 σπουδάζον w

*ἐν ταῖς κυριακαῖς βίβλοις, πολὺς ἐν ἀναγνώσμασιν, ἵνα τὰς*
*γραφὰς ἐπιμελῶς ἑρμηνεύῃ· ὁμοστοίχως τοῖς προφήταις καὶ*
*τῷ νόμῳ τὸ εὐαγγέλιον *, ὁμοίως τῷ εὐαγγελίῳ στοιχεί-*
*τωσαν αἱ ἐκ νόμου καὶ προφητῶν ἑρμηνεῖαι. λέγει γὰρ ὁ*
*κύριος Ἰησοῦς Ἐρευνᾶτε τὰς γραφάς, ὅτι αὗταί εἰσιν αἱ*
*μαρτυροῦσαι περὶ ἐμοῦ· καὶ πάλιν Περὶ γὰρ ἐμοῦ Μωσῆς*
*ἔγραψεν. πρὸ πάντων δὲ διαστολεὺς ἀγαθὸς γινέσθω, νό-*
*μον καὶ δευτέρωσιν διαιρῶν, καὶ δεικνύων τί νόμος ἐστὶ*
*πιστῶν καὶ τί δεσμὰ ἀπίστων, ἵνα μή τις ὑποπέσῃ τοῖς*
*δεσμοῖς. ἐπιμελοῦ οὖν τοῦ λόγου, ἐπίσκοπε, ἵνα, εἰ δυ-*
*νατόν σοι, πάντα κατὰ λέξιν ἑρμηνεύσῃς καὶ ἐν πολλῇ δι-*
*δαχῇ πλουσίως τρέφῃς καὶ ποτίζῃς τὸν λαόν σου τὸν φω-*
*τισμὸν τοῦ νόμου. φωτίσατε γάρ, φησίν *, ἑαυτοῖς φῶς*
6 *γνώσεως, ὡς ἔτι καιρός. | ἔστω δὲ ὁ ἐπίσκοπος μὴ αἰσχρο-*
*κερδής, καὶ μάλιστα ἐπὶ τῶν ἐθνικῶν, βλαπτόμενος μᾶλλον*
*ἢ βλάπτων, μὴ πλεονέκτης, μὴ ἅρπαξ, μὴ ἀποστερητής, μὴ*
*φιλοπλούσιος, μὴ μισόπτωχος, μὴ κατάλαλος, μὴ ψευδομάρ-*
*τυς, μὴ θυμώδης, μὴ φιλόμαχος, μὴ ταῖς τοῦ βίου πραγμα-*
*τείαις συμπεπλεγμένος, μὴ ἐγγυώμενός τινα ἢ συνηγορῶν*
*δίκαις χρηματικαῖς, μὴ φίλαρχος, μὴ δίγνωμος, μὴ δίγλωσ-*
*σος, μὴ πρὸς διαβολὴν ἢ καταλαλιὰν φιλήκοος, μὴ ὑπο-*
*κριτής, μὴ ταῖς ἑορταῖς τῶν ἐθνῶν ἐπορευγόμενος, ἀπάταις*
*κεναῖς μὴ χρώμενος, μηδὲ ἐπιθυμητικός, μὴ * φιλάργυρος·*
*ὅτι πάντα τὰ τοιαῦτα ἐχθρὰ τοῦ θεοῦ τυγχάνει καὶ δαιμό-*
*νων φίλα. ταῦτα δὲ πάντα καὶ τοῖς λαϊκοῖς ὁ ἐπίσκοπος*
*διαβεβαιούμενος παραγγελλέτω, ἐνάγων αὐτοὺς μιμητὰς γί-*
*νεσθαι τοῦ ἑαυτοῦ τρόπου. εὐλαβεῖς γάρ, φησί, ποιήσατε*

5 Ioh 5, 39 | 6 Ioh 5, 46 | 13 Osee 10, 12 | 27 Levit 15, 31

1 *βίβλοις .... ἀναγνώσμασιν* xyt, *καὶ ἑορταῖς* w | 3 *ἑρμηνεύων* + yt | 3. 4 *στοιχήτωσαν* x | 6 *μωϋσῆς* w | 7 *ἔγραψε* t | 7 *γεινέσθω* y | 7. 8 *νόμου* w | 8 *ἐστίν* y, *ἐστι* ante *νόμος* t | 9 *ὑποπέσει* y | 10 *εἰ* wxy, *ἢ* t | 11 *ἑρμηνεύσεις* w, *ἑρμηνεύσῃς* y, *ἑρμηνεύῃς* x, *ἑρμηνεύειν* t 11 *πολῇ* t | 12 *τρέφεις* wxy | 12 *ποτίζεις* wxy, *φωτίζῃς* t | 13 *φη̅* w | 13 *ὁ θεὸς* + yt | 13 *ἑαυτοὺς* w | 14 *ἔτι* xyt, *ἔστι* w | 15 *ἐθνηκῶν* w, *ἐθνῶν* yt | 15 *βλαπτώμενος* y | 18. 19 *πραγματίαις* x, *πραγατείαις* y | 19 *ἢ* wx, *μὴ* yt | 21 *φιλείκοος* W, *φιλή* [sic] x | 23 *καιναῖς* x | 23 *δὲ* + t | 24 *τυγχάνει* wx, *ὑπάρχει* yt | 25 *δὲ* > w | 25 *ὁ ἐπίσκοπος* ante *καὶ* t | 26 *παραγγελέτω* wy | 26. 27 *γενέσθαι* w, *γείνεσθαι* y | 27 *φησιν* xy, *φη̅* w | 27 *ποιήσετε* y

τοὺς υἱοὺς Ἰσραήλ. ἔστω δὲ σοφός, ταπεινόφρων, νουθετικὸς ἐν ταῖς κυριακαῖς παιδείαις, καλογνώμων, ἀποτεταγμένος πᾶσι τοῖς ἐν τῷ βίῳ πονηροῖς ἐπιτηδεύμασιν καὶ * ἐθνικαῖς ἐπιθυμίαις. ἔστω εὐπρόστοχος, ὀξὺς πρὸς τὸ γνῶναι τοὺς φαύλους καὶ φυλάσσεσθαι ἀπ' αὐτῶν, φίλος δὲ ὢν πάντων, δικαιοκριτικός, καὶ ὅσα καλὰ ἐν ἀνθρώποις ἔστιν ἢ ὑπάρχει, ταῦτα ὁ ἐπίσκοπος ἐν ἑαυτῷ κεκτήσθω. ὅτι ἀνεπίληπτος ἀδικίας ὢν ποιμὴν τοὺς ἰδίους αὐτοῦ μαθητὰς ἀναγκάσει καὶ διὰ τῆς ἀναστροφῆς αὐτοῦ προτρέψασθαι τῶν ἰδίων αὐτοῦ ποιημάτων μιμητὰς ἀξίους * γενηθῆναι· ὡς || λέγει που καὶ ὁ προφήτης * Καὶ ἔσται καθὼς ὁ ἱερεύς, οὕτως καὶ ὁ λαός. καθὼς καὶ ὁ κύριος ἡμῶν καὶ διδάσκαλος Ἰησοῦς ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ἤρξατο * πρῶτον ποιεῖν καὶ τότε διδάσκειν· * διό φησιν Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. σκοποὺς γὰρ δεῖ εἶναι ὑμᾶς τῷ λαῷ τοὺς ἐπισκόπους, ὅτι καὶ ὑμεῖς σκοπὸν ἔχετε τὸν χριστόν. καὶ ὑμεῖς οὖν γίνεσθε σκοποὶ ἀγαθοὶ τῷ λαῷ τοῦ θεοῦ, ὅτι λέγει * κύριος διὰ τοῦ * Ἰεζεκιὴλ πρὸς ἕκαστον ὑμῶν φάσκων Υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ, καὶ ἀκούσῃ ἐκ * στόματός μου λόγον καὶ διαφυλάξεις καὶ διαγγελεῖς αὐτὸν παρ' ἐμοῦ. ἐν τῷ λέγειν με τῷ ἀνόμῳ Θανάτῳ ἀποθανῇ, καὶ οὐκ ἐλάλησας τοῦ διαστεῖλαι ἄνομον ἐκ τῆς ἀνομίας αὐτοῦ, ὁ ἄνομος ἐκεῖνος ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀπο-

11 Osee 4, 9 | 14 Matth 5, 19 | 19 Ezech 33, 7—9

1. 2 νουθετηκὸς w, νουθετητικὸς xt | 2 ἐν .... παιδείαις cum καλογνώμων iungit x | 3 πᾶσιν x | 3 ἐπιτηδεύμασι t | 3 πάσαις + yt | 4 ἐθνηκαῖς w | 4 εὐπρόστακτος t, qui in margine ἐν ἄλλω εὐπρόσοχος | 5 φίλος .... 6 πάντων > w | 6 δίκαιος κριτικὸς t | 7 ἐστὶ W | 7 αὐτῶι κεκτίσθω w | 8 ἀνεπίλημπος y | 9 ἀναγκάσῃ y | 9 καὶ .... 10 ποιημάτων > w | 10 μημητὰς t | 10 τῆς ἀναστροφῆς αὐτοῦ + w | 10. 11 γενέσθαι w, γεννηθῆναι x | 11 ὡσηέ + y | 12 οὕτω t | 12 καθὼς καὶ wx, καὶ γὰρ καὶ y, καὶ γὰρ t | 13 ὁ prius > t | 13 ὁ υἱὸς > y | 13 ἤξατο y | 13 αὐτὸς + w | 14 ποιεῖν πρῶτον w | 14 ὥς που λέγει [+ ὁ λουκᾶς t] Ὧν ἤρξατο ποιεῖν ὁ Ἰησοῦς [ὁ ἰησοῦς ποιεῖν τε t] καὶ διδάσκειν (Act 1, 1) + yt | 14. 15 ποιήσει wY | 15 διδάξει w | 16 εἶναι δεῖ yt | 17 ὅτι .... 18 θεοῦ > w | 17 ἔχεται x | 18 γείνεσθε y | 18 ὁ + y | 19 προφήτου + w | 21 τοῦ + y | 21 στοματόσματός X | 21 διαγγέλεις w, διαγγείλεις x | 22 ἐμοί w | 23 ἐλάλησες y

θανεῖται, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω· σὺ δὲ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ * ἀπὸ τῆς ὁδοῦ αὐτοῦ * ἀποστρέψαι ἀπ' αὐτῆς καὶ μὴ ἀποστρέψῃ, αὐτὸς ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχήν σου ἐρρύσω. ὡσαύτως καὶ μάχαιρα πολέμου ἐὰν ᾖ ἐρχομένη, καὶ στήσῃ ὁ λαὸς σκοπὸν εἰς προφυλακήν, καὶ ἰδὼν αὐτὴν ἐρχομένην μὴ προμηνύσῃ, καὶ λάβῃ ψυχήν, ἡ μὲν ψυχὴ τῇ ἁμαρτίᾳ αὐτῆς ἐλήφθη, τὸ δὲ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητηθήσεται, ὅτι οὐκ ἐσήμανεν ἐν τῇ σάλπιγγι· ἐὰν δὲ σημάνῃ ἡ κερατίνη, καὶ μὴ φυλάξηται ὁ ἀκούσας, καὶ ἔλθῃ ἡ μάχαιρα καὶ λάβῃ αὐτόν, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται, ὅτι οὐκ ἐφυλάξατο ἀκούσας τῆς κερατίνης, ὁ δὲ φυλαξάμενος τὴν ψυχὴν αὐτοῦ ἐρρύσατο, καὶ ὁ σκοπός, ὅτι ἐσήμανε, ζωῇ ζήσεται. μάχαιρα μὲν ἔστιν ἡ κρίσις, σάλπιγξ * τὸ ἱερὸν εὐαγγέλιον, σκοπὸς δὲ ὁ κατασταθεὶς τῇ ἐκκλησίᾳ ἐπίσκοπος, ὃν δεῖ κηρύσσοντα διαμαρτύρεσθαι * περὶ τῆς κρίσεως. ἐὰν γὰρ μὴ διαγγείλητε καὶ * διαμαρτύρησθε τῷ λαῷ, εἰς ὑμᾶς ἡ ἁμαρτία τῶν ἀγνοούντων εὑρεθήσεται· διὸ τοὺς ἀναστρεφομένους ἐν ἀπαιδευσίᾳ * νουθετεῖτε καὶ ἐλέγχετε μετὰ παρρησίας, τοὺς ἀγνοοῦντας διδάσκετε, τοὺς ἐπισταμένους στηρίζετε, τοὺς πεπλανημένους ἐπιστρέφετε. * αὐτὰ περὶ τῶν αὐτῶν λέγοντες, ἀδελφοί, οὐχ ἁμαρτησόμεθα· ἐκ γὰρ τοῦ πολλάκις ἀκούειν εἰκός τινας δυσωπηθέντας κἂν ἅπαξ τι τῶν καλῶν ποιῆσαι καὶ τῶν πονηρῶν παραιτήσασθαι. λέγει γὰρ διὰ τοῦ προφήτου ὁ θεὸς Διαμαρτύρει αὐτοῖς ταῦτα, ἴσως ἀκούσονται τῆς φωνῆς σου· καὶ πάλιν Ἐὰν ἄρα ἀκού-

4 Ezech 33, 2. 6 | 9 Ezech 33, 3—5 | 25 Hierem 26, 2. 3 | 26 Ezech 3, 11

2 διαστείλῃς τὸν ἄνομον w | 2 τοῦ ἀποστρέψαι + w | 2 τῆς πονηρᾶς + w | 2. 3 ἀποστρέψαι ἀπ' αὐτῆς > w | 5 μάχαιραν w | 6. 7 προμηνήσῃ t | 9 ἐν > t | 9 σάλπιγγηι w | 9 σημάνει w | 9. 10 τῇ κερατίνῃ yt (″τήνῃ y) | 13 ἐσήμανεν xy | 13 ζωὴν w | 14 σάλπιξ wy | 14 δὲ + yt | 16 διαμαρτύρασθαι yt | 16 καὶ διαβεβαιοῦσθαι + yt | 17 γὰρ > t | 17 διαγγείλειτε w | 17 μὴ + y | 17 διαμαρτύρεσθαι w, διαμαρτύρηται y | 18 τῶν xyt, αὐτῶν w | 19 αὐτῶν + x | 19 ἐλέγχεται w | 20 ἀγνωοῦντας w | 20 διδάσκεται w | 20. 21 στηρίζεται et 21 ἐπιστρέφεται w | 21 τὰ + yt | 25 διαμάρτυραι w, διαμαρτύρῃ xy | 26 σου τῆς φωνῆς t | 26 — p20,1 ἐὰν ἄραἀκούσωσιν > Y, habet y in margine

σωσιν, ἐὰν ἄρα ἐνδῶσιν· καὶ ὁ Μωσῆς φησι τῷ λαῷ * Ἄκουε,
Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστιν. καὶ ὁ κύριος
ἐν τῷ εὐαγγελίῳ πολλάκις μιμνήσκεται λέγων Ὁ ἔχων ὦτα
ἀκούειν ἀκουέτω. καὶ ὁ σοφὸς Σολομών φησιν Ἄκουε, υἱέ,
παιδείαν πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου.
καὶ μέχρι σήμερον οὐκ ἤκουσαν, καὶ οἱ δοκοῦντες δὲ ἀκη-
κοέναι παρήκουσαν, καταλείψαντες τὸν ἕνα καὶ μόνον
ἀληθινὸν θεὸν καὶ εἰς τὰς ὀλεθρίους καὶ δεινὰς αἱρέσεις
κατασυρέντες, περὶ ὧν αὖθις ἐροῦμεν. | γνωστὸν δὲ ἔστω 7
ὑμῖν, * ἀγαπητοί, ὅτι οἱ βαπτισθέντες εἰς τὸν θάνατον τοῦ
κυρίου * Ἰησοῦ *, οὐκ * ὀφείλουσιν ἁμαρτάνειν οἱ τοιοῦτοι.
ὡς γὰρ οἱ ἀποθανόντες ἀνενέργητοι πρὸς ἁμαρτίαν ὑπάρ-
χουσιν, οὕτως καὶ οἱ συναποθανόντες τῷ χριστῷ ἄπρακτοι
πρὸς ἁμαρτίαν. οὐ πιστεύομεν οὖν, ἀδελφοί, λουσάμενόν
τινα τὸ τῆς ζωῆς λουτρὸν ἔτι πράσσειν τὰ τῶν ἀνόμων
ἀσελγήματα· ὁ δὲ ἁμαρτήσας μετὰ τὸ βάπτισμα, οὗτος,
ἐὰν μὴ μεταγνῷ καὶ παύσηται τοῦ πλημμελεῖν, εἰς γέεν-
ναν κατακριθήσεται. | εἰ δέ τις ὑπὸ ἀπίστων συκοφαντηθῇ 8
διὰ τὸ μηκέτι αὐτοῖς συνασελγαίνειν, γινωσκέτω ὅτι μακά-
ριος ὁ τοιοῦτος ὑπάρχει παρὰ θεῷ· καθὼς καὶ ὁ κύριος
ἐν τῷ εὐαγγελίῳ ἔφη Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς
καὶ διώξωσιν ἢ εἴπωσι καθ' ὑμῶν πᾶν πονηρὸν ῥῆμα ψευ-
δόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς
ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. εἰ οὖν τις βλασφημηθῇ ἐπὶ
ψεύσματι, μακάριος ὁ τοιοῦτος· λέγει γὰρ ἡ γραφὴ Ἀνὴρ

1 Deut 6, 4 | 3 Matth 11, 15 etc | 4 Prov 1, 8 | 21 Matth 5, 11. 12 | 25 apocryphum

1 ἐνδῶσιν xy, ἐνδῶσι t, συνῶσιν w | 1 μωϋσῆς w | 1 φησὶν xy, φη̅ w | 1 ἐὰν ἀκοῇ ἀκούσῃς κυρίου τοῦ θεοῦ, καὶ ποιήσῃς τὸ ἀγαθὸν καὶ τὸ εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ καὶ πάλιν + t ex Exod 15, 26 | 2 ἐστι w | 3 μνήσκεται xy, μνημονεύεται t | 5 παιδείας w | 6 μέχρις y | 6 οἱ > t | 6 δὲ wxy, γὰρ t | 9 αἱροῦμεν w | 9. 10 ὑμῖν ἔστω w | 10 ἀδελφοὶ + w | 11 ἡμῶν + w | 11 χριστοῦ + w | 11 ἔτι + yt | 13 οὕτω t | 13 συναποθανέντες y | 17 πλημελεῖν y | 17. 18 γέεναν xt | 18 συκοφαντιθὴ wx (ʺθῆ x) | 19 μακάριος post τοιοῦτος 20 y | 21 ἔφη wx, λέγει yt | 21 ὠνειδήσωσιν w, ὀνειδήσωσιν xy | 22 ἢ διώξωσιν yt | 22 διώξωσι καὶ w | 22 εἴπωσιν xy | 22 καθ' ὑμῶν post ῥῆμα w | 23 χαίρεται w | 24 τῷ οὐρανῷ y | 24 βλασφημηθεῖ w, βλασφημηθείη yt

ἀδόκιμος ἀπείραστος παρὰ τῷ θεῷ. εἰ δέ τις ἐλεγχθῇ πρά-
ξας τι ἄνομον, ὁ τοιοῦτος οὐ μόνον ἑαυτὸν ἔβλαψεν, ἀλλὰ
καὶ βλασφημίαν προσέτριψε τῷ * κοινῷ τῆς ἐκκλησίας σώ-
ματι καὶ τῇ διδασκαλίᾳ, ὡς μὴ ποιούντων ἐκεῖνα ἃ λέγομεν
εἶναι καλά· καὶ ὀνειδισθησόμεθα καὶ ἡμεῖς ὑπὸ τοῦ κυρίου
ὅτι Λέγουσι καὶ οὐ ποιοῦσιν. ὅθεν τοὺς τοιούτους ἐλεγ-
χθέντας ἀληθῶς παραιτήσεται μετὰ παρρησίας ὁ ἐπίσκοπος,
9 εἰ μὴ μεταβάλωνται τὸν τρόπον. | οὐ γὰρ μόνον ἀπρόσκο-
πον εἶναι χρὴ τὸν ἐπίσκοπον, ἀλλὰ καὶ ἀπροσωπόληπτον,
ἐν χρηστότητι σωφρονίζοντα τοὺς ἁμαρτάνοντας. εἰ δὲ καὶ
αὐτὸς οὐκ εὐσυνείδητος ὑπάρχων, προσωπολήπτης * γενό-
μενος διά τινα αἰσχροκερδῆ δωροληψίαν φείσεται τοῦ ἀνό-
μως ἁμαρτάνοντος, ἐάσας ἐν τῇ ἐκκλησίᾳ μένειν αὐτόν,
παρακούσας τῆς θείας καὶ κυριακῆς φωνῆς * λεγούσης Δι-
καίως διώξει τὸ δίκαιον· * Οὐ λήψῃ πρόσωπον ἐν κρίσει,
* Οὐ δικαιώσεις τὸν ἀσεβῆ *, Οὐ λήψῃ δῶρα ἐπὶ ψυχῇ, τὰ
γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν καὶ λυμαίνεται ῥή-
ματα δικαίων. καὶ ἐν ἄλλοις φησὶν Ἐξαρεῖτε τὸν πονηρὸν
ἐξ ὑμῶν αὐτῶν. καὶ ὁ Σολομὼν λέγει ἐν παροιμίαις Ἔκ-
βαλε λοιμὸν ἐκ συνεδρίου, καὶ συνεξελεύσεται αὐτῷ νεῖ-
10 κος. | ὁ δὲ μὴ προσέχων τούτοις ἀκρίτως φείσεται ἐπὶ τῷ
ὀφείλοντι τιμωρίαν, ὡς ὁ Σαοὺλ ἐπὶ τῷ Ἀγὰγ καὶ ὁ Ἡλεὶ
ἐπὶ τοῖς υἱοῖς τοῖς οὐκ εἰδόσι τὸν κύριον, ὁ τοιοῦτος ἐβεβήλωσε
καὶ τὴν οἰκείαν ἀξίαν καὶ τὴν τοῦ θεοῦ ἐκκλησίαν τὴν κατὰ
τὴν παροικίαν αὐτοῦ. ἄδικος οὖν οὗτος καὶ θεῷ καὶ ὁσίοις

6 Matth. 23, 3 | 14 Deut 16, 20 | 15 Deut 1, 17 | 16 Exod 23, 7. 8 | 18 Deut 17, 7 | 19 Prov 22, 10

1 δόκημος y | 1 τῷ > t | 1 ἐλεγχῇ y | 1 οὐ ... 3 βλασ > y [sic] | 3 προσέριψε w, προσέτριψεν xy | 3 κυρίωι καὶ τῶι + w | 4 τῇ > t | 5 ὠνειδισθησόμεθα w | 6 λέγουσιν xy | 6 πιοῦσιν y | 8 μεταβάλονται wx (βά bis y | 9 χρὴ post ἐπίσκοπον w | 11 προσωπόληπτος y | 11 δὲ + w | 12 δωροληµψίαν y | 12 φείσηται y | 13 ἁμαρτῶντος t | 14 τῆς + yt | 14. 15 δίκαιος τὸ δίκαιον διώξει w | 15 διώξεις t, διώξῃ xy | 15 καὶ + y | 15 λήψει w, λήµψῃ y | 16 καὶ + y | 16 δικαιώσῃς y | 16 ἀσεβεῖ w | 16 ἕνεκεν δώρων καὶ + y | 16 λήψει w, λήµψῃ y | 16 ψυχὴν w | 17 γὰρ > t | 17 καὶ .... 18 δικαίων > w | 18 ἄλοις w | 18 φησί w | 18 ἐξάρατε w | 18 πονηρῶν x | 19 αὐτόν w | 20. 21 νίκος wy | 22 ηλὶ w | 23 τοὺς υἱοὺς τοὺς οὐκ εἰδόντας w | 23 ὁ τοιοῦτος wxy, ὅτι οὗτος t | 23 ἐβεβήλωσεν xy | 24 οἰκίαν w | 25 παροικείαν t |

*ἀνθρώποις, ὡς αἴτιος σκανδάλου πολλοῖς νεοφύτοις καὶ κατηχουμένοις γενόμενος, ἔτι δὲ νέοις καὶ νεανίαις τῇ ἡλικίᾳ· ὃν τὸ οὐαὶ περιμένει καὶ * ὀνικὸς μύλος ἐν τῷ τραχήλῳ, καὶ ὁ βυθός, ἐν ᾧ ὑπόδικος ὑπάρχει. διὰ γὰρ τὴν τῆς ἀκρισίας ἀνομίαν, βλέποντες τὸν τοιοῦτον αὐτῶν ἄρχοντα, ἐν ἑαυτοῖς διακριθήσονται, καὶ χρησάμενοι τῇ αὐτῇ νόσῳ συναπολέσθαι αὐτῷ ἀναγκασθήσονται, ὡς τῷ Ἱεροβοὰμ ὁ λαὸς καὶ τῷ Κορὲ οἱ συναράμενοι αὐτῷ. εἰ δὲ βλέπει ὁ ἁμαρτάνων τὸν ἐπίσκοπον καὶ τοὺς διακόνους ἀθώους ἐγκλήματος καὶ || τὸ ποίμνιον καθαρὸν ὑπάρχον, πρῶτον μὲν οὐ τολμήσει καταφρονήσας εἰς ἐκκλησίαν θεοῦ εἰσελθεῖν, πλησσόμενος * τὴν συνείδησιν αὐτοῦ· εἰ δὲ καὶ παρ' οὐδὲν ἡγησάμενος εἰσέλθοι, * παραχρῆμα * ἐλεγχθήσεται, ὡς ὁ Ὀζᾶ ἐπὶ τῇ κιβωτῷ ἀψάμενος ὥστε ἑδράσαι, καὶ ὡς Ἄχαρ ἐπὶ τῇ κλοπῇ τοῦ ἀναθέματος, καὶ ὡς Γιεζεῖ ἐπὶ τοῖς τοῦ Νεεμὰν χρήμασιν, καὶ * παραυτίκα τιμωρηθήσεται ἢ νουθετούμενος ὑπὸ τοῦ ποιμένος εἰς μετάνοιαν ὑπαχθήσεται. περιβλεψάμενος γὰρ τοὺς καθ' ἕνα καὶ ἐν οὐδενὶ μῶμον εὑρίσκων οὔτε παρὰ τῷ ἐπισκόπῳ οὔτε μὴν παρὰ τῷ ὑπ' αὐτὸν τεταγμένῳ λαῷ, αἰσχυνθεὶς μετὰ αἰδοῦς καὶ πολλῶν δακρύων ἐξελεύσεται εἰρηνικῶς κατανενυγμένος, καὶ μενεῖ κεκαθαρισμένον τὸ ποίμνιον, προσκλαύσει τε τῷ θεῷ καὶ μετανοήσει ἐφ' οἷς ἥμαρτεν, καὶ ἕξει ἐλπίδα, καὶ τὸ ποίμνιον ὅλον, θεασάμενον ἐκείνου τὰ δάκρυα, νουθεσίαν ἕξει ὅτι ὁ ἁμαρτὼν διὰ μετάνοιαν οὐκ ἀπόλλυται.* 11

*| διὰ τοῦτο οὖν, ὦ ἐπίσκοπε, σπούδαζε καθαρὸς εἶναι τοῖς ἔργοις, γνωρίζων τὸν τόπον σου καὶ τὴν ἀξίαν, ὡς θεοῦ τύπον ἔχων*

3 Matth 18, 7

1 *νεοφωτίστοις* yt | 2 *νεανίαις* wx, *νέαις* yt | 2. 3 *τὴν ἡλικίαν* y | 3 *ὁ* + xy | 5 *ἀκρασίας* y | 5 *αὐτὸν* x | 6 *τὴν αὐτὴν νόσον* w | 8. 9 *βλέποι* yt | 9 *ἁμαρτὼν* yτ [*῞ων* t] | 10 *ἐγκλημάτων* w | 10 *ὑπάρχοντα* w, *ὑπάρχων* xy | 11 *καταφρονήσας* > y | 11 *ἐκλησίαν* y | 12 *πληττόμενος* w | 12 *ὑπὸ* + w | 12 *τῇ* [*τῇ* t] *συνειδήσει* yt | 13 *εἰσέλθῃ* w | 13 *ἢ* + yt | 13 *εὐθὺς* + w | 13 *ἐλεγχήσεται* y | 14 *ὁ* > yt | 14 *ὀζᾶν* w | 14 *τῆς κιβωτοῦ* t | 15 *ἀναθήματος* w | 15 *γιεζὶ* w | 16 *ἢ* + y | 16 *τιμωρηθήσονται* w | 20 *αὐτῶν* XY | 21 *εἰρηνικός* w | 22 *μένει* wyt | 22 *κεκαθαρμένον* w | 23 *ἥματεν* y | 26 *ὦ* > yt

ἐν ἀνθρώποις τῷ πάντων ἄρχειν ἀνθρώπων, ἱερέων, βασι-
λέων, ἀρχόντων, πατέρων, υἱῶν, διδασκάλων, καὶ πάντων
ὁμοῦ τῶν ὑπηκόων. καὶ οὕτως ἐν ἐκκλησίᾳ καθέζου τὸν
λόγον ποιούμενος, ὡς ἐξουσίαν ἔχων κρίνειν τοὺς ἡμαρτη-
κότας· ὅτι ὑμῖν τοῖς ἐπισκόποις εἴρηται Ὃ ἐὰν δήσητε ἐπὶ
τῆς γῆς ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύ-
12 σητε ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τῷ οὐρανῷ. | κρῖνε
οὖν, ὦ ἐπίσκοπε, μετ' ἐξουσίας ὡς * θεός, ἀλλὰ τοὺς με-
τανοοῦντας * προσδέχου, ὅτι κύριος ὁ θεὸς μετὰ ὅρκου ἐπηγ-
γείλατο ἄφεσιν παρασχεῖν τοῖς μετανοοῦσιν ἐφ' οἷς ἥμαρτον.
λέγει γὰρ διὰ τοῦ Ἰεζεκιὴλ Εἰπὸν πρὸς αὐτοὺς Ζῶ ἐγώ,
λέγει * κύριος ὁ θεός, εἰ θελήσω τὸν θάνατον τοῦ ἁμαρ-
τωλοῦ, ἀλλ' ἢ ἐν τῷ ἀποστρέψαι τὸν ἀσεβῆ ἐκ τῆς ὁδοῦ
αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν *. ἀποστράφητε οὖν ἀπὸ τῶν
ὁδῶν ὑμῶν τῶν πονηρῶν· καὶ ἱνατί ἀποθνήσκετε, οἶκος
Ἰσραήλ; ἐνταῦθα * εὐέλπιδας ἐποίησε τοὺς ἡμαρτηκότας ὅτι,
ἐὰν μετανοήσωσιν, ἐλπίδα σωτηρίας ἕξουσι· μήποτε ὡς ἀπηλ-
γηκότες ἑαυτοὺς ἐκδῶσι ταῖς παρανομίαις, ἀλλ' ἔχοντες
ἐλπίδα σωτηρίας ἐπιστραφέντες προσκλαύσωσι τῷ θεῷ περὶ
τῶν ἁμαρτιῶν αὐτῶν καὶ μετανοήσωσιν ἐκ καρδίας ἐξευ-
μενισάμενοι αὐτόν, καὶ λήψονται παρ' αὐτοῦ τὴν ἀμνηστίαν
13 ὡς παρὰ πατρὸς ἀγαθοῦ. | τοὺς μέντοι || ἀναμαρτήτους τοι-
a. οὕτους μένειν χρὴ καὶ μὴ χρείαν ἔχειν τῆς πείρας τῶν

5 Matth 18, 18 | 11 Ezech 33, 11

1 τῷ xyt, καὶ w | 1 ἀνθρώπων ..... 2 αρχόντων > w | 3 τῶν ὑπηκόων ὁμοῦ y | 5 δήσειται w, δείσητε t | 6 τῶ οὐρανῶ yt | 6. 7 λύσεται w | 7 τοῖς οὐρανοῖς w | 7 κρίναι w | 8 μετὰ yt | 8 ὁ + t | 9 προσλαμβάνου· ὁ θεὸς γὰρ [γὰρ θεὸς t] θεός ἐστιν ἐλέους. ἐπίπλησσε τοῖς ἁμαρτάνουσιν ["σι t]* νουθέτει τοὺς μὴ ἐπιστρέφοντας, παρακάλει τοὺς ἑστῶτας [ἑ" y] ἐμμένειν [ἐνμ" y] τοῖς καλοῖς, τοὺς μετανοοῦντας + yt | 11 ἐζεκιὴλ w | 12 ἀδωναΐ + yt | 12 ὁ θεὸς > yt | 12 εἰ θελήσω xyt, οὐ βούλομαι w | 13 ἀλλ' ἢ ἐν τῶ xyt, ὡς τὸ w | 13 ἐπιστρέψαι w | 13 τὸν .... 14 πονηρᾶς > w | 14 αὐτοῦ > y | 14 ζεῖν wx | 14 αὐτόν + w | 14 ἐπιστράφητε yt | 14 οὖν > xy | 15 ἀποθνήσκεται wt | 16 ὁ λόγος + yt | 16 ἐποίησεν xy | 17 μετανοήσουσιν y | 17 ἕξουσιν xy | 18 αὐτοὺς t | 18 ἐκδώσωσι w, ἐκδῶσιν x, ἐκδώσειν y | 19 προσκλαύσουσιν x, προσκλαύσωσιν y | 19 τῷ > yt | 20. 21 ἐξευμενησάμενοι y | 21 ἀμνηστείαν wy | 23 μένειν xyt, εἶναι w | 23 μὶ w

ἁμαρτιῶν, ὅπως μὴ δέωνται ὀδύνης, λύπης, * κλαυθμῶν, ἀφέσεως. τί γὰρ οἶδας, ἄνθρωπε ἁμαρτήσας, εἰ ἡμέρας ἐν τῷδε τῷ βίῳ ζήσεις, ἵνα καὶ μετανοήσῃς; ὅτι ἄδηλος ἡ ἔξοδός σου ἐκ τοῦ βίου ὑπάρχει, καὶ ἐν ἁμαρτίᾳ τελευτήσαντι μετάνοια οὐκ ἔστιν· ὡς λέγει διὰ τοῦ Δαβὶδ Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; δεῖ οὖν ἕτοιμον εἶναι ἐν ἀγαθοῖς, ἵνα ἄνευ λύπης τὴν ἔξοδον ἐκείνην στειλώμεθα. διὸ καὶ παραινεῖ ὁ θεῖος λόγος διὰ Σολομῶντος τοῦ σοφοῦ λέγων * σοι Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, * ἵνα μὴ ἐπιλείψῃ ἡμῖν τι τῶν καλῶν, ὥσπερ καὶ ταῖς πέντε ἐν τῷ εὐαγγελίῳ παρθένοις διὰ μωρίαν ἐπέλειπεν τὸ τῆς εὐσεβείας ἔλαιον, καὶ * ἀπεβλήθησαν τοῦ νυμφῶνος. διὰ τοῦτο ἀκίνδυνος μένει πᾶς ὁ φειδόμενος τῆς ἑαυτοῦ ζωῆς καὶ μένων ἀναμάρτητος, ὅπως καὶ τὰς προγεγονυίας ὑπ' αὐτοῦ δικαιοσύνας αὐτῷ συντηρήσῃ. σὺ οὖν οὕτως κρῖνε ὡς θεῷ δικάζων. τοῦ γὰρ κυρίου, φησίν, ἡ κρίσις. πρῶτον οὖν ἀπ' ἐξουσίας τὸν ἔνοχον καταδίκαζε· ἔπειτα μετὰ ἐλέους καὶ οἰκτιρμοῦ καὶ προσλήψεως οἰκειοῦ, ὑπισχνούμενος αὐτῷ σωτηρίαν, εἰ μετάθοιτο τοῦ τρόπου καὶ πρὸς μετάνοιαν χωρήσοι· μεταμελόμενον δὲ στύφων προσδέχου *, μεμνημένος τοῦ κυρίου εἰπόντος ὅτι Χαρὰ γίνεται ἐν * οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. | ἐὰν δὲ τὸν μετανοοῦντα μὴ 14
προσδέξῃ, ἐπιβούλοις αὐτὸν ἔκδοτον παρέχεις, ἐπιλαθόμενος τοῦ Δαβὶδ λέγοντος Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν

5 Psalm 6, 6 | 9 Prov 24, 27 | 16 Deut 1, 17 | 21 Luc 15, 7 | 24 Psalm 74, 19

1 δέονται wx | 1 καὶ + yt | 1 κλαυθμὸν y deleta virgula sequenti | 3 τῷδε > w | 3 ζήσης y: ζήσεις ante ἐν 2 t | 3 μετανοήσεις wxy | 5 ἔσται t | 7 ὁδὸν yt | 8 παραινεῖ > y | 8 διὰ .... λέγων > y | 8 λέγον x | 9 παραινεῖ + y | 9 καὶ παρασκευάζου εἰς τὸν ἀγρὸν + t | 9/10 ἐπιλείψει y, ἐπιλήψῃ t | 10 ὑμῖν w | 10 πέντε > w | 11 ἐπέλιπεν w, ἐπέλειπε t | 11 ad εὐσεβείας t in margine: ἐν ἄλλω εὐποιίας | 12 ἀποσβέσασαι τὰς λαμπάδας τὴς θεογνωσίας + t | 14 προγεγονῦας w | 15 συντηρήσει w | 15 οὕτω t | 15 κρῖναι w, κρίναι x | 15 ad θεῶ t in margine ἐν ἄλλω θεὸς | 16 κυρίου γὰρ w | 17 ἔπιτα w | 17 ἐλέου yt | 18 οἰκτειρμοῦ wy | 18 προλήψεως x, προσλήμψεως y | 19. 20 χωρήσοι L, χωρήσει wxt, χωρήσῃ y | 20 στύφων > w | 20 αὐτὸν + w | 21 τῶ + y | 23 σαυτὸν y | 23 ἔνοχον w

ἐξομολογουμένην σοι. διὸ παρορμῶν εἰς μετάνοιαν ὁ Ἱερεμίας λέγει Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; τί ὅτι ἀπεστράφη ὁ λαός μου ἀποστροφὴν ἀναιδῆ καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν; ἐπιστράφητε, υἱοὶ ἀφεστηκότες, καὶ ἐγὼ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. δέξαι οὖν τὸν μετανοοῦντα, μὴ διστάζων ὅλως, μηδὲ παρεμποδιζόμενος ὑπὸ τῶν ἀνηλεῶς λεγόντων μὴ δεῖν * τοιούτοις συναναμίγνυσθαι μήτε λόγου κοινωνεῖν· αὗται γὰρ αἱ συμβουλίαι ἀγνοούντων εἰσὶ θεὸν καὶ τὴν αὐτοῦ πρόνοιαν, ἀλόγων δὲ ἀκρίτων καὶ θηρίων ἀμειλίκτων· οὐ γὰρ γινώσκουσιν ὅτι χρὴ φυλάσσεσθαι οὐ τὴν ἐν λόγοις κοινωνίαν πρὸς τοὺς ἁμαρτάνοντας, ἀλλὰ τὴν ἐν ἔργῳ. Δικαιοσύνη γὰρ δικαίου ἐπ' αὐτὸν ἔσται *· καὶ πάλιν Γῆ ἐὰν ἁμάρτῃ μοι τοῦ ἀδικῆσαι ἀδίκημα, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτὴν καὶ συντρίψω * αὐτῆς στήριγμα ἄρτου, καὶ ἐξαποστελῶ εἰς αὐτὴν λιμόν, καὶ ἐξολοθρεύσω ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος· κἂν ὦσιν οἱ τρεῖς ἄνδρες ἐν μέσῳ αὐτῆς, Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, αὐτοὶ ἐν τῇ δικαιοσύνῃ αὐτῶν σώσουσι τὰς ψυχὰς αὐτῶν, λέγει Ἀδωναΐ κύριος. * σαφέστατα * δεδήλωκεν ἡ γραφὴ ὅτι συνὼν δίκαιος ἀδίκῳ οὐ συναπόλλυται μετ' αὐτοῦ. ἐν γὰρ τῷ κόσμῳ τούτῳ καὶ δίκαιοι καὶ ἄδικοι ἀλλήλοις συναγελάζονται κοινωνίᾳ βίου, οὐ μὴν καὶ ὁσιότητος. καὶ τοῦτο οὐχ ἁμαρτάνουσιν οἱ θεοφιλεῖς· μιμηταὶ γὰρ εἰσὶ τοῦ πατρὸς αὐτῶν τοῦ ἐν τοῖς οὐρανοῖς, τοῦ τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντος ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχοντος αὐτοῦ τὸν ὑετὸν * πονηροῖς καὶ

2 Hierem 8, 4. 5 | 4 Hierem 3, 22 | 12 Ezech 18, 20 | 13 Ezech 14, 13. 14 | 24 Matth 5, 45

2 ἐπιστρέφων y | 3 ἀπέστρεψεν yt | 4 ἀναιδῆι w | 4. 5 ἐπιστράφηταιw | 5 ἰάσωμαι Xy | 7 ἀνηλεῶς wxt (ʹʹλέως x), πονηρῶς y | 8 τοῖς + y | 8 συναναμίγνυσθαι wx, συμμολύνεσθαι t, συνμολύναισθαι y | 8 αὗται wxt, τοιαῦται y | 9 γὰρ > w | 9 εἰσὶν x | 9 αὐτοῦ > W | 10 κριτῶν yt | 10 ἀμιλίκτων X | 11 γινώσκουσι W | 11 φυλάττεσθαι w | 11 λόγω yt | 12 ἁμαρτάννοντας y | 13 καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται + yt | 13 γῆι w | 14 καὶ > w | 15 ἐπ' + t | 16 λοιμὸν y | 16 ἐξ > yt | 17 ὦσι W | 17 οἱ > x | 18 αὐτοὶ wx, οὗτοι yt | 19 σώσουσιν x | 19 ἀδοναΐ y | 19 ἐνταῦθα + y | 20 γὰρ + inter versus w | 20 δεδήλωκε W | 22 ἀλήλοις X | 23 τούτω y | 24 εἴσιν x | 25 αὐτοῦ > y | 26 ἐπὶ + yzt | 26 πονηροὺς yzt

*ἀγαθοῖς. καὶ οὐδὲν κινδυνεύσει ὁ δίκαιος ἐκ τούτου· ἐν γὰρ τῷ σταδίῳ καὶ νικηταὶ καὶ νικώμενοι εἰσίν, ἐν δὲ τῷ στεφάνῳ μόνοι οἱ γενναίως ἀγωνισάμενοι· οὐδεὶς δὲ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. ἕκαστος γὰρ περὶ ἑαυτοῦ ἐξομολογήσεται, καὶ οὐ μὴ συναπολέσῃ ὁ θεὸς * δίκαιον μετὰ * ἀδίκου, ἐπείπερ παρ' αὐτῷ τὸ ἀναμάρτητον ἀτιμώρητον. οὔτε γὰρ τὸν Νῶε κατέκλυσεν, οὔτε τὸν Λὼτ κατέφλεξεν, οὔτε τὴν Ῥαὰβ συναπώλεσεν. εἰ δὲ βούλεσθε γνῶναι καὶ τὰ ἐφ' ἡμῶν γενόμενα, Ἰούδας σὺν ἡμῖν ὢν ἔλαβε τὸν κλῆρον τῆς διακονίας ὃν καὶ ἡμεῖς, καὶ Σίμων ὁ μάγος τὴν ἐν χριστῷ σφραγῖδα· ἀλλ' ἑκάτερος αὐτῶν ἀναδειχθεὶς φαῦλος, ὁ μὲν ἤγξατο, ὁ δὲ παρὰ φύσιν ἱπτάμενος * συνετρίβη. καὶ ἐν τῇ κιβωτῷ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ ὑπῆρχον, ἀλλὰ πονηρὸς ὁ Χὰμ εὑρεθεὶς μόνος εἰς τὸν υἱὸν ἐδέξατο * τιμωρίαν. εἰ δὲ * πατέρες ὑπὲρ τέκνων οὐ τιμωροῦνται οὔτε υἱοὶ ὑπὲρ πατέρων, δῆλον ὡς οὔτε * γυναῖκες ὑπὲρ ἀνδρῶν, οὔτε οἰκέται ὑπὲρ δεσποτῶν, οὔτε συγγενεῖς ὑπὲρ συγγενῶν, οὔτε φίλοι ὑπὲρ φίλων οὔτε δίκαιος ὑπὲρ ἀδίκων· ἀλλ' ἕκαστος ὑπὲρ τοῦ οἰκείου ἔργου τὸν λόγον ἀπαιτηθήσεται. οὔτε γὰρ Νῶε ὑπὲρ τοῦ κόσμου δίκην εἰσεπράχθη, οὔτε Λὼτ ὑπὲρ Σοδόμων ἐπυρπολήθη, οὔτε Ῥαὰβ ὑπὲρ Ἱεριχουντίων ἐσφάγη, οὔτε οἱ Ἰσραηλῖται ὑπὲρ Αἰγυπτίων· οὔτε ἡ συνοίκησις κατακρίνει τοὺς δικαίους σὺν τοῖς ἀδίκοις, ἀλλ' ἡ τῆς γνώμης ὁμόνοια. οὐ χρὴ οὖν τοῖς ἑτοιμοθανάτοις καὶ μισανθρώποις καὶ φιλεγκλήμοσι καὶ μετὰ*

3 Tim β 2, 5 | 5 Gen 18, 23

1 *ἀγαθοὺς* yzt | 1 *καὶ* wxt, *ὥστε* yz | 1 *κινδευνεύσει* w, *κινδυνεύσῃ* z | 2 *νικόμενοι* z | 3 *ἀγονισάμενοι* z | 4 *ἀθλήσει* w | 7 *γὰρ* wxt, *οὖν* yz | 5 *συναπολέσει* xY | 5 *τὸν* + yzt | 6 *τοῦ* + yzt | 7 *ἀτιμόρητον* z | 7 *κατέλυσεν* z | 8 *κατέφλεξε* W | 8 *συνάπόλεσε* W, w + *ν*, *συναπόλεσεν* z, *συναπόλεσε* t | 10 *ἔλαβεν* xt | 11 *χριστῷ* wx, *κυρίῳ* yzt | 12 *ἦξατο* z, *ἀπήγξατο* t | 12. 13 *ἡπτάμενος* wx (*ἡ*″ x) | 13 *πεσὼν* + yz | 13 *οἱ* > z | 14 *εἰς τὸν υἱὸν* > w | 15 *τὴν* + yz | 15 *εἰ* wxt, *ὅτι* yz | 15 *καὶ* + t | 15 *τέκνων* wx, *παίδων* yzt | 16 *πὲρ* W | 16 *δῆλον ὡς* xt, *δηλονότι* w, *δῆλον* yz | 16 *γὰρ* + yz | 18 *φίλοι* wxt, *φίλος* yz | 21 *δίκαιοι* yzt | 19 *τὸν* > x | 22 *ἱεριχουντείων* t | 22 *ὁ ἰσραὴλ* yzt | 23 *οὔτε* wx, *οὐ γὰρ* yzt | 23 *συνήκησις* w | 23 *κατακρίνῃ* z | 24 *ὁμόνια* y | 25 *ἑτοιμοθανάτοις καὶ* > yz | 25 *μισανθρώπης* z | 25 *φιλεγκλήμοσιν* x, *φϋλεγκλήμοσι* z

προφάσεως θανατοποιοῖς προσέχειν. * ἕτερος γὰρ ὑπὲρ ἑτέρου οὐκ ἀποθανεῖται, ἀλλὰ Σειραῖς τῶν ἑαυτοῦ ἀνομιῶν ἕκαστος σφίγγεται· καὶ Ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. δεῖ δὲ ἡμᾶς βοηθεῖν τοῖς νοσοῦσι καὶ κινδυνεύουσι καὶ σφαλλομένοις *, καὶ ὅσον οἷόν τε τῇ παραινέσει τοῦ λόγου ὑγιάζειν αὐτοὺς καὶ ῥύεσθαι ἐκ θανάτου· Οὐ χρείαν γὰρ ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· ἐπειδὴ Οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός *, ἵνα ἀπόληται εἷς τῶν μικρῶν *. οὐ γὰρ * τῶν σκληροκαρδίων ἀνθρώπων βούλησιν ἱστᾶν χρή, ἀλλὰ τὴν τοῦ θεοῦ καὶ πατρὸς τῶν ὅλων τὴν διὰ Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. οὐδὲ γὰρ δίκαιον κεφαλὴν ὄντα σε, ὦ ἐπίσκοπε, οὐρᾷ προσέχειν, τοῦτ' ἔστι λαϊκῷ * στασιώδει ἀνθρώπῳ εἰς ἑτέρου ἀπώλειαν, ἀλλὰ θεῷ μόνῳ. ἄρχειν γάρ σε χρὴ τῶν ὑπηκόων, οὐ μὴν καὶ ὑπ' αὐτῶν ἄρχεσθαι· οὔτε γὰρ υἱὸς ἄρχει πατρὸς κατὰ τὸν τῆς γεννήσεως λόγον, οὔτε δοῦλος τοῦ κυρίου αὐτοῦ κατὰ τὸν τῆς ἐξουσίας, οὔτε μαθητὴς διδασκάλου, οὔτε στρατιώτης βασιλέως, οὔτε μὴν λαϊκὸς ἐπισκόπου. περὶ γὰρ τοῦ μὴ δοκεῖν τοὺς πλησιάζοντας ἀδίκοις τῇ τοῦ λόγου διδαχῇ συμμολύνεσθαι ἢ κοινωνεῖν ταῖς αὐτῶν ἁμαρτίαις ὁ Ἰεζεκιὴλ ἐκκόπτων τὴν τῶν κακοήθων ὑπόνοιαν λέγει Τί ὑμεῖς λέγετε αὐτοῖς τὴν παραβολὴν ταύτην ἐπὶ γῆς Ἰσραὴλ Οἱ

2 Prov 5, 22 | 3 apocryphum | 7 Matth 9, 12 | 8 Matth 18, 14 | 22 Ezech 18, 2—5

1 ὅτι δὲ οὕτως ἔχει καὶ + yz | 1 γὰρ > yz | 2 οὐ τιμωρεῖται y, τιμωρεῖται z | 2 ἀλλὰ wxt, ἀλλ' ἕκαστος yz | 2 συραῖς z | 2 αὐτοῦ W | 2 ἀνομιῶν wx, ἁμαρτιῶν yzt | 3 ἕκαστος > yz | 3 καὶ wx, μαρτυρεῖ καὶ ἄλλος προφήτης λέγων yz | 4 βοηθεῖν > w | 4 νοσοῦσιν x, συνοῦσι t | 5 κινδυνεύουσιν xy | 5 βοηθεῖν + w | 7 χρίαν z et in margine καὶ πάλιν | 7 ἔχουσι W | 8 ἐπειδὴ wxt, φησὶ ὁ σωτὴρ ἐν εὐαγγελίοις καὶ πάλιν + y, φησὶν ὠ σωτὴρ ἐν εὐαγγελίοις + z | 8 ἐστιν x | 8 ἔμπροσθεν > yz | 9 ὑμῶν [ἡμῶν z] τοῦ ἐν οὐρανοῖς ἔμπροσθεν + yz | 9 ἀπόληται > yz | 9 τούτων ἀπόληται + yz | 9 τὴν + yzt | 10 ἀνδρῶν yzt | 14 ἐστιν x | 14 καὶ + y sed > Y | 14 στασιώδει Wyzt, στασιώδη wx | 14 ἀπόλειαν w | 15 ἄρχη z | 17 γενέσεως yzt | 18 τῆς > w | 21 συμμολύναισθαι y | 23 λέγεται w

*πατέρες ἔφαγον ὄμφακας, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν; ζῶ ἐγώ, λέγει Ἀδωναῒ κύριος, εἰ * ἔσται ἐν ὑμῖν λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραήλ. ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν· ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρός, οὕτως * ἡ ψυχὴ τοῦ υἱοῦ ἐμή ἐστιν. ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ καὶ ἀποθανεῖται· ὁ δὲ ἄνθρωπος, ὃς ἔσται δίκαιος, ποιῶν κρίμα καὶ δικαιοσύνην — καὶ ἑξῆς ἐπιλέγων τὰς λοιπὰς ἀρετάς, ἐπισφραγίζεται λέγων Ὁ τοιοῦτος δίκαιος ὑπάρχει, ζωῇ ζήσεται, λέγει Ἀδωναῒ κύριος. καὶ ἐὰν γεννήσῃ υἱὸν λοιμόν, ἐκχέοντα αἷμα, * ἐν τῇ ὁδῷ τοῦ πατρὸς αὐτοῦ τοῦ δικαίου οὐκ ἐπορεύθη — καὶ ἐπάγων τὰ ἑξῆς, ἐπάγει τοῖς τελευταίοις Ζωῇ οὐ ζήσεται· πάσας τὰς ἀνομίας ταύτας ἐποίησε, * θανάτῳ ἀποθανεῖται, * τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται. καὶ ἐρεῖτε Τί ὅτι οὐκ ἔλαβεν ὁ υἱὸς τὴν ἀδικίαν τοῦ πατρὸς ἢ τὴν δικαιοσύνην αὐτοῦ, δικαιοσύνην καὶ ἔλεος πεποιηκώς; καὶ ἐρεῖς αὐτοῖς Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται· υἱὸς οὐ λήψεται ἀδικίαν πατρός, καὶ πατὴρ οὐ λήψεται ἀδικίαν υἱοῦ· δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται. καὶ μετ' ὀλίγα φησὶν Ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιήσει ἀδικίαν, * κατὰ πάσας τὰς δικαιοσύνας αὐτοῦ ἃς ἐποίησεν οὐ μὴ μνησθῶσιν. ἐν τῇ ἀδικίᾳ αὐτοῦ ᾗ ἠδίκησε καὶ ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ᾗ ἥμαρτεν, ἐν αὐτῇ ἀποθανεῖται. καὶ μετ' ὀλίγα φησὶν Ἐν τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε καὶ ἀπέστρεψεν ἀπὸ πασῶν*

8 Ezech 18, 9—11 | 12 Ezech 18, 13 | 14 Ezech 18, 19. 20 | 19 Ezech 18, 24 | 24 Ezech 18, 27. 28

1 *ὄμφακα* yzt | 1. 2 *αἱμωδίασαν* w, *ἠμωδίασαν* xzt | 2 *ἔτι* + yzt | 4 *καὶ* + w | 5 *ἐστι* W | 5 *αὕτη* x | 5 *καὶ* > yzt | 6 *ἐστὶ* w | 7 *λυπὰς* z | 8 *ὁ τοιοῦτος* wxyt, *ὅτι ὅντος* z | 8 *ζωὴν* w | 10 *καὶ* + w inter versus | 11 *οὐ μὴ πορευθὴ* w, *κἐπορεύθη* [sic] z | 11 *ἐπάγων* wxy, *ἐπάγον* z, *ἐπαγαγὼν* t | 12 *ζήσεσαι* t | 12 *πάσας ... ἐποίησε* > w | 12 *ἐποίησεν* x | 12 *ἀλλὰ* + w | 13 *καὶ* + w | 14 *ἐρεῖται* xt | 14 *τί ὅτι* > yz, *τί* > t | 15 *πεποιηκός* w | 17 *λίψεται* w? | 19 *φησὶ* w | 21 *πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ* + t | 21 *δικαιοσύνας* w, *ἀδικίας* x, *ἀνομίας* yzt | 21. 22 *ἐποίησε* W | 22 *ἠδίκησεν* xt, *ἐποίησε* w | 24 *φησὶν* > w, *ἐπάγει* yzt | 25 *ἐποίησαν* X, *ἐποίησεν* x | 26 *οὗτως* z | 26 *ἐφύλαξεν* xy

*τῶν ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησε, ζωῇ * ζήσεται καὶ οὐκ ἀποθανεῖται. καὶ ἑξῆς Ἕκαστον κατὰ τὰς ὁδοὺς ὑμῶν κρινῶ *,*
15 *λέγει Ἀδωναΐ κύριος. | ὁρᾶτε, τέκνα ἡμῶν ἠγαπημένα, πῶς* -♦- *εὔσπλαγχνος μετὰ δικαιοσύνης κύριος ὁ θεὸς ἡμῶν, * ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἀθωῶν οὐκ ἀθωώσει τὸν ἔνοχον, καὶ τὸν ἐπιστρέφοντα προσιέμενος καὶ ζωοποιῶν, μὴ καταλιπὼν τόπον ὑπονοίας τοῖς ἀπηνῶς βουλομένοις κρίνειν καὶ τέλεον ἀποστρέφεσθαι τοὺς ἁμαρτάνοντας καὶ μὴ κοινωνεῖν αὐτοῖς λόγων παρακλητικῶν, πρὸς μετάνοιαν ἐνάγειν δυναμένων· οἷς ἐκ τῶν ἐναντίων ὁ θεὸς διὰ Ἠσαΐου λέγει πρὸς τοὺς ἐπισκόπους Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ. χρὴ οὖν ὑμᾶς αὐτοῦ ἀκούοντας παρακαλεῖν τοὺς ἡμαρτηκότας καὶ πρὸς μετάνοιαν παρορμᾶν καὶ εὐέλπιδας ποιεῖν, καὶ μὴ ὑπονοεῖν ὡς κοινωνοὺς γινομένους τῶν πλημμεληθέντων αὐτοῖς ἕνεκεν τῆς εἰς αὐτοὺς ἀγάπης. ἀσμένως δὲ τοὺς μετανοοῦντας προσδέχεσθε, χαίροντες ἐπ' αὐτοῖς καὶ μετὰ ἐλέους καὶ οἰκτιρμῶν κρίνοντες τοὺς ἁμαρτάνοντας. ἐὰν γὰρ τὸν παρὰ ποταμὸν βαδίζοντα καὶ μέλλοντα ὀλισθαίνειν κεραίαις ὤσας εἰς τὸν ποταμὸν ἐμβάλῃς ἀντὶ τοῦ χεῖρα μᾶλλον ὀρέξαι, ἐφόνευσάς σου τὸν ἀδελφόν, δέον μᾶλλον τῷ ὀλισθαίνοντι ἐπιδοῦναι δεξιάν, ἵνα μὴ τελέως ἀπόληται· ὅπως καὶ ὁ λαὸς νουθετῆται, καὶ ὁ ἁμαρτήσας μὴ κατὰ πᾶν ἀπόληται. δεῖ δέ σε, ὦ ἐπίσκοπε, μήτε παρορᾶν τὰ*

2 Ezech 18, 30 | 11 Isaj 40, 1. 2

1 *ἀσεβιῶν* z | 1 *ἐποίησεν* xz | 1 *ζωὴν* w | 1 *δὲ* + w | 2 *τὰς* wxyt, *τοὺς* z | 2 *κρινῶι* w | 2 *ὑμᾶς οἶκος ἰσραὴλ* + yzt | 4 *εὔσπλαγχνος* > w | 4 *ὁ* + w | 5 *καὶ* alterum .... 6 *καὶ* prius > w | 5 *αθοώσει* x | 6 *μὴ* > yz | 6. 7 *καταλειπῶν* w, *καταλειπὼν* x, *καταλείπων* y, *καταλύπων* z | 7 *ἀπεινῶς* w, *ἀποινῶς* y | 8 *ἀποστρεφέσεος* z | 9 *λόγον παρακλητικὸν* w a correctore, *λόγον* etiam z | 9 *ἐν ἀγαγεῖν* t | 10 *δυνάμενον* w | 11 *παρακαλεῖται* w | 11 *παρακαλεῖτε* alterum > w | 13 *παρακαλεὶν τοὺς ἡμαρτηκότας* > y | 14 *καὶ εὐέλπιδας ποιεῖν* > w | 15 *κοινωνικοὺς* x | 16 *εἵνεκεν* x | 16 med *αὐτῶν* w | 16 *δὲ* wxt, *τοίνυν* yz | 17 *προσδέχεσθαι* w | 17 *καὶ* > xt | 19 *ὀλησθένειν* W, *ὀλισθένειν* w | 19. 20 *καὶ ραιαῖς* x, *παντελῶς* yz | 21 *ὀρέξας* x | 22 *ὀλισθένοντι* w | 22 *τελείως* yzt | 23 *νουθετεῖται* wx (*ῖ* x) | 24 *ἀπώληται* w | 24 *μίτε* w

ἁμαρτήματα τοῦ λαοῦ, μήτε τοὺς μετανοοῦντας ἀποστρέφε-
σθαι, ὅπως μὴ διαφθείρῃς ὡς ἄπειρος τὸ ποίμνιον κυρίου
καὶ φαυλίσῃς αὐτοῦ τὸ ὄνομα τὸ καινὸν τὸ εἰς τὸν λαὸν
αὐτοῦ ἐπιτεθέν, καὶ ὀνειδισθήσῃ * καθάπερ * οἱ παλαιοὶ ποι-
μένες, περὶ ὧν ἔλεγε * τῷ Ἱερεμίᾳ Ποιμένες πολλοὶ διέ-
φθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν κληρονομίαν
μου· καὶ ἐν ἄλλοις Ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυ-
μός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ὀργισθήσομαι· καὶ ἐν ἑτέροις
Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου. | ἰδὼν δὲ σὺ 16
τὸν ἡμαρτηκότα, πικρανθεὶς || κέλευσον αὐτὸν ἔξω βλη- 7
θῆναι· καὶ ἐξελθόντι αὐτῷ κρινέσθωσαν οἱ διάκονοι, καὶ
ἐπιζητοῦντες κατεχέτωσαν αὐτὸν ἔξω τῆς ἐκκλησίας, καὶ
εἰσελθόντες ὑπὲρ αὐτοῦ * ἐρωτάτωσαν· καὶ γὰρ ὑπὲρ τῶν
ἡμαρτηκότων ὁ σωτὴρ ἠξίου τὸν πατέρα, ὡς γέγραπται ἐν
τῷ εὐαγγελίῳ Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦ-
σιν. τότε σὺ κελεύσεις εἰσελθεῖν αὐτόν, καὶ ἀνακρίνας εἰ
μετανοεῖ καὶ ἄξιός ἐστιν ὅλως εἰς ἐκκλησίαν παραδεχθῆναι,
στιβώσας αὐτὸν ἡμέρας νηστειῶν κατὰ τὸ ἁμάρτημα, ἑβδο-
μάδας δύο ἢ τρεῖς ἢ πέντε ἢ ἑπτά, οὕτως αὐτὸν ἀπόλυσον,
εἴπας αὐτῷ ὅσα ἁρμόζει ἡμαρτηκότι εἰς νουθεσίαν ἐπιπλήσ-
σοντα διδάσκειν καὶ παραινεῖν *, ὅπως μείνῃ παρ' ἑαυτῷ
ταπεινοφρονῶν καὶ δεόμενος τοῦ θεοῦ τυχεῖν αὐτοῦ εὐμε-
νοῦς καὶ λέγειν Ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς
ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. τοιοῦτον γάρ
τι ὑπεμφαίνει καὶ τὸ ἐν τῇ γενέσει εἰρημένον τῷ Κάιν
Ἥμαρτες; ἡσύχασον· τοῦτ' ἔστι μὴ προσθῇς. ὅτι γὰρ τὸν

5 Hierem 12, 10 | 7 Zach 10, 3 | 9 Malach 1, 6 | 15 Luc 23, 34 | 23 Psalm 130, 3. 4 | 26 Gen 4, 7

3 φαυλίσεις w | 3 τὸ καινὸν > w | 4 ὠνειδισθήσει w, ὀνειδινησθήσῃ z | 4 καὶ σὺ + w | 4 καὶ + yzt | 5 ἔλεγεν xyzt | 5 ὁ θεὸς + yzt | 5 ἱηρεμίᾳ x | 7 ἐν αλλοις wxt, ἀλλαχοῦ ἀλλαχοῦ Y, ἀλλαχοῦ yz | 8 ἐν ἑτέροις wxt, πάλιν yz | 9 σοὶ z | 10 ἡμαρτικότα w | 10 πιρανθεὶς z | 11 ἐν ἄλλῳ ἐξ-ελθόντος αὐτοῦ margo t | 11 πικραινέσθωσαν yzt | 13 σε + yzt | 14 τὸν πατέρα ἠξίου yzt | 14 γέγραπτε w | 15 οἴδασιν xyzt | 15 τί wx, ὃ yzt | 15. 16 ποιοῦσι yzt | 16 κέλευσον yz | 17 ὅλως w, ὅλος post ἐκκλη-σίαν yzt | 18 ἡμέραις yzt | 20 εἰπὼν yzt | 20. 21 ἐπιπλήσσοντα > w | 21 διδάσκων καὶ παρενῶν w | 21 αὐτὸν + w | 22. 23 εὐμενῶς x | 23 παρατηρίσης w, παρατηρήσῃ xt | 24 σοῦ w | 24 ἔστι yzt | 26 ἔστιν x

HISTORY

ἁμαρτήσαντα δεῖ ὑπὲρ τοῦ οἰκείου πλημμελήματος αἰσχύνε-
σθαι, ἱκανὸν τὸ λόγιον * τῷ Μωσῇ ὑπὲρ Μαρίας εἰρημένον,
ἡνίκα ἠξίου ἀφεθῆναι αὐτῇ· φησὶ γὰρ αὐτῷ ὁ θεὸς Εἰ ὁ
πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ
ἂν ἐνετράπη; ἑπτὰ ἡμέρας ἀφορισθήτω ἔξω τῆς παρεμβο-
λῆς, καὶ μετὰ ταῦτα εἰσελεύσεται. οὕτως οὖν καὶ ἡμᾶς δέον
ἐστὶ ποιεῖν, τοὺς ἐφ' ἁμαρτίαις λέγοντας μετανοεῖν ἀφορί-
ζειν χρόνον ὡρισμένον κατὰ τὴν ἀναλογίαν τοῦ ἁμαρτήμα-
τος, ἔπειτα μετανοοῦντας προσλαμβάνεσθαι, ὡς πατέρας
17 υἱούς. | εἰ δὲ ὁ ἐπίσκοπος αὐτὸς ἐν προσκόμματι ὑπάρχει,
πῶς ἔτι ἐπεξέλθῃ ἐκζητῆσαι ἀδικήματά τινος ἢ ἐπιτιμῆσαί
τινι, διὰ προσωποληψίας * ἢ αὐτὸς ἢ οἱ διάκονοι οὐχ ὑπάρ-
χοντες εὐσυνείδητοι; ὅταν γὰρ ὁ ἄρχων αἰτῇ καὶ ὁ κριτὴς
λαμβάνῃ, καὶ οὐ διεξάγεται εἰς τέλος κρίσις· κοινωνοὶ δὲ
κλεπτῶν καὶ κρίσει χηρῶν οὐ προσέχοντες, οὐ δυνήσονται
οἱ ὑπὸ τὸν ἐπίσκοπον συνεπιμαχεῖν τῷ ἐπισκόπῳ. ἐροῦσι
γὰρ αὐτῷ τὸ ἐν τῷ εὐαγγελίῳ εἰρημένον ὅτι Βλέπεις τὸ
κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δο-
κὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; εὐλαβείσθω
οὖν ὁ ἐπίσκοπος σὺν τοῖς διακόνοις αὐτοῦ ἀκοῦσαι ῥῆμά
ܒ τι τοιοῦτον· τοῦτ' ἔστι μὴ διδότω ἀφορμήν. ὁ γὰρ ἁμαρ-
τάνων ἐπὰν ἴδῃ τινὰ ὅμοια αὐτῷ δρῶντα, οἰκοδομηθήσεται
εἰς τὸ τὰ αὐτὰ ποιεῖν· εἶτα ὁ πονηρός, δι' ἑνὸς ἀφορμὴν
λαβών, εἰς ἑτέρους ἐνεργεῖ, ὃ μὴ γένοιτο *, καὶ οὕτως
καταστραφήσεται τὸ ποίμνιον· πλειόνων γὰρ ὄντων τῶν

3 Num 12, 14 | 17 Luc 6, 41

1.2 αἰσχύναισθαι y | 2 τὸ εἰρημένον + w | 2 τῷ] τὸ y | 2 μωσεῖ t | 2 εἰρημένον > w | 3 φησὶν x | 3 αὐτῷ > w | 6 ὑμᾶς w | 7 ἐστὶν x | 8 ὁρισμένον wx | 9 πατέρας x, πατέρες yt, γνησίους w. in z ex ὡς praecedenti et compendio scripturae ortum ὥσπερ | 11 ἐπεξέλθοι t | 11 ἐκδικῆσαι w | 11 ἀδίκημα yzt | 11 ἐπιμῆσαι W, ἐπιτημῆσαι z | 12 προσωποληψίαν yt, προσοπολημψίαν z | 12 ἢ διὰ δωροληψίαν + yzt | 13 γὰρ > w | 13 αἰτεῖ wx | 14 λαμβάνει w | 14 διεξάγηται yz | 14 εἰς τέλος κρίσις wxt, κρίσει yz: sed in margine y λέγεται καὶ εἰς τέλος κρίσις | 15 κρίσιν yz | 15 χειρῶν z | 16 τὸν xyzt, τῶν w | 16 ἐροῦσιν x | 17 γεγραμμένον yzt | 17 ὅτι wx, τί yzt | 17 βλέπις z | 20 σὺν > w | 20 τοὺς διακόνους w | 20 ἀκοῦσι z | 21 τι > w | 21 τοιοῦτο y, τιοῦτο z | 21 ἔστιν x | 24 εἰς ὑμᾶς + z | 24 οὕτω yz | 25 διαστραφήσεται yzt | 25 πλειώνων y, πλείων z

ἁμαρτανόντων, πλείων ἔσται καὶ ἡ δι᾽ αὐτῶν ἐπιτελουμένη κακία. ἁμαρτία γὰρ ἀνεξέλεγκτος ἑαυτῆς χείρων γίνεται καὶ εἰς ἄλλους τὴν διανομὴν λαμβάνει· ἐπεὶ καὶ ζύμη μικρὰ πλήρη φυράματα. δολοῖ, καὶ εἷς κλέπτης εἰς ὅλον * ἔθνος τὸ μύσος * ἐπήγαγε, καὶ Μυῖαι θανοῦσαι σαπριοῦσι σκευασίαν ἡδύσματος ἐλαίου, καὶ βασιλέως ὑπακούοντος λόγον ἄδικον πάντες οἱ ὑπ᾽ αὐτὸν ὑπηρέται παράνομοι. οὕτω καὶ πρόβατον ψωραλέον μεταδίδωσιν ἑτέροις τῆς νόσου, μὴ χωρισθὲν τῶν ὑγιαινόντων προβάτων, καὶ ἄνθρωπος λοιμώσσων πολλοῖς φυλακτέος, καὶ κύων λύσσῃ συσχεθεὶς ἐπικίνδυνος παντὶ ᾧ δ᾽ ἂν προσάψηται *. ἐὰν οὖν καὶ * ἄνθρωπον παράνομον μὴ τῆς ἐκκλησίας τοῦ θεοῦ χωρίσωμεν, ποιήσομεν τὸν οἶκον κυρίου σπήλαιον λῃστῶν. δεῖ γὰρ * τῶν ἁμαρτανόντων μὴ παρασιωπᾶν, ἀλλ᾽ ἐλέγχειν, νουθετεῖν, ὑποπιάζειν, στίβειν νηστείαις, ὅπως καὶ τοῖς ἑτέροις εὐλάβειαν ἐμποιήσῃ· εὐλαβεῖς γάρ, φησί, ποιήσατε τοὺς υἱοὺς Ἰσραήλ. χρὴ γὰρ τὸν ἐπίσκοπον καὶ τῶν ἁμαρτιῶν κωλυτὴν διὰ τῆς νουθεσίας γίνεσθαι, καὶ τῆς δικαιοσύνης σκοπόν, καὶ τῶν ἡτοιμασμένων ὑπὸ θεοῦ ἀγαθῶν κήρυκα, καὶ τῆς μελλούσης ὀργῆς ἐν τῇ κρίσει διαγγελτῆρα· ὅπως μή, καταφρονήσας τῆς τοῦ θεοῦ φυτουργίας, ἀκούσῃ δι᾽ ἀμέλειαν τὸ ἐν τῷ Ὡσηὲ εἰρημένον Ἱνατί παρεσιωπήσατε ἀσέβειαν * καὶ τὸν καρπὸν αὐτῆς ἐτρυγήσατε; | πάντων οὖν 18

3 Gal 5, 9 | 5 Eccl 10, 1 | 6 Prov 29, 12 | 13 Matth 21, 13 | 16 Lev 15, 31 | 22 Osee 10, 13

1 πλεῖον wy, πλείον z | 2 ἀνέγκλητος yz, sed in margine y ἀνεξέλεκτος, ἀνέλεγκτος t | 2 χείρων ἑαυτῆς yzt | 3 ἀλλήλους x | 3 τὴν > W | 3 ἡ νομὴ ἕρπει yz | 3 μικρὰ ζύμη y | 4 πλήρη Wx, πληροῖ w, πλήρωμα t, ὅλον τὸ yz | 4 φύρα W, φύραμα wy, φυράμα z, φυράματος t | 4 δολοῖ > w | 4 τὸ + yz | 5 πολλάκις + yz | 5 ἐπήγαγεν xy | 5 μῦαι w | 5 σαπριοῦσιν x, σαπρῶσι yz | 8 ψωραλαῖον x | 8 τῆς xyzt, τοῖς w | 9 ὑγιεινῶν yzt | 9. 10 λοιμόσσων wx | 10 φυλακταῖος xt | 10 συχεθεὶς z | 11 προσάψοιτο w, προσάψῃ yzt | 11 ὥστε καὶ ἄνθρωπος λοιμώσσων πολλοῖς φυλακτέος εἶναι προσήκει + yz | 11 ἡμεῖς + yz | 12 χωρήσωμεν w | 13 ποιήσωμεν wt | 13 ἐπὶ + yzt | 14 ἁμαρτανότων W | 14 ἀλλ᾽ .... 15 ὑποπιάζειν > z | 15 ὑποπιέζειν yt | 15 στίβειν W?x, στίφειν w?, στιβοῦν yzt | 15 νηστίαις t | 16 ἐνποιήσει w | 16 φησί > x, φησὶν t, φη̅ w | 16 ποιήσαται w, ποιήσετε x, ποιήσεται z | 17 γὰρ wxt, οὖν yz | 17. 18 κολυτὴν w | 19 ἀγαθὸν x | 20 κρίση z | 21 ἀκούσει w | 21 διὰ t | 21. 22 ἀμέλιαν y | 22 ὁσιὲ w, ὠσιὲ x, Ὡσιὲ t | 23 φη̅ + w

*ὁ ἐπίσκοπος φροντιζέτω, καὶ τῶν μὴ ἡμαρτηκότων, ἵνα μένωσιν ἀναμάρτητοι, καὶ τῶν ἁμαρτανόντων, ἵνα μετανοῶσιν. λέγει γὰρ ὁ κύριος πρὸς ὑμᾶς Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. καὶ τοῖς μετανοοῦσιν ἄφεσιν διδόναι χρή· ἅμα γὰρ τῷ εἰπεῖν τινα τῶν πλημμελησάντων γνησίᾳ διαθέσει Ἡμάρτηκα τῷ κυρίῳ, ἀποκρίνεται τὸ πνεῦμα τὸ ἅγιον Καὶ κύριος ἀφῆκέν σοι τὴν ἁμαρτίαν *. γνώριζε οὖν, ὦ ἐπίσκοπε, τὸ ἀξίωμά σου, ὅτι ὡς τοῦ δεσμεῖν ἐκληρώσω τὴν ἐξουσίαν, οὕτως καὶ τοῦ λύειν. ἐξουσίαν * οὖν ἔχων τοῦ λύειν γνώριζε σεαυτόν, καὶ ἀξίως* ⊂⊃ *τοῦ τόπου σου || ἐν τῷδε τῷ βίῳ ἀναστρέφου, εἰδὼς ὅτι πλείονα * ἀπαιτηθήσῃ τὸν λόγον. ᾧ γὰρ * παρέθεντο πολύ, περισσότερον ἀπαιτήσουσι παρ' αὐτοῦ. ἀναμάρτητος μὲν γὰρ ἀνθρώπων οὐδεὶς πάρεξ τοῦ γενομένου δι' ἡμᾶς ἀνθρώπου· ἐπεὶ γέγραπται Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ. διὰ τοῦτο καὶ τῶν προγεγενημένων δικαίων τε καὶ πατριαρχῶν οἱ βίοι καὶ αἱ ἀναστροφαὶ ἀνεγράφησαν, οὐχ ἵνα ἐκείνους ὀνειδίζωμεν ἀναγινώσκοντες, ἀλλ' ἵνα ἡμεῖς μετανοῶμεν καὶ εὐέλπιδες γινώμεθα ὡς ἀφέσεως τευξόμενοι. τὰ γὰρ ἐκείνων ῥύπη ἡμετέρα ἀσφάλεια καὶ παραίνεσις, ὅτι καὶ ἡμεῖς ἁμαρτήσαντες, ἐὰν μετανοήσωμεν, συγγνώμην ἕξομεν· ἐπεὶ γέγραπται Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; οὐδεὶς οὖν ἀναμάρτητος. σὺ*

3 Matth 18, 10 | 6 Reg β 12, 13 | 12 Luc 12, 48 | 15 Iob 14, 4. 5 | 22 Prov 20, 9

1 *φροντιζέτω ὁ ἐπίσκοπος* t. | 1 *ἡμαρτικότων* w | 2 *μείνωσιν* t | 2. 3 *μετανοῶσι* wt | 3 *εἶπεν* yz | 3 *πρὸς ὑμᾶς* wxt, *ἐν εὐαγγελίοις* yz | 3. 4 *καταφρονήσηται* w | 4 *καὶ* wxt, *οὐκοῦν* yz | 4 *μετανοοῦσι* W | 5 *τῷ* y, *τὸ* wx | 5. 6. *τῶν πλημμελησάντων* > X, habet x in margine | 7 *τὸ ἅγιον πνεῦμα* t | 7 *ἀφῆκέ* yzt | 8 *σου* + x | 8 *θάρσει οὐ μὴ ἀποθάνῃς* + yt, *θάρσει οὖν μὴ ἀποθάνῃς* + z | 9 *ἐκληρόσω* w, *ἐκκληρώσω* z | 10 *ἐξουσίαν ... λύειν* > w | 9 *οὕτω* yzt | 10 *γνώρεξε* y | 11 *τόπου* xyzt, *ἀξιώματός* w | 12 *αὐτὸς* + yzt | 12 *ἀπετηθήσει* w, *ἀπεπηθήσῃ* z | 12 *φησι* + yzt | 12 *παρέθετο* w | 13 *ἀπαιτήσουσιν* x | 14 *γὰρ* > w | 15 *καθρὸς* y | 16 *μίαι ἡμέραι* w, *μιᾶς ἡμέρας* x | 16. 17 *προγεννημένον* Z, *προγεννημένων* z | 17 *αἱ* > wz | 18 *ἵν'* yz | 18 *ὠνειδίζωμεν* w, *ὀνειδίζομεν* x | 19 *γενώμεθα* xt | 20 *τὰ* xyzt, *αἱ* w | 20 *ῥυτίδες* w | 24 *ἀναμάρτιτος* w

οὖν κατὰ δύναμιν σπούδαζε ἀνεπίληπτος εἶναι, καὶ περὶ πάντων μερίμνα, μὴ διά σέ τις σκανδαλισθεὶς ἀπόληται. ὁ γὰρ λαϊκὸς περὶ ἑαυτοῦ μόνου μεριμνᾷ, σὺ δὲ περὶ πάντων, * πλεῖον * βάρος ἔχων καὶ μεῖζον βαστάζων φορτίον· γέγραπται γὰρ Καὶ εἶπε κύριος πρὸς Μωυσῆν Σὺ καὶ Ἀαρὼν λήψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας. ὡς περὶ πλειόνων οὖν ἀπολογούμενος, περὶ πάντων * φρόντιζε· καὶ τοὺς μὲν ὑγιεῖς συντήρει, τοὺς δὲ ἡμαρτηκότας νουθέτει, καὶ στίβων ἐν τῇ νηστείᾳ, ἐν τῇ ἀφέσει ἐλάφρυνε, καὶ προσκλαύσαντα εἰσδέχου, πάσης τῆς ἐκκλησίας ὑπὲρ αὐτοῦ δεομένης, καὶ χειροθετήσας αὐτὸν ἔα λοιπὸν εἶναι ἐν τῷ ποιμνίῳ· τοὺς δὲ ὑπνώδεις καὶ παρειμένους ἐπίστρεφε, ὑποστήριζε, παρακάλει, θεράπευε, ἐπιστάμενος ἡλίκον μισθὸν ἕξεις ταῦτα ποιῶν, ὥσπερ οὖν καὶ κίνδυνον, ἐὰν ἀμελῇς τούτων. λέγει γὰρ πρὸς τοὺς ἀμελοῦντας τοῦ λαοῦ ἐπισκόπους Ἰεζεκιὴλ Οὐαὶ τοῖς ποιμέσι τοῦ Ἰσραήλ, οἳ ἐποίμαινον ἑαυτούς· οὐ τὰ πρόβατα μου ποιμαίνουσιν οἱ ποιμένες, ἀλλ' ἑαυτούς. τὸ γάλα κατεσθίετε καὶ τὰ ἔρια περιβάλλεσθε, τὸ ἰσχυρὸν σφάζετε, τὰ πρόβατα * οὐ ποιμαίνετε. τὸ ἐνοχλούμενον οὐκ ἐνισχύσατε καὶ τὸ ἀρρωστοῦν οὐκ ἰάσασθε καὶ τὸ συντετριμμένον οὐ κατεδήσατε, τὸ ἐξωσμένον οὐ || κατεπεστρέψατε καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ ἐν κράτει ἐπαιδεύσατε αὐτὰ μετὰ ἐμπαιγμοῦ. καὶ διεσπάρησαν * παρὰ τὸ μὴ εἶναι ποιμένα, καὶ ἐγένοντο εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ

1 Tim α 3, 2 | 5 Num 18, 1 | 15 Ezech 34, 2—5

2 ἀπώληται w | 4 ὡς + yt, ὠ + z | 4 οὖν + y, ὃς + z | 4 ἔχων βάρος yzt | 4 μίζον z | 5 εἶπεν x | 5 μωσῆν x, Μωϋσὲν t | 6 λήψεσθαι w | 6 τὰς > zt | 7 post πάντων rasura duodecim literarum in w | 8 νουθέτη X | 8 στιβῶν yzt | 9 ἐλάφρυνον t | 9 προσκλαύσαντας w | 10 τῆς ἐκκλησίας πάσης w | 10 αὐτῷ W | 11 αὐτὸ W? | 11 ἔαι w | 13 ποιῶν wx, ἐπιτελῶν yzt | 14 οὖν > Yz, suppl in margine y | 14 ἀμελεῖς w, ἀμελήσης yzt | 16 ποιμέσιν x | 16 οἳ wxyz, ὅτι t | 16 ἐποίμαινων w | 17 μου > yzt | 17 ποιμαίνες w | 18 κατεσθίεται w | 18 τὰ > t | 18 περιβάλλεσθαι w | 18 σφάζεται w | 19 τὰ .... ἐνισχύσατε > w | 19 μου + x | 19 οὐκ ἐποιμάνατε yz | 19 τὸ wxyzt, τὸν z | 20 καὶ prius > x | 20 ἄρρωστον yzt | 20 ἰάσασθαι w | 21 κατεδήσαται w | 21 τὸ prius .... 23 ἐμπαιγμοῦ > w | 21 οὐκ ἐπεστρέψατε xyz | 23 τὰ πρόβατά μου + w | 24 ποιμαίνες w | 24 πᾶσιν x | 24 θυρίοις z

*ἀγροῦ. καὶ πάλιν * Οὐκ ἐζήτησαν οἱ ποιμένες τὰ πρόβατά μου καὶ ἐποίμαινον οἱ ποιμένες ἑαυτούς, τὰ δὲ πρόβατά μου οὐκ ἐποίμαινον. καὶ μετ' ὀλίγον Ἰδοὺ ἐγὼ πρὸς τοὺς ποιμένας, καὶ ἐκζητήσω ἐγὼ τὰ πρόβατά μου ἐκ χειρὸς αὐτῶν καὶ καταπαύσω αὐτοὺς τοῦ ποιμαίνειν τὰ πρόβατά μου, καὶ οὐ ποιμανοῦσιν ἔτι οἱ ποιμένες ἑαυτούς, καὶ ῥύσομαι τὰ πρόβατά μου ἐκ χειρὸς αὐτῶν, καὶ οὐκ ἔσονται αὐτοῖς εἰς κατάβρωμα. καὶ ἐπιφέρει καὶ πρὸς τὸν λαὸν λέγων Ἰδοὺ ἐγὼ κρινῶ ἀνὰ μέσον προβάτου καὶ εἰς πρόβατον, καὶ κριὸν πρὸς κριόν. μὴ μικρὸν * ὑμῖν ὅτι τὴν νομὴν τὴν καλὴν ἐνέμεσθε, καὶ τὰ κατάλοιπα τῆς νομῆς κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν, καὶ τὰ πρόβατα τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἤσθιον; καὶ ἐπιφέρει μετ' ὀλίγα Καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος καὶ ὑμεῖς * πρόβατα, πρόβατα τῆς νομῆς μου· ἄνθρωποί μου ἐστέ, καὶ ἐγὼ θεὸς ὑμῶν, λέγει*
19 *Ἀδωναΐ κύριος. | ἀκούσατε, οἱ ἐπίσκοποι, καὶ ἀκούσατε, οἱ λαϊκοί, ὥς φησιν ὁ θεὸς Κρινῶ κριὸν πρὸς κριόν, καὶ πρόβατον πρὸς πρόβατον· καὶ πρὸς τοὺς ποιμένας λέγει Κριθήσεσθε ἕνεκεν τῆς ἀπειρίας αὐτῶν καὶ τῆς εἰς τὰ πρόβατα διαφορᾶς. τοῦτ' ἔστιν, ἐπίσκοπον πρὸς ἐπίσκοπον κρινῶ καὶ λαϊκὸν πρὸς λαϊκόν, καὶ ἄρχοντα πρὸς ἄρχοντα. λογικὰ γὰρ τὰ πρόβατα καὶ οἱ κριοὶ οὗτοι, ἀλλ' οὐκ ἄλογα· ἵνα μή ποτε εἴπῃ ὁ λαϊκὸς ὅτι Ἐγὼ πρόβατόν εἰμι καὶ οὐ*

1 Ezech 34, 8 | 3 Ezech 34, 10 | 9 Ezech 34, 17—19 | 13 Ezech 34, 30. 31 | 17 Ezech 34, 17

1 *δρυμοῦ* yzt | 1 *καὶ* + yzt | 1 *ἐξεζήτησαν* yzt | 1 *ποιμαίνες* w | 2 *ἐποίμενον* z | 3 *ἐποίμαινῶν* w, *ἐποίμενον* z | 3 *ὀλίγα* yz | 3 *ἰδοὺ* .... 4 *ποιμένας* > w | 5 *τοῦ* wxyt, *τοὺς* z | 6 *ποιμαινοῦσιν* y | 6 *ποιμαίνες* w | 6 *αὐτοὺς* yz | 7 *ῥύσωμαι* t | 8 *καὶ* prius wxt, *εἶτα* yz | 8 *καὶ* alterum > w | 9 *ἐγὼ* > w | 9. 17. 21 *κρινῶι* w | 9 *καὶ* > yzt | 10 *κριὸν* prius wxyzt, *κρινὸν* Z | 10 *ἦν* + yzt | 11 *ἐνέμεσθαι* w | 11 *κατάλυπα* z, *λυπὰ* w | 13 *εἴσθιον* w | 13 *ὀλίγον* w | 14 *γνώσεσθαι* w | 14 *μου* + w | 14 *πρόβατα* prius > yzt | 15 *νομ* ς W | 15 *ἔσταί* w | 16 *ἀδοναΐ* z | 17 *ὧς φησιν* xt, *ἔφη* w, *τί φησιν* yz | 19 *κριθήσεσθαι* wxyzt, correctum iam in editione parisina anni 1618 | 19 *ἀπηρείας* w | 19 *τῆς εἰς* yzt, *στήσει* w, *στήσῃ* x | 20 *διαφθορᾶς* yzt | 20 *ἐστι* W | 23 *εἴπει* w | 23 *λα* w a prima manu, *ικὸς* a correctore recenti in rasura | 23 *καὶ* xyzt, *ἀλλ'* w

*ποιμήν. * ὥσπερ δὲ τῷ καλῷ ποιμένι τὸ μὴ ἀκολουθοῦν πρόβατον λύκοις ἔκκειται εἰς διαφθοράν, οὕτως τῷ πονηρῷ ποιμένι τὸ ἀκολουθοῦν πρόδηλον ἔχει τὸν θάνατον, ὅτι κατατρώξεται αὐτό. διὸ φευκτέον ἀπὸ τῶν φθορέων ποιμένων. |*

20 *τὸν μὲν ποιμένα τὸν ἀγαθὸν ὁ λαϊκὸς τιμάτω, ἀγαπάτω, φοβείσθω ὡς πατέρα, ὡς κύριον, * ὡς ἀρχιερέα θεοῦ, ὡς διδάσκαλον εὐσεβείας· ὁ γὰρ ἀκούων αὐτοῦ χριστοῦ ἀκούει, καὶ ὁ αὐτὸν ἀθετῶν χριστὸν ἀθετεῖ, καὶ ὁ τὸν χριστὸν μὴ δεχόμενος οὐ δέχεται τὸν αὐτοῦ θεὸν καὶ πατέρα. ὁ ὑμῶν γάρ, φησίν, ἀκούων ἐμοῦ ἀκούει, καὶ ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ, καὶ ὁ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με. ὁμοίως * ὁ ἐπίσκοπος ὡς τέκνα τοὺς λαϊκοὺς ἀγαπάτω, θέλγων καὶ θερμαίνων τῇ σπουδῇ τῆς ἀγάπης ὡς ᾠὰ εἰς περιποίησιν νοσσίων, ἢ ὡς νοσσία ἀγκαλιζόμενος εἰς περιποίησιν ὀρνίθων· πάντας νουθετῶν, πᾶσι τοῖς πληκτισμοῦ δεομένοις ἐπιπλήσσων ἀλλὰ μὴ πλήσσων, * ὑποπιέζων εἰς ἐντροπήν, * νουθετῶν εἰς ἐπιστροφήν, ἐπιτιμῶν εἰς διόρθωσιν καὶ εὐθύτητα πορείας· τὸ ἰσχυρὸν φυλάσσων, τοῦτ' ἔστι τὸ ἑδραῖον τῇ πίστει ἀσφαλὲς τηρῶν, τὸν λαὸν εἰρηνικῶς ποιμαίνων, || τὸ ἐνοχλούμενον ἐνισχύων, τοῦτ' ἔστι τὸ πειραζόμενον ἐν τῇ νουθεσίᾳ στερροποιῶν· τὸ ἀρρωστοῦν ἰώμενος, τοῦτ' ἔστι τὸ νοσοῦν ἐκ τῆς πίστεως ἐν διχονοίᾳ διὰ τῆς διδασκα-*

9 Luc 10, 16

1 *καὶ οὐδένα λόγον ἐμαυτοῦ ποιοῦμαι* [*πεποίημαι* t], *ἀλλ' ὁ ποιμὴν ὄψεται καὶ αὐτὸς μόνος εἰσπραχθήσεται τὴν ὑπὲρ ἐμοῦ δίκην* + yzt | 1 *δὲ* wx, *γὰρ* yzt | 1 *ποιμαίνι* w | 1 *τὸ*] *τῶ* w | 1 *ἀκολουθὸν* w | 2 *ἔγκειται* w | 2 *οὕτω* yzt | 3 *ποιμαίνι* w, *ποιμένη* z | 3 *ἀκολουθὼν* w | 4 *κατατρόξεται* z | 4 *αὐτῷ* x | 4 *φευνταίον* w | 4 *φθορέων* xyzt, *φθορ ο ποιῶν* w duabus literis erasis, in margine y *ἀπὸ τῶν φθοροποιῶν ποιμένων* | 5 *μέντοι* yt | 5 *ποιμαίνα* w | 5 *τιμάτω ἀγαπάτω* xyzt, *πειθαρχείτω καὶ* w | 6 *ὡς πατέρα* > t | 6 *ὡς δεσπότην* + yzt | 7 *εὐσεβίας* y | 7 *αὐτοῦ ἀκούων* yzt | 12 *καὶ* + w | 12 *θέλγων* wx, *θάλπων* yzt | 13 *θερμαίνων* wx, *στέργων* yzt | 15 *πᾶσιν* x | 15 *διαπληκτισμοῦ* yz [*ὰ* y] | 15 *ἐπιδεομένοις* t | 16 *μᾶλλον δὲ* + w | 16 *ὑποπιάζων* yz | 16 *ἀλλὰ μὴ εἰς ἀνατροπὴν* + yzt | 17 *καὶ* .... 19 *τηρῶν* > w | 18 *πορέας* z | 18 *φυλάσσον* x | 18 *ἔστιν* xz | 19 *τυρῶν* z | 19 *ποιμένεν* W, *ποιμένειν* w | 20 *ἔστιν* x | 20 fin *τὸν* w | 20 *ἐν* > w | 21 *στερρὸν ποιεῖν* w, *στεροποιόν* x | 21 *ἔστιν* x | 22 *τὸν* [ita etiam z] *νοσοῦντα τῆι πίστει* w | 22 *ἐν διχονοίᾳ* > w

λίας θεραπεύων, τὸ συντετριμμένον καταδεσμῶν, τουτ' ἔστι τὸ πεπλανημένον ἢ τὸ τεθραυσμένον ἢ * κατεαγμένον ἐν * ἁμαρτίαις εἰς χωλείαν ὁδοῦ ἐπιδεσμῶν, διὰ παρακλητικῆς * νουθεσίας, ἐλαφρύνων ἀπὸ παραπτωμάτων καὶ εὔελπιν ποιῶν, * οὕτως ῥωμαλέον ἐν τῇ ἐκκλησίᾳ ἀποκαθίστα, ἐπανάγων ἐν τῇ ποίμνῃ. τὸ ἐξωσμένον ἐπίστρεφε, τουτ' ἔστι τὸ ἐν ἁμαρτίαις γενόμενον καὶ εἰς ἐπιτίμησιν ἐκβεβλημένον μὴ ἐῶν ἔξω διαμένειν, ἀλλὰ προσλαμβανόμενος καὶ ἐπιστρέφων, ἀποκαθίστα ἐν τῇ ποίμνῃ, τουτ' ἔστιν ἐν τῷ λαῷ τῆς ἀμώμου ἐκκλησίας· τὸ δὲ ἀπολωλὸς ἐκζήτει, τουτ' ἔστι τὸ ὑπὸ πλήθους παραπτωμάτων ἑαυτοῦ ἀπελπίσαν τῆς σωτηρίας μὴ ἐάσῃς τελέως ἀπολέσθαι. τὸ ὑπὸ πολλῆς ψύξεως ἢ νωχελίας κάθυπνον γενόμενον καὶ διὰ βαρέος ὕπνου τῆς ἑαυτοῦ ζωῆς ἐπιλαθόμενον καὶ μακρὰν ἀποστατῆσαν τῆς ἰδίας ποίμνης, ὡς καὶ λύκοις περιπεσεῖν βορᾷ, σὺ αναζήτει καὶ νουθετῶν ἐπίστρεφε καὶ νήφειν παρακάλει καὶ ἐλπίδα ὑπόσπειρε, μὴ συγχωρῶν αὐτῷ λέγειν τὸ ὑπὸ τινῶν εἰρημένον ὅτι Τὰ ἀσεβήματα ἡμῶν ἐφ' ἡμῖν, καὶ ἡμεῖς ἐν αὐτοῖς τηκόμεθα, καὶ πῶς ζησόμεθα; εἰ οἷόν τε οὖν, ἰδιοποιείσθω ὁ ἐπίσκοπος τὸ πλημμέλημα, καὶ λεγέτω τῷ ἡμαρτηκότι ὅτι Σὺ μόνον ἐπίστρεψον, κἀγὼ τὸν ὑπὲρ σοῦ θάνατον ἀναδέξομαι, ὡς ὁ κύριος τὸν ὑπὲρ ἐμοῦ καὶ πάντων. ὁ ποιμὴν γὰρ ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ δὲ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστι τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, * καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτά. εἰδέναι

18 Ezech 33, 10 | 23 Ioh 10, 11. 12

1 συντριμμένον z | 1 καταδέννων x | 1 ἐστιν x | 2 ἢ συντεθραυσμένον w | 2 ἢ τὸ κατεαγμένον ἐν > w | 2 τὸ + t | 3 ταῖς + w | 3 εἰς χωλείαν ὁδοῦ > w | 3 χωλίαν x | 3 ἐπιδέννων xt | 4 οὖν + y | 5 καὶ + w | 5 οὕτω yzt | 6 ἐστιν x | 7 ἁμαρτία w | 9 ἐστι W | 10 δὲ > yz | 10 ἐστιν x | 11 ἀπὸ πλῆθος w | 11 ἑαυτοὺς yz | 12 εἰς τέλος w | 13 καὶ [ita etiam t] νωχαλείας yz | 13 βαρέως x | 15 λίκοις z | 15 εἰς βορὰν yzt | 15 σὺ ἀναζήτει xyzt, συναναζήτει w | 17 συνχωρῶν x | 17 ὑπὸ τινῶν > yz | 18 ὑμῶν yz | 18 ἐφ' xyzt, ἐν w | 19 ἐτηκόμεθα yz | 19 οἷόν τε wxyt, οἱ ὄντες z | 20. 21 ἡμαρτικότι w | 22 ὑποδέξομαι z | 22 ὡ Y | 22 ἐμοῦ xyzt, αὐτοῦ w | 23 γὰρ > y | 24 μισθοτὸς w, μησθωτὸς z | 24 ἐστιν x | 25 λύκων W | 25 τουτέστι τὸν διάβολον + yzt | 25 ἀφείησι w, ἀφίησιν x

οὖν προσήκει ὅτι τοῖς ἡμαρτηκόσιν εὔσπλαγχνος ὢν ὁ θεὸς μεθ' ὅρκου μετάνοιαν ἐπηγγείλατο· ὁ δὲ ἁμαρτήσας, καὶ τὴν ἐπαγγελίαν τοῦ θεοῦ τὴν περὶ μετανοίας ἀγνοῶν καὶ τὸ μακρόθυμον καὶ ἀνεξίκακον αὐτοῦ μὴ ἐπιστάμενος, ἔτι μὴν καὶ τὰς ἁγίας γραφὰς τὰς ταύτην κηρυσσούσας οὐ γινώσκων, ἅτε μὴ μεμαθηκὼς παρὰ σοῦ, ὑπὸ ἀνοίας * ἀπόλλυται. * σὺ δὲ ὡς φιλόστοργος ποιμὴν καὶ * σπουδαῖος νομεὺς ἀναζήτει * ἀριθμῶν τὴν ποίμνην· * τὸ λεῖπον ἐκζήτει, ὡς ὁ κύριος ὁ θεὸς ὁ ἀγαθὸς πατὴρ ἡμῶν, ἀποστείλας τὸν ἑαυτοῦ υἱὸν ποιμένα καλὸν καὶ σωτῆρα τὸν διδάσκαλον ἡμῶν Ἰησοῦν, ἐπιτρέψας αὐτῷ ἐᾶσαι τὰ ἐνενήκοντα ἐννέα * ἐπὶ τὰ ὄρη, καὶ πορευθῆναι ἐπὶ τὴν ζήτησιν τοῦ πεπλανημένου, καὶ εὑρόντα ἆραι ἐπὶ τοὺς ἑαυτοῦ ὤμους καὶ φέρειν ἐπὶ τὴν ποίμνην, χαίροντα ἐπὶ τῇ εὑρέσει τοῦ ἀπολωλότος. οὕτως οὖν ὑπήκοος γίνου καὶ σύ, ὦ ἐπίσκοπε, ἐκζητῶν τὸ ἀπολωλός, κατευθύνων τὸ πεπλανημένον, ἐπιστρέφων τὸ ἀφεστός· ἐξουσίαν γὰρ ἔχεις * ἐπιστρέφειν καὶ ἀποστέλλειν τεθραυσμένους ἐν ἀφέσει· διὰ σοῦ ὁ σωτὴρ λέγει τῷ παρειμένῳ ἐν ἁμαρτίαις Ἀφέονταί σου αἱ ἁμαρτίαι, * ἡ πίστις σου σέσωκέν σε, πορεύου εἰς εἰρήνην. εἰρήνη δὲ * ἡ γαληνός ἐστιν τοῦ θεοῦ ἐκκλησία, εἰς ἣν λύων

11 Matth 18, 12 | 17 Luc 4, 19 | 19 Matth 9, 2 | 20 Marc 5, 34

1 ἡμαρτικόσιν z | 2 μετὰ yzt | 3 μετάνοιαν t | 5 κηρύσσοντας w | 6 μαθηκὼς Wxz, μεμαθηκὸς w | 6 ὑπὸ ἀνοίας > Yzt, sed habet y in margine. t in margine ἐν ἄλλω ὑπὸ ἀνοίας | 6 πολλῆς ἐκείνος + w, sed ἐκείνος m. pr. in margine | 7 καὶ σὺ λόγον ὑφέξει ὑπὲρ αὐτοῦ ἕνεκεν τῆς ἀμελείας. ἀλλὰ μὴ τοῦτο γένητε + w | 7 σὺ δὲ > w, σὺ οὖν yz | 7 ὡς + yzt | 7 σπουδέος w | 8 καὶ + yz | 8 σου καὶ + w | 9 ὡς .... λωλότος 15 ita w: καθῶς καὶ ὁ πατὴρ ἡμῶν ὁ ἀγαθὸς κύριος καὶ διδάσκαλος, ἀποστείλας τὸν ἑαυτοῦ υἱὸν ποιμένα καλὸν καὶ σωτῆρα τοῦ κόσμου, ἦλθεν ἐπὶ τὰ ὄρη πορευθῆς, ζητῶν τὸ ἀπολωλὸς, ἐάσας τὰ ἐνενικοντα ἐννέα, καὶ εὑρὼν, ἄρας ἐπὶ [ἐπὶ super versum] τοὺς ἑαυτοῦ ὤμους, ἐπὶ τὴν ποίμνην ἔφερεν, χαρὰν χαίρων ἐπὶ τῆι εὑρεύση αὐτοῦ. diversa punctorum genera virgula expressi | 9 ὁ primum > t | 9 ὁ secundum et tertium xt, καὶ yz | 11 ἐπιστρέψας z | 11 ἐνενίκοντα z | 12 ἐν τῇ ἐρήμῳ καὶ + y | 12 καὶ > y | 14 ἐν τῇ ποίμνῃ yzt | 16. 17 ἐπιστρέφον z | 17 ἀφεστώς wz | 17 τὸ + w | 19 ἀφέωνται yzt | 20 καὶ + y | 20 πίστει w | 20 σέσωκέ yzt | 20 ἠρήνην X | 21 καὶ λιμὴν + t | 21 ἡ post ἐστιν yzt, utroque loco x | 21 γαληνὸς > w | 21 ἐστίν post ἐκκλησία w | 21 θεοῦ wx, χριστοῦ yzt

τοὺς ἡμαρτηκότας ἀποκαθίστα ὑγιεῖς καὶ ἀμώμους, εὐέλπι-
δας, σπουδαίους, ἐργοπόνους ἐν τοῖς ἀγαθοῖς ἔργοις, ὡς
ἔμπειρος καὶ συμπαθὴς ἰατρὸς πάντας ἰώμενος τοὺς ἐν
ἁμαρτίαις πεπλανημένους· Οὐ χρείαν γὰρ ἔχουσιν οἱ ἰσχύ-
οντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· Ἦλθε γὰρ ὁ υἱὸς τοῦ
ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ πεπλανημένον. ἰατρὸς
οὖν ὑπάρχων τῆς ἐκκλησίας τοῦ κυρίου πρόσαγε θερα-
πείαν κατάλληλον ἑκάστῳ τῶν νοσούντων· παντὶ τρόπῳ
θεράπευε, ὑγίαζε, σώους ἀποκαθίστα τῇ ἐκκλησίᾳ. ποί-
μαινε τὸ ποίμνιον μὴ ἐν κράτει μετὰ ἐμπαιγμοῦ ὡς κατε-
ξουσιάζων, ἀλλ' ὡς ποιμὴν χρηστός, τῷ κόλπῳ συνάγων τὰ
21 ἀρνία καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλῶν. | ἔσο δὲ χρη-
στός, ἀγαθός, ἤπιος, * ἀψευδής, μὴ σκληρός, μὴ αὐθάδης,
μὴ ἀπότομος, μὴ ἀλαζών, μὴ ἀνελεής, μὴ τετυφωμένος, μὴ
ἀνθρωπάρεσκος, μὴ δειλός, μὴ δίγνωμος, μὴ ἐμπαίζων τοῖς
ὑπὸ σὲ λαοῖς, μὴ ἀποκρύπτων ἀπ' αὐτῶν τὰ τοῦ θεοῦ νόμιμα
καὶ τοὺς περὶ μετανοίας λόγους, μὴ πρόχειρος πρὸς τὸ ἐξῶσαι
καὶ ἐκβαλεῖν ἀλλὰ ἀσφαλής, μὴ φιλεπιτιμητής, μὴ προπετής,
μὴ παραδεχόμενος κατὰ τινὸς μαρτυρίαν ἄνευ τριῶν * μαρτύ-
ρων, καὶ τούτων ἐὰν ὁ τρόπος ᾖ μεμαρτυρημένος πάλαι, καὶ
εἰ μὴ ἀπὸ ἔχθρας κινούμενος ἢ φθόνου. εἰσὶ γὰρ πολλοὶ ἐπι-
χαιρεσίκακοι, πρόγλωσσοι, τριττὴν γλῶσσαν ἔχοντες, μισά-
δελφοι, ἔργον τιθέμενοι σκορπίζειν τὰ χριστοῦ πρόβατα,
ὧν εἰ παραδέχεσθαι θέλεις τοὺς λόγους ἀκρίτως, διασπε-
ρεῖς σου τὸ ποίμνιον καὶ παραδώσεις λύκοις εἰς κατάβρωμα,
τοῦτ' ἔστι δαίμοσι καὶ πονηροῖς ἀνθρώποις, μᾶλλον δὲ οὐκ *

4 Matth 9, 12 | 5 Luc 19, 10 | 10 Ezech 34, 4 | 12 Isaj 40, 11

1.2 εὔελπεις x | 2 ἐργοπόνους > w | 3 συμπαθεὶς w | 3 πάντων w | 3 ἰῶ zt, ἰῷ y | 3. 4 ἐν ἁμαρτίαις > Yz, habet y in margine, ἐν ἁμαρτίᾳ t | 4 γὰρ χρείαν yzt | 5 ἦλθεν xt | 6 σῶσαι καὶ ζητῆσαι t | 7 ὑπάρχων > z, ὢν yt | 7. 8 θεραπίαν w | 8 παντὶ τρόπῳ cum praecedentibus iungit t | 10 ἐν κράτει wyzt, ἐγκράτει x | 12 δὲ > yz | 13 ἤπιος xyzt, ἐπιηκῆς w | 13 ἄδολος + yzt | 13 ἀψευδείς w | 14 ἀνηλεής yzt | 16 νόμημα x | 18 ἀλλ' yzt | 18 μὴ φιλεπιτιμητής > x | 18 μὴ ante προπετὴς wx, ἢ yz, neutrum t | 19 πιστῶν + Cotelerius | 20 ἐὰν wx, ἂν yzt, ὢν Cotelerius | 20 πάλαι > w | 21 ἀπ' yzt | 21 κινούμενοι yzt | 21 εἰσὶν x | 21. 22 ἐπιχαιρέκακοι yz, ἐπιχαίροντες κακοῖς w | 22 τριττὴν ... ἔχοντες > X, habet x in margine | 24. 25 διασπαρεῖς w | 26 ἔστιν x | 26 δαίμοσιν x | 26 ἀπ + w

ἀνθρώποις ἀλλὰ θηρίοις ἀνθρωποειδέσιν, ἐθνικοῖς καὶ Ἰουδαΐσταῖς καὶ αἱρεσιώταις ἀθέοις. τῷ γὰρ ἐκβληθέντι τῆς ἐκκλησίας εὐθὺς προσπαίζουσιν οἱ λυμεῶνες ὡς λύκοι καὶ ὡς ἀρνοβόρα ἡγοῦνται, κέρδος ἴδιον ἡγούμενοι τὴν ἐκείνου ἀπώλειαν. καὶ γὰρ ὁ τούτων πατὴρ * διάβολος ἀνθρωποκτόνος ἐστίν. καὶ ὁ διὰ τῆς σῆς * ἀκρισίας ἀδίκως ἀφορισθεὶς καὶ ἀθυμίᾳ συσχεθεὶς καὶ ὀλιγοψυχήσας ἢ εἰς ἔθνη ἀποπλανηθήσεται ἢ εἰς αἱρέσεις συμποδισθήσεται, καὶ παντελῶς τῆς ἐκκλησίας καὶ τῆς εἰς θεὸν ἐλπίδος ἀπαλλοτριωθήσεται || καὶ συμποδισθήσεται ὑπὸ ἀσεβείας· καὶ γένῃ ב σὺ τῆς ἐκείνου ἀπωλείας ἔνοχος. οὐ γάρ δίκαιόν ἐστιν, ἕτοιμον μὲν εἶναι ἐκβάλλειν τὸν ἡμαρτηκότα, ὀκνηρὸν δὲ ὑπάρχειν εἰς τὸ προσδέχεσθαι τὸν ἐπιστρέφοντα· καὶ πρόχειρον μὲν εἰς τὸ ἀποκόπτειν, ἀνελεῆ δὲ εἰς τὸ τὸν ἀλγοῦντα ἰᾶσθαι· περὶ γὰρ τῶν τοιούτων λέγει ἡ θεία γραφὴ Οἱ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, ταχινοί εἰσιν τοῦ ἐκχέειν αἷμα· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. ὁδὸς δὲ εἰρήνης ἐστὶν ὁ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ χριστός, ὅς καὶ ἐδίδαξεν ἡμᾶς λέγων Ἄφετε καὶ ἀφεθήσεται ὑμῖν· δίδοτε, καὶ δοθήσεται ὑμῖν, τοῦτ' ἔστι δίδοτε ἄφεσιν ἁμαρτιῶν, καὶ ἀφεθήσεται ὑμῖν τὰ παραπτώματα *· ὡς καὶ διὰ τῆς εὐχῆς ἡμᾶς ἐπαίδευσε λέγειν τὰ πρὸς * θεόν Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,

5 Ioh 8, 44 | 16 Prov 1, 16 | 16 Isaj 59, 7 | 16 Rom 3, 16—18 | 21 Luc 6, 38 | 24 Matth 6, 12

1 ἐθνηκοῖς w | 2 ἐκβληθὲν w, ἐκαληθέντι z | 3 προσπέζουσιν Z, προσπελάζουσιν yzt | 3 λυμαιῶνες x | 3 ὡς > yzt | 4 ἀρνοβόρα wx, ἄρνα βορὰν yzt | 4 ἡγοῦνται wxt, αὐτὸ ποιοῦνται y, sed idem in margine γράφεται καὶ ἡ...., cetera bibliopegi culter abstulit, αὐτὸν ποιοῦνται z | 4. 5 ἐκείνων w | 5 ἀπόλειαν t | 5 ὁ + yz | 5. 6 ἀνθροποκτόνος z | 6 ἐστὶ yzt | 6 οὖν + y | 6 ἀδιακρισίας yz | 8 πλανηθήσεται w | 8 αἵρεσειν Z, αἵρεσιν z, αἵρεσιν y | 8 συμποδισθήσεται wxt, ἐμπεσεῖται yz | 10 συμποδησθήσεται y | 10 γενήσῃ yzt | 11 ἀπολείας wz | 12 ἡμαρτικότα w | 14 ἀνελεεῖ w, ἀνηλεῆ yzt | 16 αὐτὸν x | 16 τρέχουσιν xy | 16 ταχεινοί w | 16 εἰσι yzt | 16 τοῦ xyzt, εἰς τὸ w | 17 ταλαιπορία z | 18 ἐστιν x | 20 ὁ > z | 20 ὑμᾶς w | 21 ἄφεται w | 21 med ὑμῶν w | 21 δότε w | 22 ἐστιν x | 22 δότε w | 23 ὑμῶν + y | 23 ὡς wxt, οὕτω yz | 23 ἐπαίδευσεν x | 24 τὰ prius > yzt | 24 τὸν + yzt

ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. ἐὰν οὖν μὴ ἀφίητε τοῖς ἡμαρτηκόσι, πῶς ὑμεῖς λήψεσθε τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ὑμῶν; οὐχὶ τοὐναντίον ἑαυτὸν δεσμεύεις, λέγων ἀφιέναι καὶ μὴ ἀφιῶν; * τῷ ἑαυτῶν στόματι ἐναντιωθήσεσθε, λέγοντες ἀφιέναι καὶ μὴ ἀφιέντες; γινώσκετε γὰρ ὅτι ὁ τὸν μὴ ἀδικήσαντα ἐκβάλλων ἢ τὸν ἐπιστρέφοντα μὴ προσδεχόμενος φονεύει τὸν ἀδελφὸν αὐτοῦ καὶ αἷμα ἐκχέει ὡς * Κάιν Ἄβελ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ βοῶν πρὸς τὸν θεὸν ἐκζητηθήσεται. Δίκαιος γὰρ ἀδίκως φονευθεὶς ὑπό τινος παρὰ * θεῷ ἐν ἀναπαύσει ἔσται εἰς τὸν αἰῶνα, ὡσαύτως καὶ ὁ ἀδίκως ἀφορισθεὶς ὑπὸ τοῦ ἐπισκόπου. ὁ μέντοι ἐκβάλλων ὡς λοιμὸν τὸν ἀναίτιον, πικρότερος φονέως ὁ τοιοῦτος, οὐκ ἀφορῶν εἰς τὸ τοῦ θεοῦ ἔλεος, οὐδὲ μνημονεύων αὐτοῦ τὴν ἐπὶ τοῖς μετανοοῦσιν ἀγαθοσύνην, οὐδὲ λαμβάνων σκοποὺς τῶν τοιούτων τοὺς ἐκ πλήθους παραπτωμάτων ἐν μετανοίᾳ εἰληφότας ἄφεσιν. διὰ τοῦτο ἰταμώτερος σωματικοῦ φονέως ὁ τὸν ἀναίτιον ἀπορρίπτων. ὡσαύτως καὶ ὁ μὴ προσδεχόμενος τὸν μετανοοῦντα σκορπίζει τὰ τοῦ χριστοῦ, κατ' αὐτοῦ γινόμενος· ὡς γὰρ δίκαιός ἐστιν ὁ θεὸς ἐν τῷ κρίνειν τοὺς ἁμαρτωλούς, οὕτως ἐλεήμων ἐν τῷ προσδέχεσθαι τοὺς ἐπιστρέφοντας· ἔλεος γὰρ καὶ κρίσιν ᾖδεν
22 αὐτῷ * ὁ θεοφιλὴς Δαβίδ. | χρὴ δέ σε, ὦ ἐπίσκοπε, πρὸ ὀφθαλμῶν ἔχειν καὶ τὰ προωδευκότα καὶ ἐμπείρως αὐτοῖς κεχρῆσθαι πρὸς νουθεσίαν τῶν στυπτικῶν ἢ παρακλητικῶν

9 Sap 4, 7 | 21 Psalm 101, 1

2 ἀφίεται w, ἀφίετε x, ἀφῆτε yzt | 2 ἡμαρτικόσι w, ἡμαρτηκόσιν x | 2 λήψεσθαι w | 3 ἡμῶν Z | 3 ἑαυτοὺς δεσμεύετε λέγοντες yzt | 4 ἀφιέντες yzt | 4 οὐ + t | 4 ἑαὐτὸν x, οἰκείῳ w | 4 ἐναντιωθήσεσθαι w | 5 ἀφίοντες x | 5 γινώσκεται w | 5 γὰρ wxt, οὖν yz | 6. 7 δεχόμενος x | 7 φονεὺς τοῦ ἀδελφοῦ αὐτοῦ ἐστὶ t | 7 ἐκχέει αἷμα x | 7 ὁ + w | 8 τὸν ἀδελφὸν yz | 8 αὐτοῦ prius > yzt | 8 βοῶντα x | 8 τὸν > yzt | 9 ἐκδικηθήσεται w | 9 γὰρ wxt, τοίνυν yz | 10 τῶι + w | 11 ἀδίκως wy, διάκως z, ματαίως xt atque ita lemma in margine yz | 11 μὲν t | 12 ἐκβαλλῶν w, ἐκβαλὼν t | 12 ἀνέτιον z | 12 φονέος w | 14 ἀγαθωσύνην y | 15 σκοποὺς τῶν τοιούτων wxt, εἰς νοῦν yz | 16 ἠταμώτερος Z | 17 φονέος w | 17 τὸν wyzt, τῶν x | 17 ἀπορριπων z | 18 τοὺς μετανοοῦντας yzt | 18 σκοπίζει W | 20 ἁμαρτολοὺς y | 21 ἔλεον wyz | 21 ᾖδεν xt, οἶδεν w, ᾄδει yz | 22 καὶ + yz | 22 σε > Yzt, σαι w | 22 ὦ > yzt | 23 προοδευκότα wx, προειληφότα yz

δεομένων λόγων· ἔτι καὶ ἐν τῷ κρίνειν σε δίκαιον * τῷ τοῦ θεοῦ ἐξακολουθεῖν θελήματι, καὶ ἤ θεὸς δικάζει τοὺς ἁμαρτάνοντας καὶ ἐπιστρέφοντας, παραπλησίως καὶ σὲ κρίνειν. ἢ γὰρ οὐχὶ καὶ τὸν * Δαβὶδ ὀλισθήσαντα ὀνειδίσας διὰ τοῦ Νάθαν καὶ εἰπόντα μετανοεῖν εὐθὺς καὶ τοῦ θανάτου λυτροῦται λέγων Θάρσει, οὐ μὴ ἀποθάνῃς; Ἰωνᾶν * μὴ θελήσαντα Νινευίταις κηρύξαι ὑπὸ θαλάσσης καὶ κήτους καταποθῆναι ποιήσας, * εὐξαμένου ἐν * κοιλίᾳ, ἀνήγαγεν ἐκ φθορᾶς Ἅιδου τὴν ζωὴν αὐτοῦ; Ἐζεκίαν πρὸς ὀλίγον τυφωθέντα, * εὐξάμενον * μετὰ δακρύων, ἀφῆκε τοῦ ἐγκλήματος; ἀκούσατε δή, ὦ ἐπίσκοποι, πρὸς τὰ τοιαῦτα ὠφέλιμον * ὑπόδειγμα· γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν βασιλείων καὶ ἐν τῇ δευτέρᾳ τῶν παραλειπομένων τῇ τῶν ἡμερῶν οὕτως Υἱὸς Μανασσῆς, || ἐν τῷ βασιλεύειν αὐτόν δωδεκαετής, καὶ πεντήκοντα * πέντε ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ· καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἐψιβά. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, οὐκ ἀπέσχετο ἀπὸ τῶν βδελυγμάτων τῶν ἐθνῶν ὧν ἐξωλόθρευσε κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ· καὶ ἐπέστρεψε Μανασσῆς καὶ ᾠκοδόμησε τὰ

6 Reg β 12, 13 | 14 Reg δ 21 Paral β 33

1 δίκαιον > w | 1 δεῖ + yz | 2 ἡ yzt, ἥ x, εἰ w | 3 καὶ prius wx, ἢ yzt | 3 κρίνει w | 4 ἢ γὰρ οὐχὶ καὶ > w | 4 γὰρ + w | 4 ὀνειδήσας x | 5 εὐθὺ yz | 6 ἐλυτρώσατο εἰπὼν xyz | 6 ἀποθάνεις xzt | 6 δὲ + yz | 7 κίτους z | 8 πεποίηκε w | 8 καὶ + w | 8 εὐξάμενον yz, in margine ἢ εὐξαμένου y | 8 τῆι + w | 8 ἐκ κοιλίας x | 8/9 φορᾶς x | 9 ᾄδου > yzt | 9 τὴν ζωὴν αὐτοῦ wt et omisso αὐτοῦ x, εἰς ζωήν· ὡσαύτως καὶ yz | 10 καὶ + w | 10 εὐξαμένου w | 10 αὐτοῦ + w | 10 ἀφῆκεν x | 11 δὴ wxy, δῆ z, δὲ t | 11 πρὸς xyzt, πῶς w | 11 ὠφέλημον y | 11 εἰσὶν + w | 12 ἐν > t | 13 τῇ τῶν ἡμερῶν > yz | 13 οὕτως > w in lacuna | 14 υἱὸς .... δωδεκαετής x, μανασσῆς ὁ υἱὸς ἐζεκίου δωδεκαετῆς ἐβασίλευσε w, υἱὸς ἐζεκίου γεγονὼς δώδεκα ἐτῶν μανασσῆς ἐν τῷ βασιλεύειν αὐτὸν yz, καὶ ἀπέθανεν Εζεκίας καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ μανασσῆς ἐτῶν δώδεκα ἐν τῷ βασιλεύειν αὐτὸν t | 15 καὶ > yz | 15 πεντίκοντα w | 15 καὶ + yzt | 16 καὶ ὄνομα x, ὄνομα δὲ w, ὄνομα yz | 16 ἐνσιβά w | 16 καὶ alterum wx, οὗτος y, οὕτως z | 16 ἐποίησεν x | 17 ἐνώπιον xyzt, ἐν ὀφθαλμοῖς w | 17 οὐκ .... βδελυγμάτων xyzt (nisi quod βδελλιγμάτων Z), κατὰ τὰ βδελλύγματα w | 18 ἐξολόθρευσε wyz, ἐξολόθρευσεν x | 18 τῶν alterum > yzt | 19 ἐπέστρεψεν x | 19 ᾠκοδόμησεν x, ὀκοδόμησε z

*ὑψηλά, ἃ κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἔστησε στήλας τῇ Βάαλ καὶ ἀνέστησε θυσιαστήριον * τῇ Βάαλ καὶ ἐποίησεν ἄλση, καθὼς ἐποίησεν Ἀχαὰβ * βασιλεὺς Ἰσραήλ· * καὶ ἐποίησε θυσιαστήρια * τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ᾠκοδόμησε θυσιαστήρια ἐν οἴκῳ κυρίου, ἐν ᾧ εἶπεν κύριος πρὸς Δαβὶδ καὶ πρὸς Σολομῶνα τὸν υἱὸν αὐτοῦ λέγων ὅτι Ἐν αὐτῷ θήσω τὸ ὄνομά μου, * ἔστησε Μανασσῆς θυσιαστήρια, καὶ ἐν αὐτοῖς ἐδούλευσε τῇ Βάαλ, καὶ εἶπεν Ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα· καὶ ᾠκοδόμησε θυσιαστήρια ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καὶ αὐτὸς διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν Γεβανὲ ἐν ὀνόματι, καὶ ἐκληδονίζετο καὶ ἐφαρμακεύετο καὶ ἐποίησεν ἐγγαστριμύθους καὶ ἐπαοιδοὺς καὶ γνώστας καὶ θεραφείμ· καὶ ἐπλήθυνε * τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου τοῦ παροργίσαι αὐτόν· καὶ ἔθηκε τὸ χωνευτήριον καὶ*

1 *κατέσπασεν* xyzt, *κατέστρεψεν* w | 1 *καὶ* .... 2 *Βάαλ* prius > w | 1 *ἔστησεν* x | 2 *ἀνέστησεν* x, *ἐπέστησεν* z | 2 *θυσιαστήριον* ...... 3 *ἐποίησεν* prius > z | 2 *καὶ στήλας* + w | 2 *τῇ* alterum wxt, *τῷ* y | 3 *ἐποίησεν* alterum wxyt, *ἐπέστησεν* z | 3 *ὁ* + w | 4 in margine y tamquam h l inserenda leguntur *καὶ προσεκύνησεν πάσῃ τῃ στρατιᾷ τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν αὐτοῖς* | 4—14 w ita: *καὶ προσεκύνησε πάσῃ τῆι δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐδούλευσεν αὐτοῖς, καὶ ὠκοδώμησε θυσιαστήριον ἐν οἴκωι κυρίου, ἐν ὧ εἶπε κύριος πρὸς δᾱδ καὶ πρὸς σολομῶνα τὸν υἱὸν αὐτοῦ, λέγων, ἐν ἱερουσαλὴμ θήσω τὸ ὄνομά μου ἣν ἐξελεξάμην ἐκ πασῶν φυλῶν ἰσραὴλ καὶ θήσω τὸ ὄνομα μου* [*μου* super versum m. pr.] *ἐκεῖ εἰς τὸν αἰῶνα, καὶ οὐ προσθήσω τοῦ σαλεῦσαι τὸν πόδα ἰσραὴλ, ἀπὸ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν* [*πλὴν ἐὰν φυλάξονται κατὰ πάντα, καὶ ὅσα ἐνετείλατο ὁ δοῦλος μου μωϋσῆς* omissa in textu m. pr. in margine inferiore tamquam h l inserenda leguntur] *καὶ ὠκοδώμησεν μανασσῆς θυσιαστήριον πάσῃ τῆι δυνάμει τοῦ οὐρανοῦ ἐν πάσαις ταῖς αὐλαῖς οἴκου κυρίου, καὶ εἶπεν, ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα, καὶ διήγαγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρί, καὶ ἐκλυδωνίζετο καὶ οἰωνίζετο, καὶ ἐποίησεν ἐνγαστριμύθους καὶ ἐπαοιδοῦς, καὶ γνώστας.* non adsunt verba *καὶ θεραφείμ* | 4 *ἐποίησεν* x | 4 *θυσιαστήρια* .... 5 *ᾠκοδόμησε* > yzt | 4 *πάσῃ* + x | 5 *ὠκοδόμησεν* x | 5 *θυσιαστήριον* y | 5 *εἶπε* t | 6 *σολομῶντα* yz | 7 *καὶ* + t | 7 *ἔστησεν* x | 8 *ἐδούλευσεν* x | 9 *ὀκοδόμησε* z, *ὠκοδόμησεν* x | 10 *οἴκω* z | 11 *διήγαγεν* x | 11. 12 *γεβὰν* yz, *Γεβαναὶ* t | 12 *ἐκληδωνίζετο* t | 13 *ἐνγαστριμύθους* x | 14 *θεραφείν* t, *σεραφειμ* yz | 14 *ἐπλήθυνεν* x, *ἐπλήθηνε* z | 14 *τοῦ ποιῆσαι* + yzt | 15 *παροργῆσαι* wz | 15 *ἔθηκεν* x | 15 *τὸ χωνευτὸν* yzt, *τῶι χονευτήριον* w

τὸ γλυπτὸν τοῦ ἄλσους, τὴν εἰκόνα ἣν ἐποίησεν, ἐν οἴκῳ κυρίου, ἐν ᾧ ἐξελέξατο κύριος θέσθαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ ἐν Ἱερουσαλὴμ τῇ * πόλει εἰς τὸν αἰῶνα, καὶ εἶπεν Οὐ προσθήσω τὸν πόδα μου σαλεῦσαι ἀπὸ τῆς γῆς τοῦ Ἰσραήλ, ἣν δέδωκα τοῖς πατράσιν αὐτῶν, πλὴν ἐὰν φυλάξωνται κατὰ πάντα ὅσα ἐνετειλάμην αὐτοῖς, κατὰ πᾶσαν ἐντολὴν ἣν ἐνετείλατο ὁ δοῦλός μου Μωϋσῆς. καὶ οὐκ ἤκουσαν, καὶ ἐπλάνησεν αὐτοὺς Μανασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου ὑπὲρ τὰ ἔθνη, ἃ ἐξῆρε κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ· καὶ ἐλάλησε κύριος ἐπὶ Μανασσῆν καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ ἐν χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν λέγων Ἀνθ᾽ ὧν ὅσα ἐποίησε Μανασσῆς * βασιλεὺς Ἰούδα τὰ βδελύγματα τὰ πονηρὰ ταῦτα ἀπὸ πάντων ὧν ἐποίησεν ὁ Ἀμορραῖος ἔμπροσθεν αὐτοῦ, καὶ ἐξήμαρτεν τὸν Ἰούδαν ἐν τοῖς εἰδώλοις αὐτοῦ, * τάδε λέγει κύριος ὁ θεὸς Ἰσραὴλ Ἰδοὺ ἐγὼ φέρω κακὰ ἐπὶ Ἱερουσαλὴμ καὶ Ἰούδαν, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ, καὶ ἐκτενῶ ἐπὶ Ἱερουσαλὴμ τὸ μέτρον Σαμαρείας καὶ τὸν σταθμὸν οἴκου Ἀχαάβ, καὶ ἀπαλείψω τὴν Ἱερουσαλήμ, καθὼς ἀπαλείφεται τὸ πυξίον ἀπαλειφόμενον, καὶ καταστρέψω ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἀποδώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου, καὶ παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς διαρπαγὴν καὶ προνομὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν· ἀνθ᾽ ὧν ὅσα ἐποίησαν πονηρὰ ἐν ὀφθαλμοῖς μου, καὶ ἦσαν παροργίζοντές με ἀφ᾽ ἧς ἡμέρας ἐξήγαγον τοὺς πατέρας αὐτῶν ἐκ || γῆς Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας ταύ-

1 ἐποίησε W | 3 ἁγία + yzt | 3 πόληι w | 3 καὶ .... 7 ἤκουσαν > w, vide ad p 43, 4 | 3 εἶπεν > x | 4 σαλεῦσαι (w) yzt, σαλευθῆναι sed in margine tantum x | 5 ἔδωκα yzt | 5 φυλάξονται xZ | 7 μωσῆς yzt | 9 ἐξῆρεν x, ἠφάνησεν w | 10 ἐλάλησεν x | 10 μανασσῆ yzt | 11 ἐν χειρὶ w a correctore? in rasura | 12 ἐποίησεν x | 12 ὁ + yzt | 13 βδελλύγματα wZ | 13 ταῦτα τὰ πονηρά w | 13 ὧν .... 14 ἔμπροσθεν > z | 13 ἐποίησε W | 14 ἀμμοραῖος y | 14 ἐξήμαρτε yzt | 14 τὸν Ἰούδαν xyzt, καίγε ἰούδας w | 15 οὐχ οὕτως + w | 17 ἠχῆσαι zt, ἠχήσω y, ἢ ἠχήσει in margine y | 17. 18 ἐκτενῶι w | 19 ἀπαλήψω w | 19. 20 ἀπαλήφεται w | 20 ἀπαλυφόμενον z | 20 ἐπὶ wyzt, ἀπὸ x | 20/21 προσώπου wx, πρόσωπον yzt | 21 ἀπώσομαι w, ἀπόσομαι W? | 23 προνομὴν καὶ διαρπαγὴν yzt [δι᾽ ἁρπαγὴν t] | 23 πᾶσιν x | 24 ὅσα > w | 24 ἐποίσαν W | 25 μαι w | 26 ἐγύπτου z

*της. καί γε αἷμα ἀθῶον ἐξέχεε Μανασσῆς πολὺ σφόδρα, ἕως οὗ ἔπλησε τὴν Ἱερουσαλὴμ στόμα ἐπὶ στόματι, πλὴν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐξήμαρτε τὸν Ἰούδαν ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. καὶ ἤγαγε κύριος ἐπ' αὐτὸν τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσούρ, καὶ κατελάβοντο τὸν Μανασσῆν ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν * πέδαις χαλκαῖς καὶ ἤγαγον αὐτὸν εἰς Βαβυλῶνα· καὶ ἦν δεδεμένος καὶ κατασεσιδηρωμένος ὅλος ἐν οἴκῳ φυλακῆς, καὶ ἐδίδοτο αὐτῷ ἐκ πιτύρων ἄρτος ἐν σταθμῷ βραχὺς καὶ ὕδωρ σὺν ὄξει ὀλίγον * ὥστε ζῆν αὐτόν, καὶ ἦν συνεχόμενος καὶ ὀδυνώμενος σφόδρα. καὶ ὡς βιαίως ἐθλίβη, ἐζήτησε τὸ πρόσωπον κυρίου τοῦ θεοῦ αὐτοῦ, καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ τῶν πατέρων αὐτοῦ, καὶ προσηύξατο πρὸς κύριον τὸν θεὸν λέγων Κύριε παντοκράτωρ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν, ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου, ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου, ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου, ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου· ὅτι σὺ εἶ κύριος μακρόθυμος, εὔσπλαγχνος, * πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις τῶν ἀνθρώπων· ὅτι σὺ εἶ, ὁ θεός, κατὰ τὴν χρηστότητα τῆς ἀγαθωσύνης σου ἐπηγγείλω μετανοίας * ἄφεσιν τοῖς ἡμαρτηκόσι, καὶ τῷ πλήθει τῶν οἱ-*

1 *ἐξέχεεν* x | 1 *πολὺν* w | 2 *ἔπλησεν* w, *ἐπλήρωσεν* x | 2 *ἐπὶ στόματι* xyzt, *εἰς στόμα* w | 2 *ἀποῦ* z | 3 *ὧν* > z | 3 *ἐξήμαρτεν* xz | 4 *ἤγαγεν* x | 5 *Ἀσοὺρ* t | 6 *κατέλαβον* w | 6 *ἐν δεσμοῖς* > w | 7 *δεσμοῖς καὶ* + w | 8 *ὅλως* z | 9 *πυτήρων* z | 10 *σὺν ὄξει* yzt, *ἐν ὄξει* x, *μετὰ ὄξους* w | 10 *ἐν μέτρω* + yzt | 10 *ζεῖν* x | 11 *ὀδυνόμενος* wz | 12 *ἐζήτησεν* x | 14 *κύριον* > w | 14 *τὸν θεὸν* > t | 15 *παντοκράτορ* t | 16 *σὺν παντὶ* wyzt, *συμπαντὶ* x | 18 *ὁ* ..... p 46, 21 *ἀμὴν* > w, substituens *καὶ τὰ ἑξῆς τῆς εὐχῆς ἃ ὑμεῖς οὐκ ἀγνοεῖτε* | 19 *προστάγματό* y | 21 *τῆς* > xz | 23 *ἀμέτριτον* z | 25 *κύριε* y | 25 *εὔσπλαγχνος μακρόθυμος* yzt | 25 *καὶ* + yz | 25 *καὶ* > x | 26 *εἶ* > yzt | 27 *ἀγαθοσύνης* xzt | 27/28 *μετάνοιαν* yz | 28 *καὶ* + yz | 28 *ἡμαρτηκόσιν* x |

κτισμάτων σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. σὺ οὖν, κύριε ὁ θεὸς τῶν δικαίων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. ἐπλήθυναν αἱ ἀνομίαι μου, * καὶ οὐκέτι εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου, διότι παρώργισα τὸν θυμόν σου καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα στήσας βδελύγματα καὶ πληθύνας προσοχθίσματα. καὶ νῦν κλίνω γόνυ καρδίας *, || δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. ἡμάρτηκα, κύριε, ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω· ἀλλ' αἰτοῦμαι δεόμενός σου Ἄνες μοι, κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι, μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς. ὅτι σὺ εἶ, θεός, θεὸς τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις πᾶσαν τὴν ἀγαθωσύνην σου, ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου· καὶ αἰνέσω σε διὰ παντὸς * πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ ἐπήκουσε τῆς φωνῆς αὐτοῦ κύριος καὶ ᾠκτείρησεν αὐτόν· καὶ ἐγένετο περὶ αὐτὸν φλὸξ πυρός, καὶ ἐτάκησαν πάντα τὰ περὶ αὐτὸν σίδηρα· καὶ ἰάσατο κύριος τὸν Μανασσῆν ἐκ τῆς θλίψεως αὐτοῦ καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ. καὶ ἔγνω Μανασσῆς ὅτι κύριος αὐτός ἐστι * θεὸς μόνος, καὶ ἐλάτρευσε μόνῳ * κυρίῳ τῷ θεῷ · ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ τῇ ψυχῇ αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ ἐλογίσθη δίκαιος· καὶ περιεῖλε τοὺς θεοὺς τοὺς ἀλλοτρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου κυρίου καὶ

3. 4 ἡμαρτηκόσιν x | 6 κύριε ἐπλήθυναν αἱ ἀνομίαι μου + t, solum κύριε + z, si recte se habent quae adnotavi | 8 κατακαπτόμενος z | 8 παρόργισα x | 11 μου + yt | 13 ἀλλ' > yz | 14 καὶ > yz | 16 εἶ > yzt | 17 ἐν x, ἐπ' yzt | 17 δεῖξας z | 17 πᾶσαν > yt | 17 ἀγαθοσύνην xz | 19 ἐνέσω z | 19 ἐν + yzt | 19 πάσαις ταῖς ἡμέραις yzt | 29 ἡ > yz | 21 ἐπήκουσεν x | 22 κύριος ante τῆς 21 yz | 22 ᾤικτειρεν w, οἰκτείρησεν x | 24 ἰάσατο Wxyzt, ἐρρύσατο w | 25 ἀπέστρεψεν yz | 26 ἐστιν Wx | 26 ὁ + x | 27 ἐλάτρευσεν xt | 27 τῶι + w | 27 τῷ θεῷ > w | 28 τῇ > x | 29 περιεῖλεν x | 30 οἴκω Z

πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου κυρίου,
καὶ * ἐν Ἱερουσαλήμ, καὶ ἐξέβαλεν ἔξω τῆς πόλεως· καὶ
κατώρθωσε τὸ θυσιαστήριον κυρίου, καὶ ἐθυσίασεν ἐπ'
αὐτῷ θυσίαν σωτηρίου καὶ αἰνέσεως· καὶ εἶπε Μανασσῆς
τῷ Ἰούδᾳ τοῦ δουλεύειν * κυρίῳ τῷ θεῷ Ἰσραήλ. καὶ ἐκοι-
μήθη ἐν εἰρήνῃ μετὰ τῶν πατέρων αὐτοῦ· * καὶ ἐβασίλευ-
σεν Ἀμὼς ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν
ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησε Μανασσῆς ὁ πα-
τὴρ αὐτοῦ ἐν πρώτοις, καὶ παρώξυνε κύριον τὸν θεὸν αὐ-
τοῦ. ἠκούσατε, τέκνα ποθητὰ ἡμῶν, ὅπως κύριος ὁ θεὸς
τὸν εἰδώλοις προσαναςχόντα καὶ πολλοὺς ἀθώους φονεύ-
σαντα, βραχέως τιμωρησάμενος, μεταγνόντα προσελάβετο,
καὶ ἀφεὶς αὐτῷ τὰ πλημμελήματα ἐπέστρεψεν αὐτὸν ἐπὶ τὴν
βασιλείαν· * οὐ μόνον γὰρ ἀφίησι τοῖς μετανοοῦσιν, ἀλλὰ
23 καὶ εἰς τὴν προτέραν ἀξίαν * αὐτοὺς ἐπανάγει. | μείζων εἰ-
δωλολατρείας οὐκ ἔστιν ἁμαρτία, εἰς θεὸν γάρ ἐστι δυσσέ-
βεια· ἀλλ' ὅμως καὶ αὐτὴ διὰ γνησίας μετανοίας συγκεχώ-
ρηται. ἐὰν δέ τις ἐκ παρατάξεως ἁμαρτάνῃ, πειράζων τὸν
θεὸν ὡς μὴ ἐπεξιόντα τοῖς πονηροῖς, ὁ τοιοῦτος ἄφεσιν οὐχ
ἕξει, κἂν λέγῃ παρ' ἑαυτῷ Ὁσιά μοι γένοιτο, ὅτι πορεύσο-
μαι ἐν τῇ ἀναστροφῇ τῆς καρδίας μου τῆς πονηρᾶς. τοι-
οῦτος γάρ τις ἐγένετο * Ἀμὼς ὁ τοῦ Μανασσῆ υἱός· φησὶ
γὰρ ἡ γραφὴ Καὶ παρελογίσατο Ἀμὼς λογισμὸν παραβά-
σεως κακὸν καὶ εἶπεν Ὁ πατήρ μου πολλὰ παρηνόμησεν ἐκ

20 Deut 29, 19 | 23 apocryphum

1 ὠκοδώμησε W, ὠκοδώμησεν w | 1 ὄρει > yzt | 1 οἴκῳ yzt | 2 πάντα τὰ θυσιαστήρια τὰ + t | 3 ἀνόρθωσεν w, καθώρθωσεν x | 3 κυρίου > t | 3 ἔθυσεν w | 3 ἐπ' xyzt, ἐν w | 4 αὐτὸ yzt, x corr? | 4 αἰνέσεως καὶ σωτήριον w | 4 εἶπεν xy | 5 τῷ + w | 5. 6 ἐκοιμήθησαν z | 6 καὶ ἐτάφη ἐν κήπῳ ὀζά + w | 7 ἀμὼν yzt | 7 ἀντ' αὐτοῦ w ante Ἀμὼς | 7 ἐποίησεν x | 8 ἐνόπιον z | 8 ἐποίησεν x | 9 παρώξυνεν x | 10 ἡμῶν ποθητὰ w | 10 πῶς w | 10 κύριος > w | 11 τὸν wxyz, > t | 12 μεταγνώντα w | 13 ἀπέστρεψεν yz | 13 ἐπὶ wxyz, περὶ t, ἐν ἄλλοις εἰς margo t | 14 αὐτοῦ + yz | 14 ἀφείησι w, ἀφίησιν x | 14 μετανοοῦσι W | 15 τοὺς + xy | 15. 16 εἰδωλολατρίας wyz | 16 ἐστι wyzt, ἐστιν x | 17 αὕτη x | 18 ἁμάρτει w | 18. 19 εἰς θεὸν πειράζων W, πειράζων εἰς θεὸν w | 19 ἐπαξίοντα z | 20 ἕξῃ t | 20 λέγει wx | 22 γάρ wxt, δή yz | 22 καὶ + yzt | 22 ἀμὼν yzt | 22 φησὶν x, λέγει yz | 23 παρελογήσατο w | 23 ἀμὼν yzt | 24 εἶπε w | 24 πολλὰ > w, bis x | 24 παρηνόμησε Wt, παρενόμησε yz | 24 p. 48, 1 ἐκ νεότητος ante πολλὰ 24 yzt

*νεότητος καὶ ἐν γήρᾳ μετέγνω· καὶ νῦν ἐγὼ πορεύσομαι
καθὰ ἐπιθυμεῖ ἡ ψυχή μου, καὶ ὕστερον ἐπιστρέψω πρὸς
κύριον. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου παρὰ πάν-
τας τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ· καὶ ἐξωλόθρευσεν
αὐτὸν κύριος ὁ θεὸς ἐν τάχει ἐκ τῆς γῆς τῆς ἀγαθῆς αὐτοῦ·
καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ καὶ ἐθανάτωσαν αὐτὸν
ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐβασίλευσεν ἔτη δύο μόνα. | προσέ-* 24
*χετε οὖν, οἱ λαϊκοί, μή τις ἐξ ὑμῶν τὸν λογισμὸν τοῦ Ἀμὼς
ἐπὶ τὴν καρδίαν αὐτοῦ στηρίξῃ, καὶ ἔσται σὺν τῷ Ἀμὼς ἀπολ-
λύμενος· ὁμοίως * ὁ ἐπίσκοπος συντηρείτω, καθὸ δύναται,
τοὺς μὴ ἡμαρτηκότας ἀναμαρτήτους μεῖναι, καὶ τοὺς ἀπὸ
ἁμαρτιῶν ἐπιστρέφοντας θεραπεύων δεχέσθω. ἐὰν δὲ * με-
τεγνωκότα ἀνελεὴς ὢν μὴ προσδέξηται, ἁμαρτήσει εἰς κύριον
τὸν θεὸν αὐτοῦ, δικαιῶν ἑαυτὸν ὑπὲρ τὴν ἐκείνου δικαιο-
σύνην καὶ μὴ προσλαμβανόμενος ὃν προσεδέξατο διὰ χριστοῦ,
δι' ὃν ἀπέστειλεν εἰς τὸν κόσμον τὸν υἱὸν αὐτοῦ ἐπὶ * γῆς
τοῖς ἀνθρώποις ὡς ἄνθρωπον, δι' ὃν εὐδόκησεν ἐκ γυναικὸς
αὐτὸν γεννηθῆναι τὸν ποιητὴν ἀνδρὸς * καὶ γυναικός, οὗ χά-
ριν, μὴ φεισάμενος, σταυρῷ καὶ θανάτῳ καὶ ταφῇ συνεχώ-
ρησε παθεῖν τὸν τῇ φύσει ἀπαθῆ, τὸν υἱὸν τὸν ἀγαπητόν, τὸν
θεὸν λόγον, τὸν τῆς μεγάλης αὐτοῦ βουλῆς ἄγγελον, ὅπως
τοὺς ὑποκειμένους θανάτῳ ῥύσηται * θανάτου. τοῦτον
παροργίζουσιν οἱ μὴ προσδεχόμενοι τοὺς μετανοοῦντας. οὔ-
τος γὰρ Ματθαῖον ἐμὲ τελώνην ὄντα τὸ πρότερον οὐκ ἐπῃ-
σχύνθη· καὶ Πέτρον, ἀρνησάμενον αὐτὸν διὰ δέος τρίτον
καὶ διὰ μετανοίας ἐξιλεωσάμενον καὶ προσκλαύσαντα πι-*

20 Isaj 9, 6

3 *ἐποίησεν* x | 3.4 *πάντας* > x | 4 *γινομένους* w | 4 *ἐξολόθρευσεν* wxz | 5 *τῆς* prius > w | 6 *ἐπέθεν* W | 7 *ἐβασίλευσε* W | 8 *ἀμὼν* yzt | 9 *τὴν* > yzt | 9 *στηρήξει* w, *στηρίσῃ* xyz | 9 *σὺν* [σ.. W] *τῶι* [*τῷ* x] *ἀμὼς* wx, *συντόμως* yzt | 10 *καὶ* + wz | 10 *συντηρείτωι* w, *διδασκέτω* yz, sed in margine y *γραφ καὶ συντηρείτω* | 11 *μὴ* > w | 11 *ἀπὸ* wxyt, *ἐπὶ* z | 12 *τὸν* + yzt | 13 *ἀνηλεὴς* yzt | 16 *ἀπέστειλε* yzt | 16 *εἰς τὸν κόσμον* > yzt, post *αὐτοῦ* w | 16 *τῆς* + w, sed *ἐπὶ τῆς γῆς* w ante *τὸν υἱὸν αὐτοῦ* | 18 *γενηθῆναι* t | 18 *τε* + w | 19 *σταυροῦ καὶ θανάτου καὶ ταφῆς* t virgula praecedenti deleta | 19. 20 *συνεχώρησεν* x | 20 *ἀπαθῆι* w | 21 *θεὸν* wxyt, *θεοῦ* z | 22 *θανάτω* xyzt, *θανάτου* w | 22 *τοῦ* + yzt | 22 *θανάτου* xyzt, *θανάτωι* w | 22 *τοῦτον* wxt, *τοίνυν* yz, *γρφ καὶ τοῦτον* margo y | 23 *παροργίζουσι* w | 23 .24 *οὕτως* w | 24 *τὸ* > yzt | 24. 25 *ἐπαισχύνθη* wxyt, *οὐκ ἐπῃσχύνθη καὶ Πέτρον* > z

κρῶς, προσήκατο καὶ ποιμένα τῶν ἰδίων ἀρνίων κατέστησεν· καὶ Παῦλον δὲ τὸν συναπόστολον ἡμῶν, πολλὰ τὸ πρότερον εἰς ἡμᾶς ἐντριψάμενον κακὰ καὶ βλασφημήσαντα εἰς τὸ ὄνομα τὸ ἅγιον, ἀπόστολον ἀντὶ διώκτου προεχειρίσατο, σκεῦος αὐτὸν ἐκλογῆς ἀναδείξας. καὶ ἄλλῃ τινὶ ἁμαρτωλῷ γυναικὶ λέγει Ἀφέωνταί σου αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι ἠγάπησας πολύ. ἑτέραν δέ τινα ἡμαρτηκυῖαν ἔστησαν οἱ πρεσβύτεροι ἔμπροσθεν αὐτοῦ, καὶ ἐπ' αὐτῷ θέμενοι τὴν κρίσιν ἐξῆλθον· ὁ δὲ καρδιογνώστης κύριος, πυθόμενος αὐτῆς εἰ κατέκριναν αὐτὴν οἱ πρεσβύτεροι, καὶ εἰπούσης ὅτι Οὔ, ἔφη πρὸς αὐτὴν Ὕπαγε οὖν, οὐδὲ ἐγώ σε κατακρίνω. τοῦτον τὸν σωτῆρα, * βασιλέα καὶ θεὸν ἡμῶν Ἰησοῦν, ὦ ἐπίσκοποι, σκοπὸν ὑμᾶς ἔχειν δεῖ, * τούτου μιμητὰς εἶναι, πραεῖς *, ἡσυχίους, εὐσπλάγχνους, ἐλεήμονας, εἰρηνικούς, ἀοργήτους, διδακτικούς, ἐπιστρεπτικούς, εἰσδεκτικούς, παρακλητικούς, μὴ πλήκτας, μὴ ὀργίλους, * μὴ ὑβριστάς, μὴ ἀλαζόνας, μὴ ὑπεροπτικούς, μὴ οἰνόφλυγας, μὴ μεθύσους, μὴ εἰκαιοδαπάνους, μὴ τρυφητάς, μὴ πολυδαπάνους, μὴ ὡς ἀλλοτρίοις ἀλλ' ὡς ἰδίοις τοῖς τοῦ θεοῦ δόμασι χρωμένους ὡς καθεστῶτας ἀγαθοὺς οἰκονόμους, ὡς μέλλοντας λόγον ἀπαιτεῖσθαι παρὰ * θεοῦ *. αὐτάρκη ἐχέτω τροφὴν καὶ ἀμφιασμὸν ὁ ἐπίσκοπος τὸν τῇ χρείᾳ καὶ τῇ σεμνότητι προσήκοντα· μὴ τοῖς κυριακοῖς ὡς ἀλλοτρίοις κεχρήσθω, ἀλλὰ μεμετρημένως· ἄξιος γὰρ * ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ

5 Act 9, 15 | 6 Luc 7, 47 | 11 Ioh 8, 11 | 24 Luc 10, 7

1 ἀρνῶν t | 1. 2 κατέστησε yzt | 3 ἐπιτριψάμενον yt, ἐπιστριψάμενον z, ἐνδειξάμενον w | 5 τηνὶ w | 5. 6 γυναικὶ ἁμαρτωλῶι wyz [″ῷ y | 6 ἀφέοντές w, ἀφέονται x | 7 τηνα w | 7 ἡμαρτικυῖαν w | 7 περὶ τῆς μοιχαλίδος, ὅπερ ἐν τῷ κατὰ ἰωάννην εὐαγγελίῳ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις κεῖται margo y | 8 ἔμπροσθεν xy, ἐνώπιον w | 8 αὐτῶι W, αὐτῶ x, αὐτῷ yzt, αὐτὸν w | 9 πυνθανόμενος w | 9. 10 αὐτῆς > w | 11 οὖν super versum y, > z | 12 καὶ + yz | 12 ὦι w | 13 ὑμᾶς > t | 13 καὶ + w | 13 μιμητὰς τούτου w, τούτου μιμητὰς xt, τούτου καταμίμησιν y, τούτου κατὰ μίμησιν z | 14 χρὴ + yz | 14 ἡσιχίους y | 14 εὐσπλάγχους y | 15 ἐπιστρεπτικοὺς εἰσδεκτικοὺς > wz, sed habet w post ὀργίλους 16 | 16 μὴ πλήκτας .... 17 ὑπεροπτικοὺς > z | 19 δόμασιν x | 20 καθεστῶτας post οἰκονόμους yzt | 20 λόγον post ἀπαιτεῖσθαι 21 x, > yzt | 21 τοῦ + yzt | 21 θεῶι w | 21 τὸν λόγον + yzt | 21 αὐτάρκην x | 22 ἀμφηασμὸν w | 24 μεμετριμένως x | 24 ἐστιν + w

ἐστιν. μὴ σπαταλός, μηδὲ πέρπερος, ἀλλὰ μόνων τῶν πρὸς σύστασιν ἐφιέμενος, | τὰ διδόμενα κατ' ἐντολὴν θεοῦ τῶν 25 δεκατῶν καὶ τῶν ἀπαρχῶν ὡς θεοῦ ἄνθρωπος ἀναλισκέτω· τὰ εἰσφερόμενα ἐπὶ προφάσει πενήτων ἑκούσια καλῶς οἰκονομείτω ὀρφανοῖς καὶ χήραις καὶ θλιβομένοις καὶ ξένοις ἀπορουμένοις, ὡς ἔχων θεὸν λογιστευτὴν τούτων τὸν ἐγχειρίσαντα αὐτῷ ταύτην τὴν οἰκονομίαν. πᾶσι δὲ τοῖς δεομένοις μετὰ δικαιοσύνης ἐπιμερίζοντες, καὶ ὑμεῖς αὐτοὶ χρώμενοι ἐκ τῶν κυριακῶν ἀλλὰ μὴ παραχρώμενοι, ἐσθίοντες * ἀλλὰ μὴ κατεσθίοντες αὐτὰ μόνοι, κοινωνοῦντες δὲ τοῖς χρήζουσιν, ἀπρόσκοποι θεῷ γίνεσθε· ἐὰν γὰρ μόνοι αὐτὰ ἀναλώσητε, ὀνειδισθήσεσθε παρὰ θεοῦ λέγοντος ὡς πρὸς ἀπλήστους καὶ μονοφάγους Τὸ γάλα ἐσθίετε καὶ τὰ ἔρια περιβάλλεσθε· καὶ ἐν ἄλλοις Μὴ οἰκήσητε μόνοι ἐπὶ τῆς γῆς; διὸ καὶ ἐν τῷ νόμῳ προστέτακται ἡμῖν Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. καὶ τοῦτο λέγομεν, οὐχ ἵνα μὴ μεταλαμβάνητε ὑμῶν τῶν πόνων (γέγραπται γὰρ Οὐ φιμώσεις βοῦν ἀλοῶντα), ἀλλ' ἵνα μεμετρημένως μετὰ δικαιοσύνης. ὃν τρόπον οὖν ὁ βοῦς, ἐργαζόμενος ἐν τῇ ἅλῳ ἀκήμωτος, ἐσθίει μέν, ἀλλ' οὐ τὸ πᾶν κατεσθίει, οὕτως καὶ ὑμεῖς, ἐργαζόμενοι εἰς τὴν ἅλω, τουτ' ἔστιν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐκ τῆς ἐκκλησίας ἐσθίετε· ὃν τρόπον καὶ οἱ

3 Tim α 6, 11 | 13 Ez 34, 3 | 14 Isaj 5, 8 | 15 Lev 19, 18 | 17 Deut 25, 4

1 ἐστιν > w, ἐστι yzt | 1 σπαταλός wxt, πολυανάλωτος yz | 1 μηδὲ wx, μὴ yzt | 1 μόνον x, μόνοις yz | 1 τῶν wxt, τοῖς yz | 1 προ x | 2 ἐφιέμενος wxt, ἀρκούμενος yz | 2 κατὰ x | 3 καὶ τῶν > w | 4 προφάση z | 4 ἑκουσίως w | 5 χήρες w | 6 ἔχον Y | 6 λογιστὴν yz | 6. 7 ἐγχειρήσαντα w | 7 τὴν > z | 7 δὲ > w, τοίνυν y, τίνυν z | 8 ἐπιμερίζοντες wxt, διανέμοντες yz | 8. 9 χρᾶσθε yz | 9 ἐξ αὐτῶν + yzt | 10 κατεσθίοντες wxt, παραχρᾶσθε yz, sed in margine y γρφ καὶ κατεσθι..., cetera bibliopegi culter abstulit | 10 δὲ wxt, οὖν yz | 11 χρίζουσιν w | 11 θεῷ > y, θεοῦ x | 11 γίνεσθαι Z | 13 κατεσθίετε yzt | 14 ἐν ἄλλοις wxt, ἀλλαχοῦ yz | 14 οἰκήσετε yzt | 15 ἡμῖν > yz, ὑμῖν t | 15 ἀγαπήσης x | 16 σεαυτὸν t | 16 καὶ τοῦτο wxt, ταῦτα y, ταύτα z | 16 μὴ > z | 17 μεταλαμβάνηται x | 18 μεμετριμμένως w, μεμετρημένος z, μεμετριμένως t | 18 μετὰ > z | 19 οὖν wxt, γὰρ yz | 20 ἀκίμωτος wx, ἀφίμωτος yz | 20 οὕτω yzt | 21 ἄλωι w | 21 ἐστι w | 21 εἰς alterum > w | 22 ἐκ wxyzt, ἐκκ X | 22 ἐσθίετε wxt, ἐσθίειν ὀφείλετε yz

Λευῖται οἱ λειτουργοῦντες τῇ σκηνῇ τοῦ μαρτυρίου, ἥτις ἦν τύπος τῆς ἐκκλησίας κατὰ πάντα· προσέτι δὲ καὶ ἐκ τοῦ * ὀνόματος μαρτύριον τῆς ἐκκλησίας ἡ σκηνὴ προωρίζετο. ἐνταῦθα γοῦν * οἱ Λευῖται τῇ σκηνῇ προσεδρεύοντες ἐκ τῶν εἰς τὴν προσφορὰν τοῦ θεοῦ διδομένων ὑπὸ παντὸς τοῦ λαοῦ δώρων καὶ ἀφαιρεμάτων καὶ ἀπαρχῶν καὶ δεκατῶν καὶ θυσιῶν καὶ προσφορῶν μετεῖχον ἀκωλύτως, * αὐτοὶ * καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ καὶ αἱ θυγατέρες αὐτῶν· ἐπειδὴ δὲ τὸ ἔργον αὐτῶν ἦν * λειτουργία τῆς σκηνῆς, διὰ τοῦτο κληροδοσίαν γῆς οὐκ ἔλαβον ἐν τοῖς υἱοῖς Ἰσραήλ, ὅτι αἱ εἰσφοραὶ τοῦ λαοῦ κληροδοσία τοῦ Λευὶ καὶ * κληρονομία τῆς φυλῆς αὐτοῦ. * ὑμεῖς οὖν σήμερον, ὦ ἐπίσκοποι, ἐστὲ τῷ λαῷ ὑμῶν ἱερεῖς Λευῖται, οἱ λειτουργοῦντες τῇ ἱερᾷ σκηνῇ, τῇ ἁγίᾳ * καθολικῇ ἐκκλησίᾳ, καὶ παρεστῶτες τῷ θυσιαστηρίῳ κυρίου τοῦ θεοῦ ἡμῶν καὶ προσάγοντες αὐτῷ τὰς λογικὰς καὶ ἀναιμάκτους θυσίας διὰ Ἰησοῦ * τοῦ μεγάλου ἀρχιερέως. ὑμεῖς τοῖς ἐν ὑμῖν λαϊκοῖς ἐστε προφῆται, ἄρχοντες καὶ ἡγούμενοι καὶ βασιλεῖς, οἱ μεσῖται θεοῦ καὶ τῶν πιστῶν αὐτοῦ, οἱ δοχεῖς τοῦ λόγου καὶ ἀγγελτῆρες, οἱ γνῶσται τῶν γραφῶν καὶ φθόγγοι τοῦ θεοῦ καὶ μάρτυρες τοῦ θελήματος αὐτοῦ, οἱ πάντων τὰς ἁμαρτίας βαστάζοντες καὶ περὶ πάντων ἀπολογούμενοι· οἷς, ὡς ἠκούσατε, ἐμβριθῶς ὁ λόγος ἀπειλεῖ, ἐὰν κρύψητε ἐξ ἀνθρώπων τὴν τῆς γνώσεως κλεῖδα· οἷς κίνδυνος ὀλέθριος, ἐὰν μὴ διαγγείλητε τὸ θέλημα αὐτοῦ τῷ ὑφ᾽ ὑμᾶς λαῷ· οἷς

11 Num 18, 20

1 λυτουργοῦντες z | 1 τῆς σκηνῆς y | 1 ἧτης w | 2 προσέτι δὲ wxt, δῆλον γὰρ yz | 3 καλεῖσθαι αὐτὴν μαρτυρίου σκηνὴν ὅτι ἐξ αὐτοῦ τοῦ + yz | 3 μαρτύριον wxt, τὸ μυστήριον yz | 3 σκηνῆι w | 3 ἡ σκηνὴ > yz | 3 προδιωρίζετο yz | 4 γοῦν wxt, τοίνυν yz | 4 καὶ + yzt | 4 οἱ > t | 4 Λευῖται post προσεδρεύοντες yz | 5 τὴν προσφορὰν wxt, τιμὴν yz | 7 ἀκολύτως wx, ἀκωλύτως > Yz | 7 οὐ μόνον + yz | 7 ἀλλὰ + yz | 8 αἱ οἱ αἱ > yzt | 8 αὐτῶν prius > yz | 8 θυγατέραις wx | 9 δὲ wxt, γὰρ yz | 9 ἡ + w | 11 ἡ + z | 11. 12 κληρονομίαι w | 12 αὐτοῦ wx, αὐτῶν yzt | 12 καὶ + yz | 13 ἐστὲ ante ἱερεῖς y | 13 οἱ > yz | 14 καὶ + w | 15 κυρίου > x | 15 ὑμῶν x | 16 ἀνεμάκτους z | 16 χριστοῦ + yz | 18 καὶ prius > yz | 18 οἱ > yz | 19 οἱ > yz | 20 οἱ > yz | 20 φθόγγοι wxt, κήρυκες yz | 21 οἱ > yz | 22 περὶ wxyt, ὑπὲρ z | 23 κρύψηται w | 24 ὄλεθρος yz

παρὰ θεοῦ μισθὸς ἀψευδὴς καὶ κλέος ἀνεκδιήγητον ἐν δόξῃ, καλῶς λειτουργήσασι τῇ σκηνῇ τῇ ἁγίᾳ. ὡς γὰρ τὸ βάρος ὑμέτερον, οὕτως καὶ τὰς διακονίας τῶν τροφῶν ‖ καὶ τὰς ἄλλας χρείας ὑμεῖς καρποῦσθε. μιμηταὶ γάρ ἐστε χριστοῦ τοῦ κυρίου· καὶ ὡς αὐτὸς πάντων ἡμῶν τὰς ἁμαρτίας ἀνήνεγκεν ἐπὶ τὸ ξύλον, σταυρωθεὶς ὁ ἄμωμος ὑπὲρ τῶν κολάσεως ἀξίων, οὕτως καὶ ὑμᾶς τοῦ λαοῦ τὰς ἁμαρτίας ἐξιδιοποιεῖσθαι χρή· εἴρηται γὰρ περὶ τοῦ σωτῆρος * ἐν Ἡσαΐᾳ ὅτι * Οὗτος τὰς ἁμαρτίας ἡμῶν * φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ πάλιν Αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ τὰς ἀνομίας ἡμῶν παρεδόθη. ὥσπερ οὖν ὑμεῖς σκοποί ἐστε, οὕτω * σκοπὸν ἔχετε τὸν χριστόν· ὡς οὖν αὐτὸς πάντων ὑμῶν, οὕτως * ὑμεῖς τῶν ὑφ' ὑμᾶς λαϊκῶν. μὴ γὰρ νομίζετε ὅτι εὐχερὲς ἢ ἐλαφρὸν φορτίον ἐστὶν ἡ ἐπισκοπή. χρὴ οὖν, ὡς τὸ βάρος φέρετε, οὕτω καὶ τῶν καρπῶν πρώτους μεταλαμβάνειν καὶ τοῖς δεομένοις μεταδιδόναι, ὡς λόγον ὑφέξοντες τῷ ἀπαραλογίστως ὑμᾶς μέλλοντι λογιστεύειν. δεῖ γὰρ τοὺς τῇ ἐκκλησίᾳ προσεδρεύοντας ἐκ τῆς ἐκκλησίας διατρέφεσθαι, ἅτε ἱερεῖς, Λευίτας, προέδρους, λειτουργοὺς θεοῦ· καθὼς ἐν βίβλῳ τῶν ἀριθμῶν γέγραπται περὶ τῶν ἱερέων Καὶ εἶπε κύριος πρὸς Ἀαρὼν Σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκος * πατριᾶς σου ‖ λήψεσθε τὰς ἁμαρτίας τῶν ἁγίων, τῆς ἱερατείας ὑμῶν. ἰδοὺ δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ εἰς γέρας * καὶ τοῖς υἱοῖς σου μετὰ

9 Isaj 53, 4 | 10 Isaj 53, 12 | 21 Num 18, 1. 8—10

3 οὕτω yzt | 4 ἐσταὶ Y | 5 ὡς αὐτὸς wxyz, ὡσαύτως t | 6 τὸ > y, τὸν z virgula post σταυρωθεὶς posita | 6 ἄμωμος xyzt, ἀμνός w | 7 οὕτω yzt | 8 ἡμῶν + w | 9 ὅτι > w | 9 οὗτως w | 9 rasura in w | 10 ἀνήνεγκεν x | 11 ἀνομίας wyzt, ἁμαρτίας x | 11 ἡμῶν wx, αὐτῶν yzt | 11. 12 σκοπίετε z | 12 οὕτωι w, οὕτω yzt, sed t praecipiens verbum primum paginae 29ᵃ in ima pagina 28ᵇ οὕτως habet, οὕτως x | 12 καὶ + yzt | 12 ἔχεται w | 13 ἡμῶν w | 13 οὕτω yzt | 13 καὶ + yzt | 13 ἡμεῖς t | 13 γὰρ > yz | 13. 14 νομεῖ ζεται w, νόμιζε yt | 15 φέρεται w | 15 οὕτωι w, οὕτως xt, οὕτω yz | 15 τὸν καρπὸν W? | 15 πρότους y | 16. 17 ὑφέξοντας y | 17 ad λογιστεύειν refero quod a bibliopego mutilatum in margine y legitur γραφ καὶ κρί....: nam et margo z ad λογιστεύειν adscribit γρ κρίνειν | 18 γὰρ wxt, τοίνυν yz | 21 εἶπεν xyz | 21 σὺ xyzt, σοὶ w | 22 σου + z | 25 τῶν υἱῶν Ἰσραὴλ + Y

σέ, νόμιμον αἰώνιον. καὶ τοῦτο ἔστω ὑμῖν ἀπὸ τῶν ἡγιασμένων, ἐκ τῶν καρπωμάτων καὶ ἀπὸ τῶν δώρων καὶ ἀπὸ * τῶν θυσιῶν καὶ ἀπὸ πάσης πλημμελείας καὶ περὶ ἁμαρτιῶν, καὶ ὅσα ἀποδίδωσί μοι ἀπὸ πάντων τῶν ἁγίων, σοὶ ἔσται καὶ τοῖς υἱοῖς σου ἐν τῷ ἁγίῳ φάγεσθαι αὐτά· καὶ μετ' ὀλίγα Πᾶσα ἀπαρχὴ ἐλαίου καὶ * οἴνου καὶ * σίτου, ὅσα ἂν δῶσι κυρίῳ, σοὶ δέδωκα αὐτά, καὶ τὰ πρωτογενήματα πάντα σοι δέδωκα· καὶ σοὶ ἐρεῖ πᾶν ἀνάθημα· * πρωτότοκον ἀνθρώπου καὶ κτήνους καθαροῦ καὶ ἀκαθάρτου καὶ θυσίας καὶ στηθυνίου καὶ βραχίονος δεξιοῦ τοῖς ἱερεῦσι προσανήκειν καὶ τοῖς λοιποῖς τοῖς παραμένουσιν αὐτοῖς Λευίταις. || ἀκούσατε * ταῦτα καὶ ὑμεῖς, οἱ λαϊκοί, ἡ ἐκλεκτὴ ἐκκλησία τοῦ θεοῦ· καὶ γὰρ ὁ λαὸς πρότερον θεοῦ λαὸς καὶ ἔθνος ἅγιον ὠνομάζετο, καὶ ὑμεῖς οὖν ἐστὲ ἁγία ἱερὰ ἐκκλησία τοῦ θεοῦ * ἀπογεγραμμένη ἐν οὐρανῷ, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, * νύμφη κεκαλλωπισμένη κυρίῳ τῷ θεῷ. ἐκκλησία μεγάλη, ἐκλεκτή, πιστή, ἃ πρότερον ἐρρήθη νῦν ἐνωτίζου· ἀφαιρέματα καὶ δεκάται καὶ ἀπαρχαὶ τῷ ἀρχιερεῖ χριστῷ καὶ τοῖς λειτουργοῦσιν αὐτῷ. δεκάται σωτηρίου ἀρχὴ ὀνόματος Ἰησοῦ. ἄκουε, ἱερὰ καθολικὴ ἐκκλησία, ἡ τὴν δεκάπληγον ἐκπεφευγυῖα καὶ τὴν δεκάλογον εἰληφυῖα καὶ τὸν νόμον μεμαθηκυῖα καὶ τὴν πίστιν κεκρατηκυῖα καὶ ἐπὶ τὸν * Ἰησοῦν πεπιστευκυῖα καὶ τὴν δεκάδα ἐγνωκυῖα καὶ ἐπὶ τῷ ἰῶτα, ὅπερ ἐστὶν ἀρχὴ ὀνόματος Ἰησοῦ, πεπιστευκυῖα καὶ τὸ ὄνομα αὐτοῦ ἐπονομαζομένη καὶ

6 Num 18, 12 | 13 Petr α 2, 9

1 τοῦτω w | 1 ἔσται yzt | 2 καρπομάτων w | 2 καὶ prius .... ἀπὸ alterum > z | 2 πάντων [sic] + yt | 4 ἀποδίδωσί wX, ἀποδίδωσίν x, ἀποδιδόασί yzt | 5 φάγεσθε yzt | 6 δώσει ν x | 8 σοὶ ἐρεῖ wxyz, συνέρρει t | 8 ἀνάθεμα yzt | 8 πᾶν + yzt | 9. 10 στηθηνίου zt | 10 ἱερεῦσιν x | 10 προσήκειν w, προσανήκει t | 11 λυποῖς w | 11 ἀκούετε yzt | 12 λαοικοὶ z | 12 ἐκκλεκτὴ z | 12 ἐκκλησία ἐκλεκτὴ W | 13 ὀνομάζετο w | 14 ἱερὰ > yz | 14 τοῦ θεοῦ ante ἐκκλησία yz, ante ἱερὰ t | 14 καὶ ἱερὰ + yz | 16 κεκαλλοπισμένη y | 17 ἐκλεκτή wx, ἐκκλησία deleta virgula sequenti yzt | 17 ἐρρέθη yzt | 18 ἐνοτίζου z | 18 καὶ alterum > yzt | 19 λυτουργοῦσιν z | 20 καθολικῆι w | 22 καὶ prius xyzt, ἡ w | 22 πίστην yZ | 22 καὶ alterum xyzt, ἡ w | 23 κύριον + w | 23 καὶ alterum .... 25 πεπιστευκυῖα > yzt | 24 καὶ x, ἡ w | 25 ὀνομαζομένη wyz

ἐπὶ τῇ τελειώσει τῆς δόξης αὐτοῦ ἐστηριγμένη *· αἱ τότε θυσίαι νῦν εὐχαὶ καὶ δεήσεις καὶ εὐχαριστίαι· αἱ τότε ἀπαρχαὶ καὶ δεκάται καὶ ἀφαιρέματα καὶ δῶρα νῦν προσφοραί, αἱ διὰ τῶν ὁσίων ἐπισκόπων προσφερόμεναι κυρίῳ τῷ θεῷ διὰ Ἰησοῦ χριστοῦ τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος. οὗτοι γάρ ὑμῶν εἰσιν οἱ ἀρχιερεῖς· οἱ δὲ ἱερεῖς ὑμῶν οἱ πρεσβύτεροι, καὶ οἱ Λευῖται ὑμῶν οἱ νῦν διάκονοι καὶ οἱ ἀναγινώσκοντες ὑμῖν καὶ οἱ ᾠδοὶ καὶ οἱ πυλωροί, αἱ διάκονοι ὑμῶν καὶ αἱ χῆραι καὶ αἱ παρθένοι καὶ οἱ ὀρφανοὶ ὑμῶν. ὁ δὲ τούτων
πάντων ἀνώτερος ὁ ἀρχιερεύς ἐστιν | ὁ ἐπίσκοπος. οὗτος λό- 26
γου διάκονος, γνώσεως * φύλαξ, μεσίτης θεοῦ καὶ ὑμῶν ἐν ταῖς πρὸς αὐτὸν λατρείαις· οὗτος διδάσκαλος εὐσεβείας, οὗτος μετὰ θεὸν πατὴρ ὑμῶν, δι' ὕδατος καὶ πνεύματος ἀναγεννήσας ὑμᾶς εἰς υἱοθεσίαν· οὗτος ἄρχων καὶ ἡγούμενος ὑμῶν· οὗτος ὑμῶν βασιλεὺς καὶ δυνάστης· οὗτος ὑμῶν ἐπίγειος θεὸς μετὰ θεόν, ὃς ὀφείλει τῆς παρ' ὑμῶν τιμῆς ἀπολαύειν. περὶ γὰρ τούτου καὶ τῶν ὁμοίων αὐτοῦ ὁ θεὸς ἔλεγεν Ἐγὼ εἶπα Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες· καὶ * Θεοὺς οὐ κακολογήσεις. ὁ γὰρ ἐπίσκοπος προκαθεζέσθω ὑμῶν ὡς θεοῦ ἀξίᾳ τετιμημένος, ᾗ κρατεῖ τοῦ κλήρου καὶ τοῦ λαοῦ παντὸς ἄρχει. ὁ δὲ διάκονος τούτῳ παριστάσθω * καθάπερ αἱ δυνάμεις τῷ θεῷ, καὶ λειτουργείτω αὐτῷ ἐν πᾶσιν ἀμέμπτως, ὡς ὁ χριστός, ποιῶν ἀφ' ἑαυτοῦ οὐδέν, * τὰ ἀρεστὰ ποιεῖ τῷ πατρὶ πάντοτε. ἡ δὲ διάκονος εἰς τύπον * ἁγίου πνεύματος τετιμήσθω ὑμῖν, μηδὲν ἄνευ τοῦ διακόνου πράτ-

18 Psalm 82, 6 | 18 Exod 22, 27

1 ἐπὶ > w | 1 καὶ λάμπουσα + t | 3 ἀφερέματα z | 5 αὐτῶν xyzt, ἡμῶν w | 6 εἰσιν ὑμῶν yzt | 7 οἱ primum et tertium > xz | 8 ὑμῖν xyz, ὑμῶν w | 8 utrumque οἱ > yz | 9 αἱ wxyt, ἐ z | 9 τούτων xyzt, τῶν w | 10 ἐστί t | 10 οὗτως W | 11 γνώσεως wyzt, λόγου x | 11 πίστεως + w | 11 ἐν .... 13 ὑμῶν > w | 14 ἄρχωμ t | 16 μετὰ θεόν > z | 16. 17 ἀπολάβειν w | 17 γὰρ > w | 17 αὐτοῦ wx, αὐτῷ yz, αὐτῶν t | 17 ἔλεγε W | 18 εἶπον xy (y in marginali lemmate εἶπα) z | 18 ἀλλαχοῦ + yz | 19 γὰρ wxt, οὖν yz | 20 η in τετιμημένος x a correct | 20 ᾗ ... 21 ἄρχει > w | 21 τούτῳ > w | 21 τοῦτο + w | 21 καθάπερ .... 22 θεῷ wx, ὡς ὁ χριστὸς τῷ πατρί yzt, sed margo y praemisso καὶ ut wx | 22 ἀμέμπτως ἐν πᾶσιν w | 22. 23 ἀμέπτως z | 23 ὡς xyzt, καθὼς w | 23 ἀφ' ἑαυτοῦ ποιῶν yzt | 23 ἀλλὰ + w | 24 τίπον z | 24 τοῦ + t | 25 τετιμείσθω x, τετιμίσθω z

τουσα ἢ φθεγγομένη, ὡς οὐδὲ ὁ παράκλητος ἀφ' ἑαυτοῦ τι ποιεῖ ἢ λαλεῖ, ἀλλὰ δοξάζων τὸν χριστὸν περιμένει τὸ ἐκείνου θέλημα. καὶ ὡς οὐκ ἔστιν εἰς τὸν χριστὸν πιστεῦσαι ἄνευ τῆς τοῦ πνεύματος διδασκαλίας, οὕτως ἄνευ τῆς διακόνου μηδεμία προσίτω γυνὴ τῷ διακόνῳ ἢ τῷ ἐπισκόπῳ. οἱ δὲ πρεσβύτεροι εἰς τύπον ἡμῶν τῶν ἀποστόλων ὑμῖν νενομίσθωσαν· διδάσκαλοι ἔστωσαν θεογνωσίας, ἐπειδὴ καὶ ὁ κύριος ἡμᾶς ἀποστέλλων ἔλεγεν Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. αἵ τε χῆραι καὶ * ὀρφανοὶ ὑμῶν εἰς τύπον τοῦ θυσιαστηρίου λελογίσθωσαν ὑμῖν. αἵ τε παρθένοι εἰς τύπον τοῦ θυμιατηρίου τετιμήσθωσαν
27 καὶ τοῦ θυμιάματος. | ὡς οὖν οὐκ ἦν ἐξὸν ἀλλογενῆ, μὴ ὄντα Λευίτην, προσενέγκαι τι ἢ προσελθεῖν εἰς τὸ θυσιαστήριον ἄνευ τοῦ ἱερέως, οὕτως καὶ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου μηδὲν ποιεῖτε *. εἰ δέ τις ἄνευ τοῦ ἐπισκόπου ποιεῖ τι, εἰς μάτην ποιεῖ αὐτό· οὐ γὰρ αὐτῷ εἰς ἔργον λογισθήσεται. ὡς γὰρ ὁ Σαούλ, ἄνευ τοῦ Σαμουὴλ προσενέγκας, ἤκουσεν ὅτι Μεματαίωταί σοι, οὕτως καὶ πᾶς λαϊκός, ἄνευ τοῦ ἱερέως ἐπιτελῶν τι, ματαιοπονεῖ. καὶ ὡς Ὀζίας ὁ βασιλεύς, οὐκ ὢν ἱερεὺς τὰ τῶν ἱερέων ἐπιτελῶν, ἐλεπρώθη διὰ παρανομίαν, οὕτως καὶ πᾶς λαϊκὸς οὐκ ἀτιμώρητος ἔσται, καταφρονήσας * θεοῦ καὶ τῶν αὐτοῦ καταμανεὶς ἱερέων καὶ τὴν τιμὴν ἁρπάσας ἑαυτῷ, * οὐ μιμησάμενος τὸν χριστόν, ὃς οὐχ ἑαυτὸν

8 Matth 28, 19. 20 | 19 Reg α 13, 13

I. 2 ποιεῖ τι w | 2 λαλεῖ ἢ ποιεῖ yzt | 2 χριστὸν xyzt, υἱὸν w | 3 πιστεῦσαι wxyt, πιστεύων σαι z | 6 δὲ wx, τε yzt | 6 τύπων z | 6. 7 νενομείσθωσαν x | 7 θεο γνωσίας w, erasa una litera | 8 ἔλεγε yzt | 8. 9 μαθυτεύσατε z | 9 βαπτίζον w | 12 οἱ + x | 12 ὑμῶν > yzt | 12 λελογείσθωσαν x, λελωγίσθωσαν z | 12. 13 ὑμῖν λελογίσθωσαν w | 13 τε xyzt, δὲ w | 13 θυματηρίου ... 14 τοῦ > x | 13 θυσιαστηρίου wyz | 13 τετιμήσθωσαν post θυμιάματος 14 w | 14 ὡς ... 16 ἐπισκόπου > w | 14 οὖν > x | 15 προσενένκαι x | 16 ἐπισκόπου yzt, ἱερέως x | 16 οὕτω yzt | 17 ποιεῖτε ... ἐπισκόπου > z | 17 ἄνευ τοῦ ἱερέως + w | 17 τι — 18 ποιεῖ bis z 19 ὅτι > x | 20 οὕτω yzt | 20 λαοικὸς Z | 21 μάταια πονεῖ yzt | 21 ὁ ζίας w | 23 οὕτωι w, οὕτω yzt | 23 ἀτημώρητος t | 24 τοῦ + w | 25 καὶ + w | 25 οὐ w, μὴ yzt, neutrum x | 25 μημισάμενος wx, μημησάμενος z | 25 τὸν > yzt

ἐδόξασεν γενηθῆναι ἀρχιερεύς, ἀλλὰ περιέμενεν ἀκοῦσαι τοῦ πατρὸς Ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. εἰ οὖν ἄνευ τοῦ πατρὸς ὁ ἱερεὺς οὐ δοξάζει ἑαυτόν, πῶς οἷόν τε ἄνθρωπον ἑαυτὸν εἰς ἱερωσύνην ἐπιρρίπτειν, μὴ λαβόντα τὸ ἀξίωμα παρὰ κρείττονος, καὶ ποιεῖν ἐκεῖνα ἃ μόνοις τοῖς ἱερεῦσιν ἔξεστιν; ἢ * οὐχὶ * οἱ Κορεῖται, καίτοι τῆς Λευὶ φυλῆς ὄντες, πυρίκαυστοι ἐγένοντο, ἐπαναστάντες Μωσῇ καὶ Ἀαρὼν καὶ περὶ τῶν μὴ καθηκόντων αὐτοῖς ἁμιλλώμενοι; καὶ Δαθὰν * καὶ Ἀβειρὼν ζῶντες κατέβησαν εἰς ᾅδου, καὶ ῥάβδος βλαστήσασα ἔστειλε τῶν πολλῶν τὴν ἄνοιαν καὶ τὸν ὑπὸ θεοῦ χειροτονηθέντα ἀρχιερέα ἀνέδειξε; || προσήκει οὖν καὶ ὑμᾶς, ꝑ ἀδελφοί, τὰς θυσίας ὑμῶν ἤτοι προσφορὰς τῷ ἐπισκόπῳ προσφέρειν ὡς ἀρχιερεῖ, ἢ δι' ἑαυτῶν ἢ διὰ τῶν διακόνων. οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας καὶ τὰ ἑκούσια αὐτῷ προσάγετε· αὐτὸς γὰρ γινώσκει σαφῶς τοὺς θλιβομένους καὶ ἑκάστῳ δίδωσι πρὸς τὸ ἁρμόζον, ὅπως μὴ δὶς ἢ πλειστάκις τῇ αὐτῇ ἡμέρᾳ ἢ τῇ αὐτῇ ἑβδομάδι λαμβάνῃ *, ἕτερος δὲ μηδὲ ὅλως· δίκαιον γάρ ἐστι μᾶλλον τοῖς θλιβομένοις κατὰ ἀλήθειαν ἐπαρκεῖν, ἢ τοῖς νομιζομένοις ἢ ἐπιφημιζομένοις θλίβεσθαι. | τοῖς εἰς ἀγάπην ἤτοι δοχήν, 28
ὡς ὁ κύριος ὠνόμασε, προαιρουμένοις * πρεσβυτέραν, ἣν ἐπίστανται οἱ διάκονοι θλιβομένην, αὐτὴν πλειστάκις πεμπέτωσαν. ἀφοριζέσθω δὲ ἐν τῇ δοχῇ τὸ τῷ ποιμένι ἔθιμον,

2 Psalm 110, 4 | 21 Luc 14, 13

1 ἐδόξασε yzt | 1 γεννηθῆναι yz | 1 περιέμεινεν yzt | 2 ὅμοσεν x, ὤμοσεν X, ὤμωσε zt | 4 ἱερεὺς wx, χριστὸς yzt | 5 ἱεροσύνην w | 5 ἐπιρριπτεῖν t | 5 ἀξίομα x | 6 κρίττονος w | 6 ποιεῖ x | 7 γὰρ + z | 7 καὶ + yz | 7 κορῖται wxyz | 8 μωσεῖ xt | 9 διαμιλλισάμενοι y, διαμιλλόμενοι margo y, διαμιλλησάμενοι z | 9 καὶ prius .... 10 κατέβησαν > z | 9 δὲ + y | 10 ἀβΐρὼν w | 11 ἔστειλεν x | 12 ἀνέδειξεν x | 15 δὲ > w | 15 καὶ τὰ > w | 16 ἑκουσίως w | 16 προσάγεται w | 16 σαφῶς > t, ante γινώσκει xyz | 17 θληβομένους w | 18 δεὶς w | 18 πληστάκις w | 18 ἑβδομάδαΐ z | 18. 19 λαμβάνει w | 19 εἷς + y super versum | 19 μηδ' yz, οὐδὲ t | 19 ἐστιν x | 20 θληβομένοις yz | 20 κατ' yzt | 21 ἢ ἐπιφιζομένοις W, ἢ ἐπιφιμΐζομένοις w, ἢ ἐπιφηζομένοις x, > t | 22 ὀνόμασε wy, ὠνόμασεν x | 22 πραιρουμένοις y | 22 καλεῖν + yt, καλὴν + z | 22 πρεσβυτέρας yzt, sed margo y γρ καὶ πρεσβυτέραν | 23 αὐτῇ t | 24 ποιμένῃ wx | 24 ἐθίμιον t

λέγω δὲ τὸ τῆς ἀπαρχῆς, ὡς ἱερεῖ, κἂν μὴ παρῇ τῇ δοχῇ, εἰς τιμὴν θεοῦ τοῦ τὴν ἱερατείαν αὐτῷ ἐγχειρίσαντος. ὅσον δὲ ἑκάστῃ τῶν πρεσβυτίδων δίδοται, διπλοῦν διδόσθω τοῖς διακόνοις εἰς γέρας τοῦ χριστοῦ. τοῖς δὲ πρεσβυτέροις, ὡς ἂν κάμνουσι περὶ τὸν τῆς διακονίας λόγον *, διπλῇ καὶ αὐτοῖς ἀφοριζέσθω ἡ μοῖρα εἰς χάριν τῶν τοῦ κυρίου ἀποστόλων, ὧν καὶ τὸν τόπον * φυλάσσουσιν ὡς σύμβουλοι τοῦ ἐπισκόπου καὶ τῆς ἐκκλησίας στέφανος· ἔστι γὰρ συνέδριον καὶ βουλὴ τῆς ἐκκλησίας. εἰ δὲ καὶ ἀναγνώστης ἐστί, λαμβανέτω καὶ αὐτὸς μοῖραν μίαν εἰς τιμὴν τῶν προφητῶν. ὡσαύτως καὶ ψαλτῳδὸς καὶ πυλωρός. ἑκάστῳ οὖν ἀξιώματι οἱ λαϊκοὶ τὴν προσήκουσαν τιμὴν νεμέτωσαν * τοῖς δόμασι καὶ τῇ κατὰ τὸν βίον ἐντροπῇ. μὴ ῥαδίως δὲ ἐνοχλείτωσαν τῷ ἄρχοντι, ἀλλὰ διὰ τῶν ὑπηρετῶν ἃ βούλονται σημαινέτωσαν, τοῦτ' ἔστι διὰ τῶν διακόνων, πρὸς οὓς πλείω παρρησιαζέσθωσαν· οὐδὲ γὰρ τῷ παντοκράτορι θεῷ προσελθεῖν ἔστιν, ἐὰν μὴ διὰ τοῦ κυρίου. οὕτως οὖν καὶ οἱ λαϊκοὶ πάντα ὅσα * βούλονται διὰ τοῦ διακόνου φανερὰ τῷ ἐπισκόπῳ ποιείτωσαν, καὶ οὕτως κατὰ τὸ δοκοῦν ἐκείνῳ ἐπιτελείτωσαν· οὐδὲ γὰρ πρότερον ἐν τῷ ἱερῷ ἁγιάσματι προσεφέρετό τι ἢ ἐγίνετο ἄνευ τοῦ ἱερέως. χείλη γὰρ ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ τοῦ στόματος αὐτοῦ *, φησὶν * Ἀγγαῖος ὁ προφήτης *. εἰ γὰρ * οἱ

21 Malach 2, 7

1 δὴ w | 2 τημὴν z | 2 ἐγχειρήσαντος x | 3 διδώσθω w | 4 τοῦ > yzt | 5 κάμνουσιν x, κάμνωσι wt | 5 διακονίας wx, διδασκαλίας yzt | 5 διηνεκῶς + Cotelerius | 6 ad ἀφοριζέσθω in margine w manu recenti ἢ ε....θ.. adscriptum | 6 χάριτα x | 7 ὧν wxt, οἳ yz | 7 αὐτῶν + yz | 7 ὡς wxyt, ὃ z | 8 τῆς xyzt, τοῖς w | 8 στέφανοι w | 8 ἔστιν x, εἰσὶ yzt | 8 συνέδροιν t | 9 ἐστὶν x | 12 λαοικοὶ z | 12 προσήκοναν y | 12 ἐν + yzt | 12 δώμασι w, δόμασιν x | 13 κὰ τον X | 13 ἐντρωπῇ z | 13 μήρασδίωσδε ἐνωχλείτωσαν z | 15 ἐστιν x | 15 πλείωι w, πλέον yzt | 17 ἐστι W | 17 κυρίου wx, χριστοῦ yzt | 18 ἂν + w | 18 φανερὸν xyz | 19 οὕτω yzt | 20 ἐπικαλείτωσαν z | 20 ἁγιάσματι wy, ἁγίασμάτι x, ἁγίασμά τι t, de z [=t?] nihil adnotatum habeo | 21 προσφέρετό y, πρὸς φέρετό z | 21 τι post ἐγίνετο x, neutro loco zt | 22 φυλάξουσι w | 22 τοῦ > x | 23 rasura x | 23 φησί yzt | 23 που + yt, ποι + z | 23 ἀγγέος x, > t | 23 ὅτι ἄγγελος κυρίου παντοκράτορός ἐστιν + t | 23 καὶ + yzt

τῶν δαιμόνων θεραπευταὶ ἐν τοῖς βδελυκτοῖς καὶ μυσαροῖς καὶ
ἀκαθάρτοις προσοχθίσμασιν αὐτῶν ἄχρι τοῦ δεῦρο τὰ ἅγια
μιμοῦνται, (καὶ μακρὰν μὲν ἐπὶ συγκρίσεως τὸ βδέλυγμα
κεχωρίσθω τῶν ἁγίων· πλὴν || ἐν τοῖς ἐμπαίγμασιν αὐτῶν
ἄνευ τοῦ μιερέως οὐδὲν προσφέρουσιν οὐδὲ ἐπιτελοῦσιν,
ἀλλὰ στόμα νομίζουσι τῶν λίθων τὸν μιερέα, περιμένον-
τες τί προστάξει ποιεῖν αὐτοῖς, καὶ πάντα ἃ ἂν προστάξῃ
αὐτοῖς, ἐκεῖνα * ἐπιτελοῦσι καὶ ἄνευ αὐτοῦ ποιοῦσιν οὐδὲν
καὶ τιμῶσιν αὐτὸν τὸν μιερέα καὶ σεπτὸν αὐτοῦ ἡγοῦνται τὸ
ὄνομα εἰς τιμὴν τῶν ἀψύχων ξοάνων καὶ εἰς λατρείαν τῶν
πονηρῶν πνευμάτων) εἰ οὖν ἐκεῖνοι, μάταια καὶ ἐψευσμένα
δοξάζοντες καὶ ἐπ' οὐδενὶ βεβαίῳ ἔχοντες τὴν ἑαυτῶν ἐλ-
πίδα, ἐπιτηδεύουσι μιμεῖσθαι τὰ ἅγια, πόσῳ δίκαιον ὑμᾶς,
τοὺς τὴν φανοτάτην πίστιν καὶ ἀψευδῆ ἐλπίδα ἔχοντας καὶ
ἔνδοξον καὶ αἰώνιον καὶ ἀδιάπτωτον ἐπαγγελίαν ἀπεκδεχο-
μένους, τιμᾶν διὰ τῶν προεστώτων κύριον τὸν θεόν, ἡγου-
μένους στόμα εἶναι θεοῦ τοὺς ἐπισκόπους; | εἰ γὰρ Ἀαρών, 29
ἐπειδὴ ἤγγελλε τῷ * Φαραὼ παρὰ Μωσέως τοὺς λόγους, προ-
φήτης εἴρηται, Μωσῆς δὲ θεὸς τοῦ Φαραὼ ὡς βασιλεὺς * καὶ
ἀρχιερεύς, ὥς φησιν ὁ θεὸς πρὸς αὐτὸν Θεόν τέθεικά σε τῷ
Φαραώ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔστω σου προφήτης, διὰ
τί μὴ καὶ ὑμεῖς τοὺς μεσίτας ὑμῶν τοῦ λόγου προφήτας εἶ-
ναι νομίσητε καὶ ὡς θεοὺς σεβασθήσεσθε; | νῦν γὰρ ὑμῖν 30

20 Exod 7, 1

1 μυσαροῖς καὶ βδελυκτοῖς yzt, sed βδελλυ″ z | 3 βδέλλυγμα w | 4 κε-χωρείσθω x | 5 μηερέως t, ἱερέως w | 5 προσφέρουσι W | 5 ἐπιτελοῦσι W | 6 τῶν λίθων Wxyzt, τὸν λίθον w | 6 μηερέα t, ἱερέα w | 6 περι-μένοντες ..... 9 μιερέα > w | 7 fin προστάξει z | 8 ἐκεῖνα > z | 8 καὶ + x | 8 ἐπιτελοῦσιν x | 8 ποιοῦσι y | 8 οὐθὲν yzt | 9 αὐτὸν xt, αὐ-τῶν yz | 9 μηερέα t | 11 ψευσμένα W, διεψευσμένα yzt | 12 βεβαίαν w | 12 τὴν ἑαυτῶν Y ante καὶ | 13 ἡμᾶς W? | 14 τὴν > yzt | 14 φανωτά-την w | 14 πίστην Y | 14 ἀψευδῆι w | 14. 15 καὶ ἔνδοξον καὶ αἰώνιον > Yz, sed adscriptum in margine y | 15 ἐπαγγελείαν w | 16 προεστό-των w | 16. 17 ἡγούμενοι xyzt | 17 θεοῦ εἶναι yzt | 17 γὰρ wxt, οὖν yz | 18 ἐπιδεὶ x | 18 ἤγγελε w, ἤγγελλεν x, ἤγγειλλε yz, ἤγγειλε t | 18 rasura x | 18 φαραῶι w | 18 μωϋσέως w | 18 τοὺς ante παρὰ yz | 19 μωϋσῆς w | 19 ὡς .... 20 ἀρχιερεύς > Yz, habet y in margine | 19 ὁμοῦ + t | 20 φη W, φησιν wxyzt | 20 τέθηκά wt | 21 φαραῶι w | 21 ἔσται yzt | 23 νομήσειτε w, νομίσετε yz | 23 νῦν xyzt, ἔστω w | 23 γὰρ wxt, οὖν yz | 23 ὑμῖν > yz

μὲν ὁ Ἀαρών ἐστιν ὁ διάκονος, Μωϋσῆς δὲ ὁ ἐπίσκοπος· εἰ
οὖν ἐρρήθη Μωυσῆς ὑπὸ κυρίου θεός, * καὶ ὑμῖν ὁ ἐπίσκο-
πος εἰς θεὸν τετιμήσθω καὶ ὁ διάκονος ὡς προφήτης αὐτοῦ.
ὡς γὰρ ὁ χριστὸς ἄνευ τοῦ πατρὸς οὐδὲν ποιεῖ, οὕτως οὐδὲ
ὁ διάκονος ἄνευ τοῦ ἐπισκόπου· καὶ ὥσπερ * υἱὸς ἄνευ τοῦ
πατρὸς οὐκ ἔστιν, οὕτως οὐδὲ διάκονος ἄνευ τοῦ ἐπισκό-
που· καὶ ὥσπερ ὑπόχρεος * υἱὸς πατρί, οὕτως καὶ πᾶς διάκο-
νος ἐπισκόπῳ· καὶ ὥσπερ ὁ υἱὸς ἄγγελός ἐστι καὶ προφήτης
τοῦ πατρός, οὕτως καὶ ὁ διάκονος ἄγγελός ἐστι καὶ προφήτης
τοῦ ἐπισκόπου. διὸ καὶ πάντα τὰ ἐπιτελούμενα ὑπ' αὐτοῦ
εἰς τινὰ ἐμφανῆ τῷ ἐπισκόπῳ γινέσθω καὶ δι' αὐτοῦ τε-
31 λειούσθω, | μηδὲν δὲ ποιείτω τὸ σύνολον * ἄνευ τοῦ ἐπισκό-
που μηδέ τινι διδότω τι ἄνευ τῆς ἐκείνου γνώμης. ἐὰν γὰρ
ὡς θλιβομένου τινὸς λάθρα τοῦ ἐπισκόπου διδότω τινι *, εἰς
λοιδορίαν τοῦ ἐπισκόπου δώσει, καὶ διαβάλλει αὐτὸν ὡς ἀμε-
λοῦντα τῶν θλιβομένων. ὁ δὲ ἐπίσκοπον ἢ λόγῳ ἢ ἔργῳ
κακολογῶν θεῷ προσπταίει, οὐκ ἀκούσας τοῦ εἰπόντος Θεοὺς
οὐ κακολογήσεις· οὐ γὰρ περὶ λίθων ἢ ξύλων προσοχθισμά-
των ἐνομοθέτει, βδελυκτῶν * διὰ τὴν ψευδωνυμίαν, ἀλλὰ
περὶ τῶν ἱερέων καὶ τῶν κριτῶν, οἷς καὶ εἶπεν ὅτι Θεοί ἐστε
32 καὶ υἱοὶ ὑψίστου. | εἰ οὖν γινώσκεις, ὦ διάκονε, θλιβόμενόν
τινα, ὑπομνήσας τὸν ἐπίσκοπον, οὕτως δίδου· ἀλλὰ μὴ λα-
θραίως εἰς λοιδορίαν αὐτοῦ τι ἐπιτέλει, ἵνα μὴ καταγογ-
γυσμὸν ἐγείρῃς κατ' αὐτοῦ. οὐ γὰρ κατ' αὐτοῦ ὁ γογγυσμὸς

17 Exod 22, 27 | 20 Psalm 82, 6

1 ὁ ἀαρὼν μέν yz | 1 ὁ primum > w | 1 ἐστιν > w | 1 μωσῆς x | 2 ἐρήθη w, ἐρρέθη yzt | 2 μωϋσῆς wyzt, ὑμῖν x | 2 καὶ ὁ ἀαρὼν προφήτης + yz, nisi quod ὁ non habet z | 3 τετιμίσθω w, τετιμείσθω x | 5 καὶ > w | 5 ὁ + z | 6 οὐδὲ wxyt, καὶ ὁ z | 7 ὑπόχρεώς yzt | 7 ἐστιν + yz | 7 οὕτωι w, οὕτω yzt | 8 ὁ > w | 8 ἐστιν x | 9 οὕτωι w, οὕτω yz | 9 καὶ prius > x | 9 ἐστιν x, ἐστὶ post προφήτης yzt | 11 εἰς τινὰ > Yz, habet y inter versus | 11 καὶ .... τελειούσθω > x | 11. 12 τελιούσθω w | 12 ὁ διάκονος + w | 14 διδότωι w, δῶ yz, διδῶ t | 14 τι + w, ἄνευ τῆς ἐκείνου γνώμης + x | 15 λοιδωρίαν w | 15 δίδωσι w | 15 διαβαλεῖ z | 16 ἔργω ἢ λόγω yz | 17 τοῦ wx, αὐτοῦ yzt | 19 ἐνθέτει W, ἐνομοθέτη X | 19 ὄντων + yzt | 19 ψευδονυμίαν wxt | 21 γινώσκει w | 21 ὦ xyzt, ὁ w | 21 διάκον W, διάκονος w, διάκων x, διάκονε yzt | 21 ἐθλιβόμενον w | 22 οὕτω yzt | 22 μὴ wxt, μηδὲ y, μῆδε z | 22. 23 λαθρέως x | 23 λοιδωρίαν w | 23 ἐπιτέλει τί w | 23. 24 γογγυσμὸν yz | 24 γονγυσμὸς x

γενήσεται, ἀλλὰ κατὰ * κυρίου τοῦ θεοῦ· καὶ ἀκούσεται ὁ διάκονος καὶ οἱ λοιποί, ὡς Ἀαρὼν καὶ Μαριὰμ καταλαλήσαντες Μωσέως ἤκουσαν Πῶς οὐκ ἐφοβήθητε καταλαλῆσαι κατὰ Μωσῆ τοῦ θεράποντός μου; καὶ πάλιν αὐτὸς ὁ Μωσῆς φησι τοῖς ἐπισυναχθεῖσιν αὐτῷ Οὐ γὰρ καθ' ἡμῶν ὁ γογγυσμός * ἐστιν, ἀλλὰ κατὰ κυρίου τοῦ θεοῦ ἡμῶν. εἰ γὰρ ὁ λαϊκὸν εἰρηκὼς ῥακὰν ἢ μωρὸν οὐκ ἀτιμώρητος, ὡς ὑβρίσας τὸ τοῦ χριστοῦ ὄνομα, τί * ἂν τις κατὰ ἐπισκόπου εἴπῃ; δι' οὗ τὸ ἅγιον πνεῦμα ὑμῖν ὁ κύριος ἔδωκεν ἐν τῇ χειροθεσίᾳ, δι' οὗ δόγματα ἅγια μεμαθήκατε καὶ θεὸν ἐγνώκατε καὶ εἰς χριστὸν πεπιστεύκατε, δι' οὗ ἐγνώσθητε ὑπὸ θεοῦ, δι' οὗ ἐσφραγίσθητε ἐλαίῳ ἀγαλλιάσεως καὶ μύρῳ συνέσεως, δι' οὗ υἱοὶ φωτὸς ἀνεδείχθητε, δι' οὗ κύριος ἐν τῷ φωτισμῷ ὑμῶν τῇ τοῦ ἐπισκόπου χειροθεσίᾳ μαρτυρῶν, ἐφ' ἑκατέρων ὑμῶν τὴν ἱερὰν ἐξέτεινε φωνὴν λέγων Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. διὰ τοῦ ἐπισκόπου σου ὁ θεὸς υἱοποιεῖταί σε, ἄνθρωπε· γνώριζε, υἱέ, τὴν δεξιὰν τὴν μητέρα σου, * στέργε * τὸν μετὰ θεὸν γενόμενόν σου πατέρα * σέβου *. | εἰ γὰρ περὶ τῶν κατὰ σάρκα 33
γονέων φησὶ τὸ ὅσιον λόγιον Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω, πόσῳ μᾶλλον ὑμῖν περὶ τῶν πνευματικῶν γονέων ὁ λόγος παραινέσει τιμᾶν αὐτοὺς καὶ στέργειν, ὡς εὐεργέτας καὶ πρεσβευτὰς πρὸς θεόν; τοὺς δι' ὕδατος ὑμᾶς ἀναγεννήσαντας, τοὺς τῷ ἁγίῳ πνεύματι πληρώσαντας, τοὺς τῷ λόγῳ γαλακτοτροφήσαντας, τοὺς ἐν τῇ διδασκαλίᾳ ἀναθρεψαμένους, τοὺς ἐν ταῖς νουθεσίαις στη-

3 Num 12, 8 | 5 Exod 16, 8 | 7 Matth 5, 22 | 16 Psalm 2, 7 | 20 Exod 20, 12 | 21 Exod 21, 17

1 τοῦ + z | 2 μαρία yzt | 3 μωϋσέως w | 3 ἐφοβήθηται w | 3 καταλαλῆσαι > x | 4 μωσῆι w, μωσεῖ x | 4 ὁ > yzt | 4 μωϋσῆς w | 5 φησὶν x | 5 ἐπισυναχθήσιν w | 6 ὑμῶν + yzt | 7 εἰρηκὸς w | 7 ῥακὰ yz | 7 ἀτημώρητος w | 8 πείσεται + y, πέσε^τ z super τις scripsit | 8 κατ' yzt | 9 ὑμῖν ὁ κύριος wx, ὁ κύριος ἐν ὑμῖν yzt | 10 χειροτονία yz | 10 ἅγια δόγματα yzt | 15 ἕκαστον t | 15 ἐξέτεινεν x | 16 γεγένηκά t | 17 υἱοποιεῖτέσαι w | 18 x virgulas ponit post δεξιὰν et post στέργε | 18 καὶ + w | 18 καὶ + w | 19 καὶ + yzt | 19 τοῦτον + yzt | 20 φησὶν x | 20 ὅσιον wx, θεῖον yzt | 21 ὑ wxyt, οὐ z | 22 τελευτάτωι w | 22 ὑμῖν post γονέων sequens yzt | 24 δι' wxzt, δ' y | 25 ἀναγενήσαντας t

ῥίξαντας, τοὺς τοῦ σωτηρίου σώματος καὶ τοῦ τιμίου αἵ-
ματος ἀξιώσαντας *, τοὺς τῶν ἁμαρτιῶν λύσαντας καὶ τῆς
ἁγίας καὶ ἱερᾶς εὐχαριστίας μετόχους ποιήσαντας καὶ τῆς
ἐπαγγελίας τοῦ θεοῦ κοινωνοὺς καὶ συγκληρονόμους θεμέ-
νους ὑμᾶς. τούτους εὐλαβούμενοι || τιμᾶτε παντοίαις τιμαῖς·
οὗτοι γὰρ παρὰ θεοῦ ζωῆς καὶ θανάτου ἐξουσίαν εἰλήφα-
σιν ἐν τῷ δικάζειν τοὺς ἡμαρτηκότας καὶ καταδικάζειν εἰς
θάνατον πυρὸς αἰωνίου, καὶ λύειν ἁμαρτιῶν τοὺς ἐπιστρέ-
34 φοντας καὶ ζωογονεῖν αὐτούς. | τούτους ἄρχοντας ὑμῶν καὶ
βασιλεῖς ἡγεῖσθε καὶ νομίζετε, καὶ δασμοὺς ὡς βασιλεῦσι
προσφέρετε· ἐξ ὑμῶν γὰρ αὐτοὺς * καὶ τοὺς ἐνοίκους αὐτῶν
τρέφεσθαι χρή. ὡς Σαμουὴλ διετάξατο πρὸς τὸν λαὸν περὶ
τοῦ βασιλέως ἐν τῇ πρώτῃ τῶν βασιλείων καὶ Μωϋσῆς περὶ
τῶν ἱερέων *, οὕτως καὶ ἡμεῖς ὑμῖν περὶ τῶν ἐπισκόπων
διατασσόμεθα. εἰ γὰρ ἐκεῖ πλῆθος τηλικούτου βασιλέως
ἀναλόγως τὰς ὑπηρεσίας ἐδίδου, πόσῳ μᾶλλον οὐχὶ καὶ νῦν
ὁ ἐπίσκοπος λαμβάνειν ὀφείλει παρ' ὑμῶν τὰ ἐκ τοῦ θεοῦ
αὐτῷ ὡρισμένα πρὸς διατροφὴν αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ
κληρικῶν; εἰ δὲ δεῖ καί τι προσθεῖναι τῷ λόγῳ, πλεῖον οὗ-
τος λαμβανέτω ἢ ἐκεῖνος * τὸ παλαιόν· ὁ μὲν γὰρ στρατιω-
τικὰ μόνα διεῖπεν, πόλεμον καὶ εἰρήνην ἀναδεδεγμένος, * φυ-
λακὴν σωμάτων, ὁ δὲ τὴν εἰς θεὸν ἱερωσύνην, σῶμα καὶ
ψυχὴν παραιτούμενος κινδύνων. ὅσῳ τοίνυν ψυχὴ σώματος
κρείττων, τοσούτῳ ἱερωσύνη βασιλείας· δεσμεύει γὰρ αὕτη
καὶ λύει τοὺς τιμωρίας ἢ ἀφέσεως ἀξίους. διὸ || τὸν ἐπί-
σκοπον στέργειν ὀφείλετε ὡς πατέρα, φοβεῖσθαι ὡς βασιλέα,
τιμᾶν τε ὡς κύριον, τοὺς καρποὺς ὑμῶν καὶ τὰ ἔργα τῶν
χειρῶν ὑμῶν εἰς εὐλογίαν ὑμῶν προσφέροντες αὐτῷ, * τὰς

2 ὑμᾶς + yzt | 4 συνκληρονόμους x | 6 θεῷ yz, θεῶ t | 9. 10 καὶ βασιλεῖς post ἡγεῖσθε 10 yz | 10 ἡγεῖσθαι wZt | 10 καὶ prius > yzt | 10 νομίζεται w | 10 βασιλεῦσιν x | 11 προσφέρεται w | 11 τε + yzt | 11 συνοίκους yzt | 12 ὡς wxyt, ὦ z | 13 μωσῆς yzt | 14 ἐν τῶ [τῷ y] λευιτικῶ + yzt | 14 οὕτω yzt | 15 πλήθους yz | 15 τηλικούτου y | 19 καὶ > x | 19 τι post προσθῆναι x | 19 προσθῆναι wxt, προσθεῖναι yz | 19 πλεῖν z | 20 εἰς + w | 21 μόνον w | 21 διεῖπε yzt | 21 εἰς + yzt | 22 ἱεροσύνην w | 24 κρίττων w, κρείττω x | 24 ἱερωσύνηι w | 24 αὕτη wx, αὐτὴ yzt | 26 ὀφείλεται W? | 26—28 y virgulas post ὀφείλετε, φοβεῖσθαι, τιμᾶν ponit | 27 τε > yzt | 28 τὰς πρὸς φοράς + y in margine

*ἀπαρχὰς ὑμῶν καὶ τὰς δεκάτας ὑμῶν καὶ τὰ ἀφαιρέματα
ὑμῶν καὶ τὰ δῶρα ὑμῶν διδόντες αὐτῷ ὡς ἱερεῖ θεοῦ, ἀπαρ-
χὴν σίτου, οἴνου, ἐλαίου, ὀπώρας, ἐλαίας, καὶ πάντων ὧν
κύριος ὁ θεὸς ἐπιχορηγεῖ ὑμῖν. καὶ ἔσται σοι ἡ προσφορά
σου δεκτὴ εἰς ὀσμὴν εὐωδίας κυρίῳ τῷ θεῷ σου, καὶ εὐ-
λογήσει κύριος τὰ ἔργα τῶν χειρῶν σου καὶ πληθυνεῖ τὰ
ἀγαθὰ τῆς γῆς σου· ἐπείπερ εὐλογία εἰς κεφαλὴν τοῦ μετα-
διδόντος. | χρὴ δὲ ὑμᾶς γινώσκειν ὅτι εἰ καὶ ἐρρύσατο ὑμᾶς* 35
*κύριος τῆς δουλείας τῶν ἐπεισάκτων δεσμῶν καὶ ἐξήγαγεν
ὑμᾶς εἰς ἀνάψυξιν, μηκέτι ἐάσας ὑμᾶς θύειν ἄλογα ζῷα περὶ
ἁμαρτιῶν καὶ καθαρισμοῦ καὶ ἀποπομπαίων καὶ λουτρῶν
συνεχῶν καὶ περὶ ῥαντηρίων, οὐ δήπου καὶ τῶν εἰσφορῶν
* ὑμᾶς ἠλευθέρωσεν ὧν ὀφείλετε τοῖς ἱερεῦσιν, καὶ τῶν εἰς
τοὺς δεομένους εὐποιιῶν. λέγει γὰρ ὁ κύριος ὑμῖν ἐν τῷ
εὐαγγελίῳ Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον
τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βα-
σιλείαν τῶν οὐρανῶν. οὕτως οὖν πλεονάσει ἡ δικαιοσύνη
ὑμῶν, ἐν τῷ πλεῖον ὑμᾶς πρόνοιαν ποιεῖσθαι τῶν ἱερέων
καὶ τῶν ὀρφανῶν καὶ τῶν χηρῶν *· ὡς γέγραπται Ἐσκόρπι-
σεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τοὺς
αἰῶνας· καὶ πάλιν Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρον-
ται ἁμαρτίαι· καὶ πάλιν Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ. οὕ-
τως οὖν ποιήσεις σύ, ὡς ὁ κύριος διετάξατο, καὶ δώσεις τῷ
ἱερεῖ τὰ ὀφειλόμενα αὐτῷ, ἀπαρχὴν ἅλωνος καὶ ληνοῦ καὶ
περὶ ἁμαρτιῶν, ὡς μεσίτῃ θεοῦ καὶ τῶν δεομένων καθάρσεως
καὶ παραιτήσεως. σὲ μὲν γὰρ διδόναι προσήκει, οἰκονομεῖν
δὲ ἐκεῖνον ἅτε οἰκονόμον καὶ διοικητὴν τῶν ἐκκλησιαστι-
κῶν πραγμάτων. οὐ μέντοι λογιστεύσεις σου τὸν ἐπίσκοπον*⁀

7 Prov 11, 26 | 15 Matth 5, 20 | 19 Psalm 112, 9 | 21 Prov 16, 6 | 22 Prov 11, 25

1 *ὑμῶν* prius > w | 2 *ὑμῶν* prius > w | 3 *ἐλαίας* wx, *ἐρέας* yzt | 10 *ἀναψυχὴν* w | 11 *ἀποπομπταίων* z | 12 *περιρραντηρίων* uno vocabulo yz, *περιραντηρίων* t | 13 *ὑμῶν* + w | 13 *ὀφείλεται* w | 13 *ἱερεῦσι* yzt | 14 *γὰρ* bis y | 14 *ἡμῖν* x | 15 *ὑμῶν ἡ δικαιοσύνη* yzt | 15 *πλείων* x | 16 *φαρισσαίων* wyz | 18 *πλέον* yzt | 19 *χειρῶν* t | 19 *καὶ πάντων δεομένων* + Cotelerius | 19. 20 *ἐσκόρπησεν* w | 20 *ἔδωκεν* x | 20. 21 *εἰς τοὺς αἰῶνας* yzt, *εἰς τὸν αἰῶνα τοῦ αἰῶνος* w, *ἕως τοῦ αἰῶνος* x | 22 *εὐλογημένη* wxYzt, *εὐλογουμένη* y | 23 *σοὶ* w | 24 *λινοῦ* z | 28 *λογιστεύσης* w

οὐδὲ παρατηρήσεις αὐτοῦ τὴν οἰκονομίαν, πῶς ἐπιτελεῖ ἢ πότε ἢ τίσιν ἢ ποῦ ἢ εἰ καλῶς ἢ φαύλως ἢ δεόντως· ἔχει γὰρ λογιστὴν κύριον τὸν θεὸν τὸν ἐγχειρίσαντα εἰς τὰς χεῖρας αὐτοῦ τὴν οἰκονομίαν ταύτην καὶ καταξιώσαντα αὐτὸν
36 τῆς ἱερωσύνης τοῦ τηλικούτου τόπου. | πρὸ ὀφθαλμῶν ἔχε τὸν τοῦ θεοῦ φόβον πάντοτε, μεμνημένος τῶν δέκα τοῦ θεοῦ λογίων· ἀγαπᾶν κύριον τὸν θεὸν τὸν ἕνα καὶ μόνον ἐξ ὅλης τῆς ἰσχύος σου, μὴ προσανέχειν εἰδώλοις ἤ τισιν ἑτέροις, ὡς θεοῖς * ἀψύχοις ἢ ἀλόγοις ἢ δαίμοσιν. γίνωσκε * δημιουργίαν θεοῦ διάφορον, ἀρχὴν λαβοῦσαν διὰ χριστοῦ· καὶ σαββάτιζε διὰ τὸν παυσάμενον μὲν τοῦ ποιεῖν, μὴ παυσάμενον δὲ τοῦ προνοεῖν, σαββατισμὸν μελέτης νόμων, οὐ χειρῶν ἀργίαν. πᾶσαν ἔκνομον ἐπιθυμίαν ἄπωσαι, πᾶσαν λύμην τὴν ἐπὶ διαφθορᾷ ἀνθρώπων, πᾶσαν ὀργήν. γονεῖς τίμα ὡς αἰτίους γενέσεως. ἀγάπα τὸν πλησίον * ὡς ἑαυτόν. κοινώνει βίου τοῖς δεομένοις. ἐπιορκίαν καὶ πολυορκίαν μάταιον φεῦγε· οὐ γὰρ ἀθωωθήσῃ. μὴ ὀφθῇς παρὰ τοῖς ἱερεῦσι κενός, καὶ τὰ ἑκούσιά σου ἐνδελεχίζων πρόσφερε *, καὶ τῆς χριστοῦ ἐκκλησίας μὴ ἀπολείπου, ὀρθρίζων εἰς αὐτὴν πρὸ παντὸς ἔργου, καὶ πάλιν ἑσπέρας εἰς αὐτὴν ἀπάντα εὐχαριστῶν τῷ θεῷ ὑπὲρ ὧν σοι τὴν ζωὴν κεχάρισται. ἐργοπόνει, ἐνδελέχιζε, κοπία, πρόσφερε κυρίῳ τὰ ἑκούσιά σου· τίμα γάρ, φησί, τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων. εἰς τὸν

22 Prov 3, 9

1 παρατηρήσῃς w | 1 τὴν οἰκονομίαν αὐτοῦ yzt | 2 εἰ yzt, > w, καὶ x | 2 φαῦλος x, φαύλω y | 2 δεόντος y | 4 καταξιώσατα W | 5 ἱεροσύνης w | 5 τόπω W | 6 τὸν > z | 6 virgula post πάντοτε wxyz, ante πάντοτε t | 7 ἀγάπα yz | 7 seqq in margine y numeris α—ι singulorum praeceptorum prima verba distinguuntur | 8 σου > yzt | 8 προσανέχων yz | 8 εἰδόλοις w | 8 ἤ τισιν ἑτέροις > w | 9 ἢ ἑτέροις + w | 9 ἀλόγος W | 9 δαίμοσι wyz | 9 οὖν + w | 9 δημιουργείαν w, δημηουργίαν Y, διμιουργίαν z | 11 τοῦ wxYzt, τοῦτο y | 11 μὴ wx, οὐ yzt | 12 νόμον Yz | 14 διαφορᾷ y, διαφθορᾶς t | 15 σου + yzt | 15 σεαυτόν yt (ὁ y) | 16. 17 ματαίαν yz | 17 ἀθωωθήσει w, ἀθωθήσῃ x | 17 ὀφθεῖς w | 18 σου xyzt, οὐκ w | 18 κυρίωι + w | 19 ἐκκλισίας w | 19 ἀπολειμπάνου w, ἀπολίπου t | 20 καὶ > yz | 21 τῷ > yzt | 22 πρόσφεραι w | 23 φησὶν x, φη̄ w | 23 fin — p 64, 1 εἰ εἰς τὸν κορβανᾶν οὐ δύνασαι βάλλειν κἂν κοινώνει t, sed idem in margine ἐν ἄλλω εἰς τὸν κορβανᾶν ὃδύνασαι βάλλων, κοινώνει

κορβανᾶν ὃ δύνασαι βάλλων, κοινώνει τοῖς ξένοις ἓν ἢ δύο ἢ πέντε λεπτά· θησαύριζε σεαυτῷ τὸν οὐράνιον πλοῦτον, ὃν οὔτε σὴς οὔτε κλέπται λυμανοῦνται. καὶ ποιῶν οὕτως, μὴ κρῖνε τὸν ἐπίσκοπόν σου μηδὲ τὸν συλλαϊκόν· ἐὰν γὰρ κρίνῃς τὸν ἀδελφόν, κριτὴς ἐγένου, μηδενός σε προχειρισαμένου· τοῖς γὰρ ἱερεῦσιν ἐπετράπη κρίνειν μόνοις, ὅτι εἴρηται αὐτοῖς Κρίμα δίκαιον κρίνατε· καὶ πάλιν Γίνεσθε τραπεζῖται δόκιμοι. ὑμῖν δὲ οὐκ ἐπιτέτραπται· τοὐναντίον γὰρ εἴρηται * τοῖς ἔξω τοῦ ἀξιώματος τοῦ δικαστικοῦ * ὑπάρχουσιν Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. | τὸν μέντοι ἐπίσκο- 37
πον δεῖ κρίνειν ὀρθῶς, καθὼς γέγραπται Τὴν δικαίαν κρίσιν κρίνατε· καὶ ἀλλαχοῦ Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; γίνεσθε οὖν ὡς ἀργυρονόμοι ἐπιστήμονες· καθάπερ γὰρ οὗτοι τὰ φαῦλα τῶν νομισμάτων ἀποκρίνουσι, τὰ δὲ δόκιμα οἰκειοῦνται, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸν ἐπίσκοπον χρὴ τὰ μὲν ἄμωμα κατέχειν, τὰ δὲ ἐπίμωμα * θεραπεύειν ἢ ἀνιάτως νοσοῦντα ἀπορρίπτειν, καὶ μὴ ταχέως κόπτειν μηδὲ οἱσδήποτε πιστεύειν. ἐγχωρεῖ γὰρ τινὰς καὶ διὰ ζῆλον ἢ φθόνον κατά τινος ἀδελφοῦ ἐνστήσασθαι ψευδῆ κατηγορίαν, ὡς οἱ δύο πρεσβύτεροι ἐπὶ τῆς Σωσάννης ἐν Βαβυλῶνι, καὶ ἡ Αἰγυπτία ἐπὶ τοῦ Ἰωσήφ. σὺ οὖν ὡς θεοῦ ἄνθρωπος τὰ τοιαῦτα μὴ προχείρως παραδέχου, ἵνα μὴ ἀνέλῃς τὸν ἀθῷον καὶ ἀποκτείνῃς τὸν δίκαιον. ὁ γὰρ τοιαῦτα παραδέχεσθαι θέλων ὀργῆς πατήρ ἐστι μᾶλλον ἢ εἰρήνης· ὅπου δὲ ὀργή, ἐκεῖ * κύριος οὐκ ἔστιν· ἡ γὰρ ὀργή, τοῦ Σατανᾶ ὑπάρχουσα

3 Matth 6, 20 | 7 Zach 7, 9 | 7 apocryphum | 10 Luc 6, 37 | 11 Ioh 7, 24 | 12 Luc 12, 57 | 21 Tim α 6, 11

1 κορβονὰν W | 1 βαλλὼν w | 2 λεπτά xyzt, ἢ ἑπτά w | 2 σαυτῶ yzt | 3 κλέπτης x | 3 λυμαίνονται Z | 3 οὕτως ante ποιῶν w, οὕτω yzt | 4 κρῖναι wt (ί t) | 4 μηδὲ wx, ἢ yzt | 5. 6 προχειρησαμένου x | 6 ἱερεύσι w | 6 μόνοις ante ἐπετράπη w | 7 γίνεσθαι w | 8 τραπεζῆται wx | 8 δὲ wxyz, γὰρ t | 9 αὐτοῖς κρίμα .... πάλιν ex versu 7 + z | 9 τοῖς > z | 9 ἢ διδασκαλικοῦ + t | 9. 10 ὑπάρχουσι yzt | 10 κρῖναιτε w | 10 μὴ alterum super versum y, > z | 10 κριθῆτε x, κριθῖ' w, κριθήσεσθε yzt | 11 γέγραπαι w | 12 fin κρίνεται w | 13 ἀργυρογνώμονες w | 14 ἀποκρίνουσιν x | 15 δόκημα w | 15 οἰκιοῦνται w | 16 ἐπίμωνα W | 16 ἢ + yzt | 16 θερειπεύειν W | 17 ἀνιάτος x | 17 ἀπορριπτεῖν t | 20 τῆς σωσάννης w, τῆς σωσάννας x, τῆς Σωσσάννης t, τῇ σωσάννῃ yz | 21 τοῦ wx, τῷ yz, τῶ t | 23 ἀποκτήνεις w | 24 ἔστιν x | 25 ὁ + yzt | 25 τοῦ wxt, τῷ y, τῶ z

φίλη, λέγω δὴ ἡ παρὰ τὸ δίκαιον κινουμένη διὰ τῶν ψευ-
δαδέλφων, οὐδέποτε ὁμόνοιαν γενέσθαι ἀφίησιν ἐν τῇ ἐκ-
κλησίᾳ. ὅθεν ἐπιγινώσκοντες τοὺς τοιούτους ἄφρονας, ἐρι-
στάς, * ἐπιχαιρεσικάκους, μὴ πιστεύετε αὐτοῖς, ἀλλὰ καὶ πα-
ρατηρεῖσθε τοὺς τοιούτους, ἀκούοντες * παρ' αὐτῶν κατὰ
ἀδελφοῦ· ὅτι οὐδὲν ἐν ὀφθαλμοῖς αὐτῶν φόνος, καὶ οὔ τις
οὐχ ὑπονοεῖ καταβαλοῦσιν ἄνδρα. σὺ οὖν πρόσεχε τῷ κα-
τηγορηθέντι ἐν σοφίᾳ, παρατηρῶν τὴν ἀναστροφὴν αὐτοῦ,
τίς καὶ ὁποία τυγχάνει· καὶ εἰ εὕροις αὐτὸν ἀληθεύοντα,
κατὰ τὴν τοῦ κυρίου διδαχὴν ποίησον καὶ μόνον παραλαβὼν
τὸν κατηγορηθέντα ἔλεγξον αὐτόν, ὅπως μεταγνῷ, μηδενός
σοι συμπαρόντος. εἰ δὲ οὐ πεισθείη, γενόμενος δεύτερος ἢ
τρίτος, οὕτως αὐτῷ ὑπόδειξον τὸ πλημμέλημα, νουθετήσας
αὐτὸν ἐν πραότητι καὶ παιδείᾳ· ὅτι ἐν καρδίᾳ ἀγαθῇ ἀνα-
παύσεται σοφία, ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.
8 | ἐὰν οὖν πεισθῇ ἐπὶ στόματος τῶν τριῶν ὑμῶν, εὖ ἂν ἔχοι·
εἰ δέ τι σκληρύνοιτο, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ ταύτης
παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης, * μηκέτι
αὐτὸν ὡς χριστιανὸν παραδέχου ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ὡς
ἐθνικὸν παραιτοῦ. εἰ δὲ βούλοιτο μετανοεῖν, προσλαμβά-
νου· οὐδὲ γὰρ τὸν ἐθνικὸν καὶ τὸν τελώνην εἰς κοινωνίαν
παραδέχῃ *, πρὶν ἢ μεταγνῷ ἕκαστος αὐτῶν ἐκ τῶν προτέρων
ἀσεβημάτων· τοῖς γὰρ μεταμελομένοις τόπον μετανοίας ὥρι-
9 σεν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. | καὶ γὰρ
ἐγὼ Ματθαῖος, ἐκ τῶν δώδεκα τῶν ἐν * τῇ διδασκαλίᾳ λα-

10 Matth 18, 15—17 | 14 Prov 14, 33 | 23 Hebr 12, 17

1 δὴ wx, δὲ yzt | 2 ἀφειίησιν w | 2 ὁμόνοιαν ἀφίησι γενέσθαι yz, ἀφίησι γενέσθαι ὁμόνοιαν t | 4 ζηλωτὰς + t | 4 χαιρεκάκους Yz, χαιρεσικάκους t | 4 πιστεύεται wx | 4.5 παρατηρεῖσθαι w, παρατειρεῖσθε z | 5 τι + yzt | 6 φόνος Wxyzt, φόβος w | 7 καταβάλουσιν w, καταβάλλουσιν yzt | 8 παρατυρῶν z | 8 ἀνατροφὴν w | 9 τυγχάνῃ w | 11 ἔλλεγξον z | 12 σοι > w | 12 πήθεται w, πισθείη x | 14 παιδία z | 15 φρόνων z | 16 πεισθεῖ w, πισθῆ x | 17 τις yzt | 17 καὶ > w | 17 ταύτης wxyz, τῆς ἐκκλησίας t | 18 ἐθνηκὸς w | 18 καὶ + yzt | 20 ἐθνηκὸν w | 20 εἰ xyzt, ἡ w | 21 ἐθνηκὸν w | 21 καὶ wx, ἢ yzt | 22 παραδέξει w, παραδέχεται t | 22 ἡ ἐκκλησία + t | 22 πρινὶ w | 22 μεταγνῶναι ἕκαστον yz | 24 ὁ χριστὸς > y, ὁ > z sed monogramma Christi habet in textu z, quo alias servatoris nomen nunquam scribit | 24 ὁ υἱὸς > w | 25 ἐκ wx, ὁ εἷς y, εἷς zt | 25 τῇδε + yzt

λούντων ὑμῖν, εἰμὶ ἀπόστολος, καὶ αὐτὸς ὢν τελώνης μὲν τὸ πρότερον, νῦν δὲ διὰ τοῦ πιστεύειν ἡλεημένος μετεγνωκώς τε τῶν προτέρων πράξεων καὶ ἠξιωμένος ἀπόστολος εἶναι καὶ κήρυξ τοῦ λόγου. καὶ Ζακχαῖος, ὃν ὁ κύριος προσελάβετο ἐν μετανοίᾳ δεηθέντα αὐτοῦ, ὁμοίως καὶ αὐτὸς τελώνης τὸ πρότερον ὑπῆρχεν. ἤδη δὲ καὶ στρατιῶται καὶ τελωνῶν ὄχλος, προσελθόντες τῷ κυριακῷ περὶ μετανοίας λόγῳ, ἀκούουσι παρὰ τοῦ προφήτου Ἰωάννου μετὰ τὸ βάπτισμα * Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν ποιεῖτε. ὁμοίως τε καὶ τοῖς ἐθνικοῖς οὐκ ἀπέγνωσται * ζωή, ἐὰν μετανοήσαντες τὴν ἀπιστίαν ἀποβάλωσιν. ὡς τελώνην οὖν ἢ ἐθνικὸν ἔχε τὸν ἐπὶ κακῷ ἔργῳ ἐλεγχθέντα καὶ μὴ μεταγινώσκοντα. ἐὰν δὲ ὕστερον μετανοῇ *, ὡς * τοὺς ἐθνικούς, ὁπόταν θέλωσι μετανοεῖν καὶ ἐπιστρέφειν ἐκ τῆς πλάνης, εἰς ἐκκλησίαν προσδεχόμεθα, ὅπως τοῦ λόγου ἀκούωσιν, οὐ μὴν * κοινωνοῦμεν αὐτοῖς, ἄχρι τὴν σφραγῖδα λαβόντες τελειωθῶσιν, οὕτως καὶ τοῖς τοιούτοις, μέχρις οὗ μετανοίας καρπὸν ἐπιδείξωσιν, ἐπιτρέπομεν εἰσέρχεσθαι, ὅπως τοῦ λόγου ἀκούοντες μὴ τελείως ἄρδην ἀπόλωνται, μὴ κοινωνείτωσαν δὲ ἐν τῇ προσευχῇ, ἀλλ' ἐξερχέσθωσαν μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τοῦ εὐαγγελίου, ὅπως διὰ τοῦ ἐξιέναι ἐπιβελτιωθῶσι τὴν ἀναστροφὴν τοῦ βίου, σπουδάζοντες περὶ τὰς συνάξεις ἀπαντᾶν ὁσημέραι καὶ τῇ δεήσει σχολάζειν, ὅπως καὶ αὐτοὶ δυνηθῶσιν εἰσδεχθῆναι, καὶ οἱ

9 Luc 3, 13

2 τὸ > yzt | 2. 3 μετεγνωκότες omisso τε [sic] z | 3 ἠξιώθην w | 6 ὑπῆρχε w | 7 τελονῶν z | 8 λόγους w virgula ante περὶ posita | 8 ἀκούουσιν x | 8 μετὰ wxt, κατὰ yz | 9 λέγων + w | 9 μηθὲν t | 9 τὸ wxyt, τὶ z? | 9 ποιήσητε w, ποιεῖται Y | 10 τε wx, δὲ yzt | 10 ἐθνηκοῖς w | 10 ἀπέγνωστε w | 10 ἡ + yzt | 11 ἀπιστείαν w | 11 ἀποβαλλωσιν t | 12 ἐθνηκὸν w | 12 ἐλεγχόμενον w, ἐλεχθέντα z | 12 μὶ w | 13 καὶ ἐπιστρέφη ἐκ τῆς πλάνης + t | 13 καὶ + t | 14 θέλωσιν x, θέλουσι t | 14 καὶ .... πλάνης > t | 15 προσδεχώμεθα wx | 15 ἀκούσωσιν yz | 15 δὲ + w | 16 ἄχρι wx, μέχρις οὗ yt, μέχρις οὖν z | 17 οὕτω yzt | 18 ἐπιτρέπωμεν w | 19 τελέως yzt | 19 ἀπώλονται w, ἀπόλωντο x, ἀπόλονται Y | 22 ἀξιέναι z | 22 ἐπιβελτιωθῶσιν x, βελτιωθῶσι yt, ἠνεντιωθῶσι z (e literarum ductu conspicuum librarium z autographum suum legere non potuisse) | 23 ἁπάντων w | 23 ὡσήμεραι x, ὡς ἡμέραι w | 23 δεήση x

θεώμενοι αὐτοὺς κατανυγῶσι καὶ ἀσφαλέστεροι γένωνται,
40 εὐλαβούμενοι || τοῖς ὁμοίοις περιπεσεῖν. | οὐ μέντοιγε βδελύξῃ
τὸν περιπεσόντα ἑνὶ καὶ δευτέρῳ σφάλματι, ὦ ἐπίσκοπε,
οὐδὲ κωλύσεις αὐτὸν τοῦ κυριακοῦ λόγου, οὐδὲ κοινῆς διαί-
της αὐτὸν ἐξώσεις· ἐπείπερ οὐδὲ ὁ κύριος παρῃτεῖτο μετὰ
τῶν τελωνῶν καὶ * ἁμαρτωλῶν ἐσθίειν, * καὶ ὑπὸ τῶν Φα-
ρισαίων ἐγκαλούμενος περὶ τούτου ἔλεγεν Οὐ χρείαν ἔχου-
σιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. τοῖς οὖν
δι' ἁμαρτίας ἀφορισθεῖσι παρ' ὑμῶν καὶ συναναστρέφεσθε
καὶ συναυλίζεσθε, ἐπιμελούμενοι *, παρακαλοῦντες, * ὑπο-
στηρίζοντες, λέγοντες αὐτοῖς Ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ
γόνατα παραλελυμένα. παρακαλεῖν γὰρ χρὴ τοὺς πενθοῦν-
τας καὶ τοῖς ὀλιγοψυχοῦσι προθυμίαν διδόναι, ὅπως μὴ τῇ
ἀμετρίᾳ τῆς λύπης εἰς ἀφροσύνην χωρήσωσιν· ἐπείπερ ὁ
41 ὀλιγόψυχος ἰσχυρὸς ἄφρων. | εἰ δέ τις ἐπιστραφεὶς μετανοίας
καρπὸν ἐπιδείξηται, τότε καὶ εἰς προσευχὴν εἰσδέξασθε αὐ-
τόν· ὡς τὸν υἱὸν τὸν ἀπολωλότα, τὸν ἄσωτον, τὸν μετὰ
πορνῶν μειώσαντα τὴν πατρικὴν οὐσίαν, τὸν χοίρους βό-
σκοντα καὶ κερατίων ἐμπλησθῆναι ἐπιθυμοῦντα καὶ μὴ τυγ-
χάνοντα, * μεταγνόντα καὶ παλινδρομήσαντα πρὸς τὸν πα-
τέρα καὶ εἰπόντα Ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν
σου, καὶ οὐκέτι εἰμὶ ἄξιος καλεῖσθαι υἱός σου, μετὰ μουσικῶν
ὁ φιλότεκνος πατὴρ προσελάβετο *, καὶ τὴν ἀρχαίαν στολὴν
καὶ τὸν δακτύλιον καὶ τὰ ὑποδήματα ἀποδοὺς ἔσφαξε τὸν
σιτευτὸν μόσχον καὶ εὐφραίνετο μετὰ τῶν φίλων. οὕτως

7 Matth 9, 12 | 11 Isaj 35, 3 | 14 Prov 14, 29 | 21 Luc 15, 21

1 θεόμενοι w | 1 κατανυγῶσιν x | 1 γένοντε w, γένονται x | 2 βδελλύξῃ w | 4 κολύσεις w | 6 τελόνων w, τελονῶν z | 6 τῶν + yzt | 6 ἐσθίειν post τελωνῶν yzt | 6 ὃς + yz | 6 τῶν alterum > t | 6. 7 φαρισσαίων wy [ί w] | 9 ἀφορισθεῖσιν x | 9 συναναστρέφεσθαι w | 10 συναλίζεσθαι w, συναλίζεσθε postulabat Cotelerius | 10 αὐτῶν παντοίωι τρόπωι + w | 10 παρακρατοῦντες x | 10 νουθετοῦντες + w | 11 χείραις w | 12 παρακαλεῖ z | 13 ὀλιγοψυχοῦσιν x, ὀλιγοψύχοις w | 13 διδῶναι w | 14 ὁ > yzt | 15 ἰσχυρῶς t | 16 ἐπιδείξεται yz | 16 καὶ .. 17 τὸν primum > z | 16 εἰσδέξασθαι w | 17 ἀπωλωλότα w, ἀπωλωλώτα x | 18 μιώσαντα x | 20 οὗτος + w | 20 μεταγνῶντα w | 22 καλεῖσθε x | 23 προσελάβετω w | 23 τοῦτον + w | 24 τὸν prius xyzt, τὸ w | 24 ἐπιδοὺς w | 24 ἔσφαξε w, ἔσφαξεν x, σφάξας τε yzt | 25 καὶ > yzt | 25 ηὐφραίνετο yzt

*οὖν καὶ σὺ ποίει, ὦ ἐπίσκοπε· ἀλλ' ὥσπερ τὸν ἐθνικὸν λούσας εἰσδέχῃ μετὰ τὴν διδασκαλίαν, οὕτως καὶ τοῦτον χειροθετήσας, ὡς ἂν μετανοίᾳ κεκαθαρμένον, πάντων ὑπὲρ αὐτοῦ προσευχομένων, ἀποκαταστήσεις αὐτὸν εἰς τὴν ἀρχαίαν αὐτοῦ νομήν· καὶ ἔσται αὐτῷ ἀντὶ * λούσματος ἡ χειροθεσία· καὶ γὰρ διὰ τῆς ἐπιθέσεως τῶν ἡμετέρων χειρῶν ἐδίδοτο τὸ πνεῦμα τὸ ἅγιον τοῖς πιστεύουσιν. κἄν τις τῶν μὴ σεσαλευμένων ἀδελφῶν αὐτοῦ ἐγκαλέσῃ σοι ὅτι δὴ κατηλλάγης αὐτῷ, εἰπὲ πρὸς αὐτὸν Σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα σά ἐστιν· εὐφρανθῆναι δὲ ἔδει καὶ χαρῆναι, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν, καὶ ἀπολωλὼς * καὶ εὑρέθη. ὅτι γὰρ οὐ μόνον προσδέχεται ὁ θεὸς τοὺς μετανοοῦντας, ἀλλὰ καὶ εἰς τὴν προτέραν ἀξίαν ἀποκαθίστησιν, ἱκανὸς μάρτυς ὁ ἅγιος Δαβίδ, ὃς μετὰ τὴν εἰς τὸν Οὐρίαν ἁμαρτίαν ηὔχετο τῷ θεῷ λέγων Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με· καὶ πάλιν Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. καὶ σὺ οὖν ὡς συμπαθὴς ἰατρὸς τοὺς ἡμαρτηκότας πάντας θεράπευε, χρώμενος σωτηρίοις πρὸς βοήθειαν ἀγωγαῖς, μὴ μόνον τέμνων ἢ καίων ἢ ξηρία προσφέρων, ἀλλὰ καὶ ἐπιδεσμῶν καὶ μοτῶν καὶ ἐνιεὶς γλυκεῖα φάρμακα ἐπουλωτικὰ καὶ καταβρέχων λόγοις παρακλητικοῖς. ἐὰν δὲ κοῖλον ᾖ τὸ τραῦμα, θρέψον αὐτὸ δι' ἐμπλάστρων, ἵνα*

9 Luc 15, 31. 32 | 15 Psalm 51, 14 | 17 Psalm 51, 11—13

1 ὦι w | 1 ἀλλ' wxt, καὶ yz | 1 ἐθνηκὸν w | 2 εἰσδέχει w | 2 οὕτω yzt | 3 κεκαθαρισμένον yzt | 4 ἀποκαταστήσῃς yzt | 5 τοῦ + yzt | 5 λούματος yz | 7 τὸ utrumque > yzt | 7 πιστεύουσι yt | 8 σαλευομένων z | 8 αὐτοῦ > x | 8 ἐπεγκαλέσῃ yzt | 10 δεῖ w | 11 ἀνέζησε t | 12 καὶ prius > wyz | 12 ἀπωλολὸς w, ἀπολωλὸς x | 12 ἦν + w | 13 τοὺς > w | 15 ἀπόδως w | 22. 23 ἡμαρτικότας w | 24 τέμνον Z | 24 ξυρία w | 25 μωτῶν w | 25 γλυκία w, γλυκεῖα x, γλυκέα yzt | 26 ἀπουλωτικὰ yz | 27 κοιλωνῆι w | 27 θρέψων X | 27 διὰ τῶν ἐμπλάστρων w, ἢ δεῖ ἐμπλάστρω y, ᾗ δεῖ ἐμπλάστρῳ zt (ω t), γραφεται καὶ ἤδει ἐμπλάστρῳ margo y

γεμισθὲν ἴσον τῷ ἀρτίῳ ἀποτελεσθῇ· ἐὰν δὲ ῥυπανθῇ, τότε κάθαρον ξηρίῳ, τοῦτ' ἔστι λόγῳ ἐπιτιμητικῷ *· ἐὰν δὲ ὑπέρογκον γένηται, δριμεῖ κολλυρίῳ ἐξομάλισον αὐτό, ἀπειλῇ κρίσεως· κἂν νομὴ γένηται, καυτηρίασον αὐτὸ καὶ τὴν σηπεδόνα ἔκκοψον, στιβώσας νηστείαις. ἐὰν δὲ ταῦτα ποιήσῃς, καὶ γνῷς ὅτι ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους, ἀλλ' ἐπεκτείνεται ἡ νομὴ καὶ προλαμβάνει πᾶσαν ἴασιν, ὡς ἡ γάγγραινα πᾶν μέλος σήπουσα, τότε μετὰ πολλῆς σκέψεως καὶ συμβουλίας καὶ ἑτέρων ἰατρῶν ἐμπείρων ἀπόκοψον τὸ διασαπὲν μέλος, ἵνα μὴ τὸ πᾶν διαφθαρῇ σῶμα τῆς ἐκκλησίας. μὴ ῥᾳδίως οὖν ἴσθι πρόχειρος εἰς τὸ ἀποκόπτειν, μηδὲ ταχέως εἰς τὸν ꝏ|| μυριόδοντα πρίονα ὅρμα, ἀλλὰ πρῶτον χρῶ σμίλῃ, τὰ ἀποστήματα διαιρῶν, ὅπως τὸ ἐντὸς ἐγκείμενον αἴτιον τῶν πόνων * ἐκκριθὲν ἀναλγὲς τὸ σῶμα τηρήσῃ. ἐὰν δέ τινα ἀμετανοήτως ἔχοντα βλέπῃς καὶ ἀπεσκληκότα, τότε μετὰ λύπης καὶ πένθους ἀνιάτως ἔχοντα τῆς ἐκκλησίας ἀπόκοπτε· Ἐξαρεῖτε γὰρ * τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν· καὶ Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραήλ· καὶ πάλιν Οὐ λήψῃ πρόσωπον ἐν κρίσει πλουσίου, καὶ Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει·
42 ὅτι Τοῦ κυρίου ἡ κρίσις. | ἐὰν δὲ ψευδὴς ᾖ ἡ κατηγορία τῆς διαβολῆς, καὶ ὑμεῖς οἱ ποιμένες σὺν τοῖς διακόνοις τὸ ψεῦδος ὡς ἀλήθειαν παραδέξησθε * διὰ προσωποληψίαν ἢ διὰ δώρων ἐξαλλαγήν, βουλόμενοι τὸ ἀρεστὸν τῷ διαβόλῳ ποιεῖν, * τὸν κατηγορούμενον μέν, ὑπάρχοντα * τοῦ ἐγκλήματος ἀλ-

6 Isaj 1, 6 | 18 Deut 17, 7 | 18 Lev 15, 31 | 19 Lev 19, 15 | 20 Exod 23, 3 | 21 Deut 1, 17

1 ἴσω y, ἴσω z | 2 ξυρίωι w | 2 ἐστιν x | 2 χρῆσαι πρὸς αὐτὸν + w in margine m. pr. | 3 γένητε w | 3 δριμοὶ w | 3 ἐξομάλησον w | 4 αὐτὸν w | 5 νειστίαις w | 5. 6 ποιήσεις w | 6 ἔστιν x | 7 ἐπιθῆναι wt | 7 οὔτε prius wxyzt, οὐ Y | 9 σήπουσαν w | 11 διαφθαρεῖ w, φθαρῇ x | 11 τῆς ἐκκλησίας σῶμα w | 12 ἴσθη w | 12 εἰς alterum wx, ἐπὶ yzt | 13 πρῶτα yzt | 13 χρῶι w | 13 σμίλην w | 14 ἀποστέμματα w, ἀποστέματα Xt, sed η superscripsit x | 14 κεῖμενον w | 14 τῶν wxyz, τὸ τὸν t | 15 πόνων wxyz, πόνον t | 15 ποιὸν + x, πύον + yz, ποιοῦν + t | 15 ἐκριθὲν X | 15 ἀναλγαῖς z | 16 ἀπεσκληρωκότα Cotelerius | 17 ἀπόκοπται w | 18 φ̅η̅ + w | 18 πονηρὼν X | 19 ποιήσετε yzt | 19 λήψει w | 20 πλουσίου ἐν κρίσει yzt | 20 πένητας yz | 22 ποιμέναις w | 23 ἢ + yzt | 23 προσοποληψίαν z | 25 καὶ + yz | 25 δὲ + yzt

λότριον ἀπώσησθε * τῆς ἐκκλησίας, λόγον ὑφέξετε ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου· ὅτι γέγραπται Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· Οὐ λήψῃ δῶρα πατάξαι ψυχήν· Τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν καὶ λυμαίνεται ῥήματα δίκαια· καὶ πάλιν Οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες. φυλάσσεσθε οὖν τὸ κατακρίνειν τινὰς ἀδίκως καὶ συνηγορεῖν τοῖς πονηροῖς· Οὐαὶ γὰρ τῷ λέγοντι τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν. προσέχετε οὖν μήπως προσωπολῆπται γενόμενοι ὑποπέσητε τῇ φωνῇ * κυρίου ταύτῃ· Οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν, οἱ τιθέντες τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς. ἐὰν γὰρ ἑτέρους ἀδίκως κατακρίνητε, καθ' ἑαυτῶν ἀποφαίνεσθε· ὅτι λέγει ὁ κύριος Ὧι * κρίματι κρίνετε κριθήσεσθε, καὶ ὡς καταδικάζετε καταδικασθήσεσθε. εἰ οὖν ἀπροσωπολήπτως κρίνετε, ἐπιγνώσεσθε τὸν κατηγοροῦντα κατὰ τοῦ πλησίον αὐτοῦ μαρτυρίαν ψευδῆ καὶ ἐπιδείξας αὐτὸν συκοφάντην, βάσκανον, φονέα, ταράσσοντα ὡς κακὸν ἀντιλογίαις, ἄστατον ἐν τοῖς λόγοις ἑαυτοῦ, ἐναντίον ἐν οἷς φθέγγεται καὶ ἁλισκόμενον ῥήμασιν ἰδίου στόματος· παγὶς γὰρ αὐτῷ ἰσχυρὰ ἐφέστηκε τὰ ἴδια χείλη. ὃν μετὰ τοὺς ἐλέγχους τῆς ψευδολογίας κρινεῖς ἀποτόμως καὶ τῇ μαχαίρᾳ τοῦ πυρὸς παραδώσεις καὶ ποιήσεις αὐτῷ ὃν τρόπον ἐπο–

2 Exod 23, 7 | 3 Deut 27, 25 | 3 Deut 16, 19 | 5 Isaj 5, 23 | 10 Isaj 5, 20 | 13 Matth 7, 2

1 ἀπόσησθε z | 1 δὲ + x | 1 ὑφέξεται w | 2 τοῦ > yzt | 3 λήψει w | 4 ὀφαλμοὺς X | 4 λυμαίνονται w | 4 δίκαια wxyzt, δικαίων Cotelerius | 5 τὸν wxyzt, τὸ W | 5 ἀσεβῆι w | 6 ἄρροντες Y | 6 φυλάσσεσθε ..... 8 πονηρὸν post ταύτῃ 10 t | 6 φυλάσεσθαι w, φυλάσεσθε z | verba προσέχετε .... ταύτῃ 8—10 omittit z, neque y habet nisi in margine, sed y ante φυλάσσεσθαι 6 inseri iubet | 8. 9 προσέχεται w | 10 τοῦ + t | 10 οὐαὶ οἱ λέγοντες > yzt | 10 πυκρὸν z | 11 οἱ τιθέντες wx, τῷ τιθέντι yzt | 11 τὸ secundum > z | 12 κατακρίνειται w | 13 ἀποφαίνεσθαι w, ἀποφένεσθε z | 13 ὁ > yzt | 13 ὧ xyzt, ὃ w | 13 γὰρ + w | 13 κρίνεται w | 13. 14 κριθήσεσθαι w | 14 ὡς wx, ὧ yzt | 15 ἀπροσωπολύπτως z | 15 κρίνεται w | 16 μαρτυρήσαντα t | 17 φονέαν w | 17 ὡς κακὸν xyt, πάντας w, neutrum z | 18 ἀντιλογίαις > z | 18 ἑαυτῶ yzt | 18 ἐναντίον post ἄστατον w | 18 ἐν alterum x, > w, ἐφ' yzt | 19 οἷσπερ w | 19 φθέγκεται z | 20 ἐφέστηκεν x | 20 ὃν super versum y, > z | 21 ἐλλέγχους z | 21 κρίνεις w

νηρεύσατο ποιῆσαι τῷ πλησίον· ὅσον γὰρ * ἐπ᾽ αὐτῷ ἐφό-
νευσε τὸν ἀδελφόν, προλαβὼν τὰ ὦτα τοῦ κριτοῦ· γέ-
γραπται δὲ ὅτι Ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ τοῦ αἵματος
αὐτοῦ ἐκχυθήσεται· καὶ Ἐξαρεῖς τὸ αἷμα τὸ ἀναίτιον ἀπὸ
43 σοῦ, τὸ ἐκχυθὲν μάτην. ‖ ποιήσεις οὖν αὐτὸν ἀποσυνάγω-
p γον ὡς φονέα ἀδελφοῦ. ἔπειτα χρόνου διαστάντος, ἐὰν
λέγῃ μετανοεῖν, στιβώσατε αὐτὸν νηστείαις καὶ μετὰ ταῦτα
χειροθετήσαντες αὐτὸν προσδέξασθε, ἀσφαλισάμενοι μέντοι
αὐτὸν μή τινα ταράξῃ πάλιν. εἰ δὲ * εἰσελθὼν ὁμοίως στα-
σιάζει, οὐ παυόμενος τοῦ ταράσσειν καὶ κατακερτομεῖν τῶν
ἀδελφῶν, ἐκ φιλονεικίας μώμους ἐπιτηδεύων, ἐκβάλετε
αὐτὸν ὡς λοιμόν, ἵνα μὴ τὴν ἐκκλησίαν λυμαίνηται τοῦ
χριστοῦ· ὁ τοιοῦτος γὰρ ταραχὰς συνίστησι πόλεσιν. οὗτος
γὰρ κἂν ἔσω ᾖ, μὴ πρέπων τῇ ἐκκλησίᾳ, περισσὸς καὶ μά-
ταιος τυγχάνει, σπιλῶν ὅσον καὶ ἐπ᾽ αὐτῷ πᾶν τὸ σῶμα τοῦ
χριστοῦ. εἰ γάρ τινες τῶν ἀνθρώπων, γεννώμενοι καὶ πε-
ρισσὰ τῶν σωμάτων μέλη προσηρτημένα ἔχοντες, οἷον δακτύ-
λους ἢ ὑπερσαρκώματα, περικόπτουσιν ἀφ᾽ ἑαυτῶν ταῦτα
διὰ τὴν ἀπρέπειαν, καὶ οὐδεμία προσγίνεται ἀπρέπεια, ἀπο-
λαβόντος τοῦ ἀνθρώπου διὰ τοῦ τεχνίτου τὴν φυσικὴν εὐ-
κοσμίαν, πόσῳ μᾶλλον ὑμεῖς, οἱ ποιμένες, τῆς ἐκκλησίας
ὑπαρχούσης σώματος ἀρτίου καὶ μελῶν ὑγιεινῶν τῶν ἐπὶ
θεὸν πιστευόντων ἐν φόβῳ κυρίου καὶ ἀγάπῃ, ὅταν εὑρεθῇ
ἓν μέλος περισσόν, πονηρὰ φρονοῦν καὶ τῷ λοιπῷ σώματι

3 Genes 9, 6 | 4 Deut 19, 13

1 τὸ + super versum y, ἐλάλησεν + t qui in margine ἐν ἄλλοις το ἐπ᾽ αὐτῷ, illud ἐλάλησεν a nemine agnitum nisi a Turriano Cotelerius in ἐλάχησεν mutari vult | 1. 2 ἐφόνευσεν x | 3 ὅτι > xYz | 4 ἀνέτιον z | 6 διαστάντος xyzt, προϊόντος w | 7 λέγει wz | 7 στιβόσατε w | 7 νηστείας w | 8 προσδέξησθε x | 8 ἀσφαλησάμενοι w | 9 ταράξει wx et w quidem post πάλιν | 9 πάλιν + yt | 9. 10 στασιάζηι w | 10 κατακερτομὴν xz | 10 τῶν wxyz, τὸν Zt | 11 ἀδελφὸν t | 11 φιλονικίας x, φιλονικείας t | 11 μόμους w, μωμουν x, μωμοῦν yz | 11 ἐκβάλεται w, ἐκβαλεῖτε yzt | 13 χριστοῦ wx, θεοῦ yzt | 13 ὁτιούτος z ita coniunctum | 13 συνίστησιν x | 13 πόλεσιν yt, πόλεισιν z, πολάς w, πόλει x | 13. 14 οὗτος γὰρ > w | 14 ἔσω xyzt, ἔνδον w | 14 μὴ .... ἐκκλησίᾳ > w | 14 περισὸς w | 15 καὶ wx, τὸ yzt | 15 πᾶν > yzt | 16 γεννώμενοι > w, γενώμενοι z | 16 καὶ > w | 22 ὑπάρχοντες w | 22 ὑγιηνῶν x, ὑγιαινόντων w, ὑγιῶν yz | 22 τῶν > yzt | 24 ἓν > yz | 24 λειπῷ y

ἀπρέπειαν ἐμποιοῦν καὶ χειμάζον αὐτὸ στάσει καὶ μάχῃ καὶ καταλαλιᾷ, παρέχον αὐτῷ ψόγους, πράγματα, μώμους, καταλαλιάς, ἐγκλήματα, ἀκαταστασίας, καὶ τὰ τοιαῦτα τοῦ διαβόλου ἐνεργήματα ἐκτελῶν ὡς ἂν κεχειροτονημένος ὑπὸ τοῦ διαβόλου σκυβαλίζειν τὴν ἐκκλησίαν διὰ βλασφημιῶν καὶ πολλῆς ἀκαταστασίας καὶ ἔριδος καὶ διχοστασίας; * || οὗτος οὖν, δεύτερον ἔξω τῆς ἐκκλησίας βληθείς, ἀξίως ἀπετμήθη τῆς τοῦ κυρίου συναγωγῆς· καὶ μᾶλλον νῦν κεκόσμηται ἡ τοῦ κυρίου ἐκκλησία ἢ τὸ πρῶτον, ὅτε τὸ περιττὸν ἐκέκτητο καὶ ἑαυτῇ ἀνοίκειον μέλος· διὸ ἀπὸ τοῦ νῦν ἀβλασφήμητός ἐστιν καὶ ἀσκυβάλιστος, πονηρῶν ἀπαλλαγεῖσα, δολίων *, λοιδόρων, ἀνημέρων, προδοτῶν, μισοκάλων, φιληδόνων, κενοδόξων, ἀπατηλῶν, δοξοσόφων, ἔργον θεμένων διασπείρειν, μᾶλλον δὲ διασκορπίζειν τὰ τοῦ θεοῦ ἀρνία. σὺ οὖν, ὦ ἐπίσκοπε, σπούδαζε ἅμα τῷ ὑπὸ σὲ κλήρῳ ὀρθοτομεῖν τὸν λόγον τῆς ἀληθείας, ὅτι λέγει κύριος Ἐὰν πλάγιοι πορεύησθε *, κἀγὼ πλαγίως πρὸς ὑμᾶς πορεύσομαι· καὶ ἀλλαχοῦ Μετὰ ὁσίου ὁσιωθήσῃ * καὶ μετὰ στρεβλοῦ διαστρέψεις. ὁσίως οὖν πορεύεσθε, ἵνα μᾶλλον ἐπαίνου ἀξιωθῆτε ὑπὸ τοῦ κυρίου ἢ μέμψεως ὑπὸ τοῦ ἐναντίου. | ὁμόφρονες οὖν ὄντες πρὸς ἀλλήλους, ὦ ἐπίσκοποι, 44
εἰρηνεύετε μετ' ἀλλήλων, συμπαθεῖς, * φιλάδελφοι *, μετὰ ἀκριβείας ποιμαίνοντες τὸν λαόν, ὁμοφρόνως διδάσκοντες τοὺς ὑφ' ὑμᾶς * ὁμογνωμονεῖν καὶ τὸ αὐτὸ περὶ τῶν αὐτῶν

16 Tim β 2, 15 | 16 Lev 26, 27. 28 | 18 Psalm 18, 26. 27

1 χειμάζων wx | 2 παρέχων x | 2 αὐτὸ w | 2 ψόγους wx, φόβους yzt | 2 πράγματα > w | 2 μόμους w | 2. 3 καταλαλιάς > w | 3 ἐγκλίματα w | 3 καὶ ....... 4 ἐκτελῶν > w | 4 ἐκτελοῦν yz | 4 κεχειροτονημένον w, κεχηροτονημένος yz | 6 καὶ primum et secundum xyzt, διὰ w | 6 εἰ [δεῖ z] ἐξώσετε οὖν τὸν τοιοῦτον ἑαυτῶν καὶ περικόψετε + yz | 7 οὗτος xyzt, τὸν τοιοῦτον w | 7 οὖν > yz | 7 δεύτερον post ἐκκλησίας x | 7 ἐκβληθεὶς x, βληθὲν w | 10 καὶ ἑαυτῇ > w | 10 ἀνοίκιον wz | 11 ἔσται yz, ἐστι t | 12 ἀνδρῶν + w | 13 φιληδόνων > w | 14 διασπήρειν w | 14 θεοῦ wx, κυρίου yzt | 16 ἀληθίας X? | 17 πορεύσεισθε w, πορεύεσθε t | 17 πρός με + yzt | 17 πρὸς ὑμᾶς πλαγίως yzt | 17. 18 πορεύσομε z | 18 ὁσιωθήσει w, ὁσιοθείσῃ z | | 18 καὶ μετὰ ἀθώου ἀθῶος ἔσῃ + yzt | 20 καταξιωθῆτε yzt | 20 ὑπὸ alterum wx, ἐκ yzt | 22 εἰρηνεύεται w | 22 καὶ + y | 22 γίνεσθε + yz | 23 ποιμαίνετε yzt | 24 τὸ + w

*δοξάζειν *, ὅπως μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ ἓν σῶμα
καὶ ἓν πνεῦμα, κατηρτισμένοι τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ
γνώμῃ κατὰ τὴν κυριακὴν θέσιν. καὶ πάντα μὲν ὁ διάκο-
νος τῷ ἐπισκόπῳ ἀναφερέτω, ὡς ὁ χριστὸς τῷ πατρί· ἀλλ'
ὅσα * δύναται εὐθυνέτω δι' ἑαυτοῦ, λαβὼν παρὰ τοῦ ἐπισκό-
που τὴν ἐξουσίαν, ὡς ὁ χριστὸς παρὰ τοῦ πατρὸς * τὸ προ-
νοεῖν. τὰ δὲ ὑπέρογκα ὁ ἐπίσκοπος κρινέτω. πλὴν ἔστω
ὁ διάκονος τοῦ ἐπισκόπου ἀκοὴ καὶ ὀφθαλμὸς καὶ στόμα
καρδία τε καὶ ψυχή, ἵνα μὴ ᾖ τὰ πολλὰ μεριμνῶν ὁ ἐπίσκο-
πος ἀλλὰ μόνα τὰ κυριώτερα, ὥσπερ καὶ * Ἰωθὸρ τῷ Μωϋσῇ*
45 *διετάξατο, καὶ ἀπεδέχθη αὐτοῦ ἡ συμβουλία. | καλὸν μὲν
οὖν ἐστι τῷ χριστιανῷ ἐγκώμιον πρὸς μηδένα ἔχειν πράγ-
ματα· εἰ δὲ ἐκ τινὸς ἐνεργείας ἢ πειρασμοῦ ἐπισυμβῇ ‖ τινι
πρᾶγμα, σπουδαζέτω διαλύεσθαι αὐτό, κἂν δέῃ βλαβῆναί
τι, καὶ μὴ ἐρχέσθω ἐπὶ κριτήριον ἐθνικόν. ἀλλὰ μὴν μηδὲ
ἀνέχεσθε κοσμικοὺς ἄρχοντας κατὰ τῶν ἡμετέρων δικάζειν·
διὰ γὰρ αὐτῶν ὁ διάβολος ἐπιτηδεύει τοῖς δούλοις τοῦ θεοῦ,
καὶ ὄνειδος ἐπεγείρει ὡς μὴ ἐχόντων ἡμῶν ἕνα σοφὸν τὸν
δυνάμενον μεταξὺ βραβεῦσαι τὸ δίκαιον ἢ τὰς ἀντιλογίας*
46 *διαλῦσαι. | μὴ οὖν γινωσκέτωσαν τὰ ἔθνη τὰς πρὸς ἀλλή-
λους ὑμῶν διαφοράς, μήτε καθ' ἑαυτῶν * μαρτυρίαν παρα-
δέχεσθε τοὺς ἀπίστους, μήτε κρίνεσθε ἐπ' αὐτῶν, μήτε
ὀφείλετέ τι τούτοις πρὸς συντέλειαν ἢ φόρον, ἀλλὰ ἀπό-
δοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ, οἷον*

2 Cor α 1, 10 | 23 Matth 22, 21

1 *καὶ εὔχεσθαι* + w | 1 *ὅπως* wxyt, *ἵνα* z nisi fallunt me adversaria | 1 *ἡμῖν* x | 1 *ἦτε* xyzt, *εἶτε* w | 2 *καὶ* prius > x | 3 *θέσιν* wxt, *διδασκαλίαν* yz | 4 *ἀλλ'* wxt, *καὶ* yz | 5 *δὲ* + t | 5 *δύνατε* w | 6 *χριστὸς* wxyz, *κύριος* t | 6 *τὸ δημιουργεῖν* + yzt | 7 *δ'* t | 7 *ὑπέρογκα* wxt, *μείζονα* yz | 8 *τοῦ* > z | 8 *καὶ* utrumque > w | 9 *ἢ* xyzt, *εἶ* w | 10 *κυριότερα* wz | 10 *ὁ* + yzt | 10 *ἰώθορ* x, *ἰοθὼρ* yz, *Ἰωθὼρ* t | 10 *μωσῇ* x, *Μωυσεῖ* t | 11 *συμβουλή* w | 12 *ἐστιν* x | 12 *ἐγκόσμιον* w | 12 *πρὸ* z | 12. 13 *πρᾶγμα* w | 13 *ἔκτεινος* x ita coniunctum | 13 *ἐπὶσμβῇ* y | 13 *τινα* z | 15 *ἐθνηκὸν* w | 16 *ἀνέχεσθαι* w | 16 *ὑμετέρων* w | 17 *ἐπιτηδεύει* wxt, *ἐφεδρεύει* yz | 17 virgula post *θεοῦ* > w | 18 *καὶ* > w | 18 *ἐπεγείρει* > w, *ἐπιφέρει* x | 19 *δίκιον* y non habet sed videtur habere | 20 *τὰ* > z | 20 *τὰς* wxyz, *τὰ* t | 21 *εἰς* + t | 21. 22 *παραδέχεσθαι* w | 22 *ἐπ'* xyzt, *ὑπ'* w | 23 *ὀφειλέται* w | 23 *τι* > x | 23 *φόβον* yzt | 24 *καίσαροι* z

φόρον ἢ κῆνσον ἢ δίδραχμον, ὡς καὶ ὁ κύριος ἡμῶν δοὺς τὸν στατῆρα ἀπηλλάγη πραγμάτων. αἱροῦ οὖν μᾶλλον βλάπτεσθαι καὶ τὰ πρὸς εἰρήνην σπουδάζειν, οὐ μόνον πρὸς τοὺς ἀδελφοὺς ἀλλὰ καὶ πρὸς τοὺς ἀπίστους· βλαβεὶς γὰρ τῶν βιωτικῶν * τὰ πρὸς * θεὸν οὐ ζημιωθήσῃ, ἅτε θεοσεβὴς ὑπάρχων καὶ κατ' ἐντολὴν χριστοῦ ζῶν. εἰ δὲ ἀδελφοὶ εἰς ἀλλήλους ἔχουσιν, ὃ μὴ γένοιτο, αὐτόθεν νοεῖν ὀφείλετε οἱ προηγούμενοι ὅτι οἱ τοιοῦτοι οὐκ ἀδελφῶν * ἔργον ἐπιτελοῦσιν, ἀλλὰ μᾶλλον ἐχθρῶν πολεμίων. καὶ εἷς μὲν αὐτῶν εὑρεθήσεται ἤπιος, ἐπιεικής, φωτὸς τέκνον, ἕτερος δὲ ἀνήμερος, αὐθάδης, πλεονέκτης. ὁ οὖν καταγινωσκόμενος ἐπιτιμάσθω, ἀφοριζέσθω, δίκην τῆς μισαδελφίας τιννύτω, εἶτα μεταμελόμενος προσλαμβανέσθω· καὶ οὕτως σωφρονιζόμενοι, ἐπικουφίσουσιν ὑμῖν τὰ κριτήρια. χρὴ δὲ καὶ συγχωρεῖν τὰ εἰς ἀλλήλους ἀδικήματα, οὐ τοὺς κρίνοντας ἀλλὰ τοὺς ἔχοντας εἰς ἑαυτούς· καθὼς καὶ ὁ κύριος ἀπεφήνατο, ἐμοῦ Πέτρου ἐρωτήσαντος αὐτὸν Ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; καὶ εἰπόντος Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. οὕτως γὰρ θέλει || ὁ κύριος ἀληθῶς εἶναι * αὐτοῦ μαθητάς, καὶ μηδὲν ἔχειν * κατὰ μηδενὸς πώποτε, οἷον ὀργὴν ἄμετρον ἢ θυμὸν ἀνήμερον ἢ ἐπιθυμίαν ἄδικον ἢ μῖσος ἄσπονδον. τοὺς οὖν ὀργιζομένους συμβιβάζετε εἰς φιλίαν, τοὺς ἐχθραίνοντας εἰς ὁμόνοιαν· ὅτι λέγει ὁ κύριος Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. | τὰ δικαστήρια ὑμῶν γινέσθω δευτέρᾳ σαββά- 47
των, ὅπως, ἐὰν ἀντιλογία τῇ ἀποφάσει ὑμῶν γένηται, ἕως

17 Matth 18, 21. 22 | 25 Matth 5, 9

1 κίνσον w | 1 δίδραγμον t | 2 αἱροῦ yzt, ἐροῦ wx | 5 τῶν > w | 5 βιοτικῶν z | 5 τι + yzt | 5 τὸν + w | 5 ζημιωθήσει w | 6 χριστοῦ wxt, θεοῦ yz | 7 ἔχουσι W | 7 ἐννοεῖν w | 8 ὀφείλεται w | 8 τιοῦτοι z | 8 ἐν κυρίω + yzt | 13 τιννέτω w, τυννύτω y | 13 οὕτω yzt | 14 ὑμῶν z ?? | 15 τὰ wxyzt, τὰς X ? | 16 καὶ > yzt | 17 Πέτρου > t | 17 ἐρωτίσαντος z | 18 καὶ > w | 18 αὐτὸν x | 19 καὶ .... ἑπτάκις xyzt [λέγουσι z = λέγω σοι], ὁ δὲ ἔφη μὴ ἑπτάκις μόνον w | 20 οὕτω yz | 20 ἀληθῶς > w, ἀληθεῖς yz | 21 εἶναι post μαθητὰς w | 21 τοὺς + w | 21 καὶ > w | 21 μηδὲν xyzt, μὴ w | 21 τί + w | 23. 24 συμβιβάζεται w | 24 εἰς alterum > Y | 25 ὁ > t

σαββάτου ἔχοντες ἄδειαν δυνηθείητε * εὐθῦναι τὴν ἀντιλογίαν καὶ εἰρηνεῦσαι εἰς τὴν κυριακὴν τοὺς διαφερομένους πρὸς ἀλλήλους. συμπαρέστωσαν δὲ τῷ δικαστηρίῳ καὶ οἱ διάκονοι καὶ οἱ πρεσβύτεροι, ἀπροσωπολήπτως κρίνοντες ὡς θεοῦ ἄνθρωποι μετὰ δικαιοσύνης. παραγινομένων οὖν ἑκατέρων τῶν προσώπων, καθὼς * ὁ νόμος λέγει, στήσονται ἑκάτεροι ἐν μέσῳ τῷ κριτηρίῳ, οἷς ἔστιν ἡ ἀντιλογία. καὶ ἀκούσαντες αὐτῶν, ὁσίως ἀνενέγκατε τὰς ψήφους, σπουδάζοντες φίλους αὐτοὺς ἀμφοτέρους ποιῆσαι πρὶν ἀποφάσεως τῆς τοῦ ἐπισκόπου, ὅπως μὴ ἐξέλθοι ἐπὶ γῆς κρίσις κατὰ τοῦ ἁμαρτήσαντος, καθότι καὶ ἐν τῷ δικαστηρίῳ σύμψηφον ἔχει καὶ συνίστορα τῆς δίκης τὸν χριστὸν τοῦ θεοῦ. εἰ δέ τινες ἐν βλασφημίαις τοῦ μὴ καλῶς ὁδεύειν * ἐν κυρίῳ ἐλέγχοιντο ὑπό τινός, ὁμοίως ἀκούσαντες ἑκατέρων τῶν προσώπων, τοῦ τε κατηγοροῦντος καὶ τοῦ κατηγορουμένου, ἀλλὰ μὴ προλήψει ἢ μονομερῶς, ἀλλὰ μετὰ δικαιοσύνης ὡς ὑπὲρ ζωῆς αἰωνίου ἢ θανάτου δόντες ἀπόφασιν· δικαίως γάρ, φησὶν ὁ θεός, διώξει τὸ δίκαιον· ὁ γὰρ δικαίως τιμωρηθεὶς καὶ ἀφορισθεὶς παρ' ὑμῶν αἰωνίου ζωῆς καὶ δόξης ἀπόβλητος γέγονε καὶ παρὰ ἀνθρώποις ὁσίοις ἄτιμος καὶ παρὰ
48 θεῷ κατάδικος. | μὴ πάσης δὲ ἁμαρτίας τὴν αὐτὴν ποιεῖσθε ἀπόφασιν ἀλλ' * ἑκάστης ἰδίαν, μετὰ πολλῆς φρονήσεως κρίνοντες ἕκαστα τῶν πλημμελουμένων, τά τε σμικρὰ καὶ τὰ μεγάλα, καὶ ἄλλως ἔργου καὶ λόγου * πάλιν ἑτέρως, καὶ προθέσεως ἢ λοιδορίας ἢ ὑπολήψεως διαφόρως· καὶ τοὺς μὲν ὑποβαλεῖς μόναις ἀπειλαῖς, τοὺς δὲ πενήτων χορηγίαις,

5 Tim α 6, 11 | 6 Deut 19, 17 | 17 Deut 16, 20

1 δυνηθῆτε yzt | 1 δὲ + y | 4 ἀπροσωπολύπτως z | 4. 5 ὡς θεοῦ ἄνθρωποι post δικαιοσύνης 5 w | 5 παραγενομένων yzt | 5. 6 ἐκκατέρων w | 6 καὶ + yzt | 7 ἐκκάτεροι w | 7 μέσο w | 8 ἐπενέγκατε w | 9 αὐτοὺς φίλους t | 9 πρὶν .... 10 ἐπισκόπου > w | 10 ὅπως xyzt, ἵνα w | 11 ἔχῃ x | 13 θέλοντες + w | 14 ἐκκατέρων w | 14 προσώπον w | 16 ἢ wx, μηδὲ yzt | 17 διδόντες yzt | 17 δίκαιος w | 18 φ̄η w | 18 ὁ θεὸς > w | 18 διώξεις yz | 20 γέγονεν x | 20 παρὰ prius wxyz, παρ' t | 22 ἀλλὰ w | 22 διάφορον καὶ + w | 23 πλημμελημάτων yzt | 24 καὶ primum > yz | 24 καὶ + yz | 24 ἕτερος w | 24 καὶ ultimum > yz | 25 ἢ prius xyzt, καὶ w | 25 λοιδωρίας w | 25 καὶ διαφόρως ita transposita yz | 26 τοὺς .... χορηγίαις > w

ἄλλους δὲ νηστείαις στιβώσεις, καὶ ἑτέρους ἀφορίσεις, πρὸς
τὸ μέγεθος τοῦ ἐγκλήματος αὐτοῦ. καὶ γὰρ καὶ ὁ νόμος οὐ
παντὸς ἁμαρτήματος τὴν αὐτὴν ἐποιεῖτο τιμωρίαν, ἀλλὰ
ἄλλως μὲν τὰ εἰς θεὸν καὶ εἰς ἱερέα καὶ * εἰς ἱερὸν καὶ εἰς
ἱερεῖον, ἑτέρως δὲ τὰ εἰς βασιλέα καὶ ἄρχοντα καὶ * στρα-
τιώτην καὶ ὑπήκοον ὁμότιμον ἢ οἰκέτην, ἢ εἰς κτῆμα ἢ εἰς
ἄλογον, καὶ πάλιν παρηλλαγμένως τὰ εἰς γονεῖς καὶ συγ-
γενεῖς, ἄλλως τὰ ἐξ ἐφόδου, καὶ τὰ ἀκουσίως ἑτέρως· καὶ
τοῖς μὲν θάνατον ἢ διὰ σταυροῦ ἢ τὸν διὰ λίθων, τοῖς δὲ
ζημίαν ἢ μάστιγας ἢ τὸ τὰ ὅμοια παθεῖν οἷς ἔδρασαν. οὔ-
κουν καὶ ὑμεῖς τῶν διαφόρων ἁμαρτημάτων διαφόρους
ποιεῖσθε καὶ τὰς τιμωρίας, ἵνα μή τις ἀδικία παρεμπε-
σοῦσα κινήσῃ τὸν θεὸν πρὸς ἀγανάκτησιν· ἧς γὰρ ἂν ἀδί- b
κου κρίσεως μεσῖται γένησθε, ταύτης καὶ τὸν μισθὸν λήψεσθε
ἀπὸ θεοῦ. ᾧ γὰρ κρίματι κρίνετε κριθήσεσθε. | καθίσαντες 49
οὖν ἐπὶ τὸ κριτήριον, παρόντων ἑκατέρων τῶν προσώπων
(οὐ γὰρ ἐροῦμεν ἀδελφῶν, μέχρις οὗ ἑαυτοὺς ἐν εἰρήνῃ
ἀπολάβωσιν), ἐρευνᾶτε ἀκριβῶς περὶ τῶν ἐνεχομένων. καὶ
πρῶτον περὶ τοῦ κατηγοροῦντος, εἰ πρὸ τούτου οὐ κα-
τηγορεῖ * καὶ ἑτέροις τισὶν ἐγκλήματα κατενήνοχεν, καὶ
εἰ μὴ ἐκ μέμψεως αὐτῶν ἢ φιλονεικία καὶ τὸ ἔγκλημα ὑπό-
κειται, καὶ ὁποία τις ἡ ἀναστροφὴ αὐτοῦ ὑπάρχει. καὶ
τοιοῦτος δὲ ὢν εὐσυνείδητος, μὴ πιστευέσθω μόνος (παρά-
νομον γὰρ τὸ τοιοῦτον), ἀλλ' ἐχέτω καὶ ἑτέρους μάρτυρας
ὁμοίους αὐτῷ τὸν τρόπον, καθὼς * ὁ νόμος λέγει Ἐπὶ στό-
ματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. διὰ

15 Matth 7, 2 | 25 Deut 19, 15

2 αὐτῶν yzt | 3 ἐποιῆτο w | 4 ἄλλως + y, ἄλλος + z: in margine y γραφ καὶ ἄλλος | 5 ἱερεῖον xyzt, ἔριον w | 5 δὲ > yzt | 5 ἑτέρως + yz | 6 ἢ οἰκέτην > w | 7 καὶ prius > yz | 10 ἔδρασεν t | 13 κινήσει w | 14 γενήσεσθε w, γένεισθε x | 14 λήψεσθε μισθὸν [ita] post θεοῦ 15 yzt | 15 ὦ xyzt, ὃ w | 15 κρῖνεται w | 16 τῶι κριτηρίωι W | 16 ἐκκατέρων w | 18 ἐρευνᾶται w | 18 περὶ .... 19 πρῶτον > z | 19 πρὸ wx, πρώτου yzt | 19 τούτου wxyzt, τοῦ z | 19 οὐ > yzt | 19. 20 κατηγόρει w | 20 ἢ + yzt | 20 τησὶν w | 20 προσενήνοχε w, κατενήνοχε yzt | 21 πέμψεως w, μέψεως z | 21 αὐτῶν Wxyzt, αὐτοῦ w | 21 φιλονικεία x | 22 τις > w | 24 τοιοῦτο z atque ita correctum videtur in y | 25 αὐτοῦ w | 25 καὶ + w | 26 καὶ τριῶν μαρτύρων yzt

τί δὲ εἴπομεν τὸν τρόπον αὐτῶν ἐπιζητεῖσθαι ὁποῖος * τυγχάνει; ἐπειδὴ πολλάκις ἐγχωρεῖ καὶ τοὺς δύο καὶ τοὺς πλείονας ἐπὶ κακῷ μαρτυρῆσαι καὶ συμφώνως προστῆναι τοῦ ψεύδους, ὡς τοὺς δύο πρεσβυτέρους κατὰ Σωσάννης ἐν Βαβυλῶνι, καὶ τοὺς υἱοὺς τῶν παρανόμων κατὰ * Ναβουθὲ ἐν Σαμαρείᾳ, καὶ τὸ πλῆθος τῶν Ἰουδαίων κατὰ τοῦ κυρίου ἐν Ἱερουσαλὴμ καὶ κατὰ Στεφάνου τοῦ πρωτομάρτυρος αὐτοῦ. ἔστωσαν οὖν οἱ μάρτυρες πραεῖς, ἀόργητοι, ἐπιεικεῖς, ἀγαπητικοί, σώφρονες, ἐγκρατεῖς, ἀπόνηροι, πιστοί, θεοσεβεῖς· ἡ γὰρ τῶν τοιούτων μαρτυρία καὶ διὰ τοῦ τρόπου αὐτῶν βεβαία * καὶ διὰ τῆς ἀναστροφῆς αὐτῶν ἀληθὴς ὑπάρχει. τῶν δὲ μὴ τοιούτων μὴ παραδέχεσθε τὰς μαρτυρίας, κἂν συμφωνεῖν δοκῶσιν ἐπὶ τῇ καταμαρτυρίᾳ· προστέτακται γὰρ ἐν τοῖς νόμοις Οὐκ ἔσῃ μετὰ πολλῶν ἐπὶ κακίᾳ· οὐ παραδέξῃ ἀκοὴν ματαίαν· οὐ συγκαταθήσῃ μετὰ πλήθους ἐκκλῖναι τὸ δίκαιον. ἐν μέρει δὲ καὶ τὸν κρινόμενον εἰδέναι ὀφείλετε * ὁποῖός ἐστι τῇ τοῦ βίου συνηθείᾳ καὶ ἀναστροφῇ· εἰ μεμαρτυρημένος τὸν βίον, εἰ ἀνέγκλητος, εἰ ὁσιότητα ἐξηλωκώς, εἰ φιλόχηρος καὶ φιλόξενος καὶ φιλόπτωχος καὶ φιλάδελφος, εἰ μὴ αἰσχροκερδὴς καὶ μὴ βρώτης καὶ χρηματόλαιψ, εἰ σώφρων καὶ μὴ ἄσωτος, εἰ μὴ μέθυσος καὶ μὴ ἀργοφάγος, εἰ μὴ εὔσπλαγχνος καὶ εὐμετά-
50 δοτος. | εἰ γὰρ αὐτῷ προϋπόκεινται ἔργα φαῦλα, ἤδη ἐκ μέρους ἀληθεῖς ἂν εἶεν καὶ αἱ νῦν αὐτῷ ἐπιφερόμεναι κατηγορίαι, εἰ μὴ ἂν αὐτῷ τὸ δίκαιον ἔχει συναγωνιζόμενον· ἐγχωρεῖ γὰρ αὐτὸν ἡμαρτηκέναι μέν ποτε, τούτου δὲ τοῦ ἐγκλήματος ἀθῷον ὑπάρχειν. διὸ ἀκριβῶς περὶ τὰ τοιαῦτα

14 Exod 23, 2. 1

1 τρόπων z | 1 τις + yz | 3 συμφόνως w | 3 τοῦ > x | 4 σωσάννας x | 5 τοῦ + yzt | 5. 6 ναβουθαὶ yzt (N'' t) | 10 ἡ xyzt, εἰ w | 11 ὑπάρχει + w | 11. 12 αὐτῶν ἀληθὴς ὑπάρχει > w | 12 δὲ xyzt, γὰρ w | 12 παραδέχεσθαι w | 12. 13 τὴν μαρτυρίαν yzt | 13 δοκῶσι W | 14 τῷ νόμῳ t | 15 συγκαταθήσει w | 16 πλῆθος w | 16 ἐγκλῖναι w | 16 ἐν .... κρινόμενον > w | 17 καὶ τὸν κρινόμενον + w | 17 ἐστιν x | 18 μεμαρτυριμένος w | 19 ὁσιώτητα wy | 19 ἐζηλωκός w | 19 φιλόχηρος καὶ > yz | 19 καὶ ultimum xyzt, εἰ w | 20. 21 καὶ μὴ βρώτης > wyz | 21 χρηματόλαιψ wx, πολυανάλωτος yz, χρηματολαίλαιψ t | 21 εἰ μὴ wx, ἢ yzt | 22 καὶ μὴ wx, ἢ yzt | 22 ἀργοφάος W | 22 μὴ alterum > yzt | 23 προϋπόκειται yzt | 23 ἤδει w | 24 ἐπιφερόμεναι αὐτῷ t | 25 ἔχοι yz, z a correct

νήφοντες, ἀσφαλεῖς καὶ βεβαίας ποιεῖσθε τὰς ἀποφάσεις
κατὰ τοῦ ἐλεγχθέντος· καὶ ἐὰν μετὰ τὸν ἀφορισμὸν * συγ-
γνώμην αἰτῇ καὶ προσπέσῃ τῷ ἐπισκόπῳ καὶ ἡμαρτηκέναι
ὁμολογῇ, προσδέξασθε αὐτόν. μήτε δὲ τὸν συκοφάντην ἀτι-
μώρητον ἐάσητε, ἵνα μὴ καὶ ἕτερόν τινα καλῶς βιοῦντα
βλασφημήσῃ ἢ ἕτερον * προτρέψηται τὰ ὅμοια αὐτῷ δρᾶσαι,
μήτε μὴν τὸν ἐλεγχθέντα ἀνύβριστον *, ὅπως μὴ καὶ ἕτερος
τοῖς αὐτοῖς ἐνσχεθῇ. οὔτε γὰρ μάρτυς κακῶν ἀτιμώρητος
ἔσται οὔτε ὁ πλημμελῶν δίκης ἐκτός. | εἴπομεν δὲ ὅτι * 51
κρίσεις οὐ δίκαιον μονομερεῖς ποιεῖσθαι· ἐὰν γὰρ τοῦ ἑνὸς
προσώπου ἀκούσητε, μὴ παρόντος τοῦ ἑτέρου μηδὲ ἀπολο-
γησαμένου πρὸς τὸ ἐπιφερόμενον ἔγκλημα, καὶ προπετῶς
ἐξενέγκητε ψῆφον κατακρίσεως, ἔνοχοι τῆς ἀναιρέσεως καὶ
συμμερῖται τῷ συκοφάντῃ παρὰ θεῷ εὑρεθήσεσθε τῷ δι-
καίῳ κριτῇ· ὡς γὰρ ὁ κρατῶν κέρκου κυνός, οὕτως ὁ προε-
στὼς ἀλλοτρίας κρίσεως. ἐὰν δὲ μιμηταὶ γένησθε τῶν ἐν
Βαβυλῶνι πρεσβυτέρων, οἵτινες καταμαρτυρήσαντες τῆς
Σωσάννης ἀδίκως κατεδίκασαν αὐτὴν εἰς θάνατον, ἔνοχοι
τῆς ἐκείνων κρίσεως καὶ καταδίκης γενήσεσθε· ὅτι τὴν μὲν
Σωσάνναν ὁ κύριος διὰ τοῦ Δανιὴλ ἐρρύσατο ἐκ χειρὸς
παρανόμων, τοὺς δὲ ἐνόχους τοῦ αἵματος αὐτῆς πρεσβυτέ-
ρους * πυρὶ κατεδίκασεν, ὑμᾶς δὲ δι' αὐτοῦ ὠνείδισε λέγων
Οὕτως μωροί, * υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρίναντες οὐδὲ τὸ
σαφὲς ἐπιγνόντες κατεκρίνατε θυγατέρα Ἰσραήλ; ἀναστρέ-
ψατε οὖν εἰς τὸ κριτήριον· ψευδῆ γὰρ οὗτοι κατεμαρτύρη-
σαν αὐτῆς. | θεάσασθε δὲ καὶ τὰ κοσμικὰ δικαστήρια, ὧν 52
τῇ ἐξουσίᾳ ὁρῶμεν ἀγομένους φονεῖς, μοιχούς, φαρμακούς,

15 Prov 26, 17 | 23 Susanna 48. 49

1 ποιεῖσθαι z | 2 ἐλέγχοντος w | 2 μὲν + yz | 3 προσπέσει w | 3 ἡμαρτικέναι z | 4 ὁμολογεῖ wx | 4 μήτε xyzt, μὴ w | 4. 5 ἀτιμώριτον w | 6 βλασφημήσει w | 6 τινα + t | 7 ἐάσηται + w | 7 ὅπως xyzt, ἵνα w | 7 μὴ > w | 7 καὶ > t | 8 ἐνσχυνθῇ w | 8 κακῶς w | 9 ἔστω W? | 9 οὐθ' t | 9 πλημελῶν y | 9 τὰς + yzt | 10 κρίσις x | 11 παρόντως x | 11 τοῦ > yz | 12 καὶ > yzt | 14 συμμερισταὶ w, συμμετριταὶ t | 14 εὑρεθήσεσθαι w | 18 σωσάννας x | 19 γενήσεσθαι w, γένησθε xt | 20 χειρὸς W? xyzt, χειρῶν w | 22 ἐν + yzt | 22 ὀνειδήσει w, ὠνείδισεν x, ὠνέσδισε z | 23 οὕτω z | 23 οἱ + zt | 24 ἐπιγνῶντες w | 24 θυγατέραν w | 26 δὲ > z, super versum y

τυμβωρύχους, ληστάς· καὶ τὰς ἀνακρίσεις αὐτῶν λαβόντες οἱ ἡγούμενοι ὑπὸ τῶν προσαγόντων, λέγουσι τῷ κακούργῳ εἰ ταῦτα οὕτως ἔχει· κἀκείνου συγκατατιθεμένου, οὐκ εὐθέως ἐπὶ τὴν κόλασιν αὐτὸν ἐκπέμπουσιν, ἀλλὰ πλείοσιν ἡμέραις ποιοῦνται αὐτοῦ τὴν ἐξέτασιν μετὰ συμβουλίου πολλοῦ καὶ παραπετάσματος μέσου· * τελευταῖον ὅρον καὶ ψῆφον θανάτου * ὁ μέλλων ἐκφέρειν κατ' αὐτοῦ, πρὸς τὸν ἥλιον ἐπάρας τὰς χεῖρας, διαμαρτύρεται ἀθῷος ὑπάρχειν τοῦ αἵματος τοῦ ἀνθρώπου, καίτοι * ὄντες ἐθνικοὶ καὶ οὐ γινώσκοντες θειότητα ἢ τὴν εἰς αὐτοὺς ἀπὸ θεοῦ ἄμυναν
53 ὑπὲρ τῶν ἀναιτίως κατακριθέντων *. | ὑμεῖς δέ, γινώσκον-
τες τίς ὁ θεὸς ἡμῶν καὶ ὁποῖα τὰ κρίματα αὐτοῦ, πῶς ἂν κατὰ ἐπήρειαν δυνήσεσθέ τινι ἀπόφασιν δοῦναι, τῆς κρίσεως ἡμῶν παραχρῆμα γινωσκομένης θεῷ; καὶ εἰ μὲν * δικαίως ἐκρίνατε, δικαίων ἀμοιβῶν καταξιωθήσεσθε καὶ νῦν καὶ εἰς αὖθις· εἰ δὲ ἀδίκως, πάλιν τῶν ὁμοίων τεύξεσθε. ἡμεῖς μὲν οὖν, ἀδελφοί, συμβουλεύομεν ὑμῖν μᾶλλον ἐπαίνων ἀξιοῦσθαι παρὰ * θεῷ, ἢ ψόγων· ὅτι * θεοῦ ἔπαινος ζωὴ αἰώνιος ἀνθρώποις, ὥσπερ οὖν καὶ ὁ ψόγος θάνατος ἀίδιος. διὸ γίνεσθε δίκαιοι κριταί, εἰρηνοποιοί, ἀόργητοι· ὁ ὀργιζόμενος γὰρ τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ ἔνοχος ἔσται τῇ κρίσει. εἰ δὲ * συμβῇ ἐξ ἐνεργείας τινὸς ὀργισθῆναι ὑμᾶς κατά τινος, ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῇ ὀργῇ ὑμῶν. || * ὀργίζεσθε γάρ, φησὶν ὁ Δαβίδ, καὶ μὴ ἁμαρτάνετε, τοῦτ' ἔστι ταχέως διαλλάσσεσθε, ὅπως μὴ ἡ ἐπίμονος ὀργὴ μνησικακία γένηται καὶ ἁμαρτίαν ἀπεργάσηται. ψυχαὶ γὰρ μνησικάκων εἰς θάνατον, φησὶν ὁ Σολομών. λέγει δὲ καὶ

24 Psalm. 4, 5 | 26 Prov 12, 28

1 τυμβορύχους xz | 2 λέγουσιν x | 3 συγκαταθεμένου yzt | 5 αὐτοῦ post ἐξέτασιν w | 6 οὐ + w, εἶτα + yz | 7 δίδοντες ἀλλ' + w | 7 τὸν wxyzt, τὸ W | 9 δὲ + yz | 9 ἐθνηκοὶ w | 11 τοῦτο ποιοῦσι + yz, ἀποφεύγουσιν + t | 13 κατ' yzt | 14 ὑμῶν t | 14 καὶ > yz | 14 οὖν + yz | 15 ἐκρίνετε z | 18 τοῦ + yz | 18 θεῷ wxt, θεοῦ yz | 18 ὁ + yz | 19 οὖν > t | 21 εἰκῆι w | 22 καὶ + yzt | 22 ἐνεργίας z | 23 ἐπιδυνέτω w | 23 τῷ παροργισμῷ yz | 24 τοῦτο συνοδὰ καὶ ὁ δᾱδ φησὶ + yz (φησιν z) | 24 γάρ ... Δαβὶδ > yz | 25 ἔστιν x | 25 διαλλάσεσθε wyzt, διαλάσεσθε x, διαλλάσθε Y | 25 ἡ > w | 26 ἀπηργάσηται z | 26 γὰρ wxt, δὲ yz | 27 καὶ > t

ὁ κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς ὁ χριστὸς ἐν εὐαγγελίοις Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον καὶ ἐκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρον * ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. δῶρον δέ ἐστι θεῷ ἡ ἑκάστου προσευχὴ καὶ εὐχαριστία· ἐὰν οὖν ἔχῃς τι κατὰ τοῦ ἀδελφοῦ σου ἢ αὐτὸς ἔχῃ τι κατὰ σοῦ, οὔτε αἱ προσευχαί σου εἰσακουσθήσονται οὔτε αἱ εὐχαριστίαι σου προσδεχθήσονται διὰ τὴν ὑποκειμένην ὀργήν. χρὴ δὲ συνεχῶς προσεύχεσθαι ὑμᾶς, ἀδελφοί· ἀλλ' ἐπειδὴ τῶν ἐν ὀργαῖς ἀδίκως ἐχθραινόντων ἀδελφοῖς ὁ θεὸς οὐχ ὑπακούει, καὶ ἐὰν τρὶς τῆς ὥρας προσεύξωνται, χρὴ διαλύειν πᾶσαν ἔχθραν καὶ μικροψυχίαν, ἵνα δυνώμεθα προσεύχεσθαι καθαρᾷ τῇ καρδίᾳ καὶ ἀρύπῳ. καίτοιγε καὶ ἐχθροὺς ὁ κύριος ἀγαπᾶν προσέταξεν, οὐχὶ δὲ καὶ τοὺς φίλους μισεῖν· καὶ ὁ νομοθέτης φησὶν Οὐ μισήσεις πάντα * ἄνθρωπον· οὐ μισήσεις τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν· Οὐ μισήσεις * Αἰγύπτιον, ὅτι πάροικος ἦσθα παρ' αὐτῷ· οὐ μισήσεις Ἰδουμαῖον, ὅτι ἀδελφός σου ἐστί. καὶ ὁ Δαβὶδ λέγει Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. ὅθεν εἰ χριστιανὸς εἶναι θέλεις, ἐξακολούθει τῷ τοῦ κυρίου νόμῳ Λύε πάντα σύνδεσμον ἀδικίας· ἐπὶ σοὶ γὰρ * ἐξουσίαν ὁ σωτὴρ ἔθετο ἀφιέναι ἁμαρτίας τῷ ἀδελφῷ τὰς εἰς σὲ γενομένας ἕως ἑβδομηκοντάκις ἑπτά, τοῦτ' ἔστι τετρακοσίας ἐνενήκοντα. ποσάκις οὖν ἤδη ἀφῆκας τῷ ἀδελφῷ

2 Matth 5, 23. 24 | 16 Lev 19, 17 | 19 Deut 23, 8 | 21 Psalm 7, 5 | 23 Isaj 58, 6

1 ὁ alterum > z | 3 ἔχει ante ὁ yz | 4 σου + yzt | 6 ἐστιν xt | 6 ἕκαστον z | 7 ἔχεις xZ | 8 ἔχει xz | 8 αἱ wxyt, ἐ z | 9 οὔτε … προσδεχθήσονται > z | 10 κειμένην Yz | 11 ἀλλ' wxt, καὶ yz | 11 ἐπιδὴ z | 12 οὐκ ἐπακούει yzt | 12 τρὶς τῆς wxyt, τρεῖς τῆς z, τρίτης W | 12. 13 προσεύξονται w | 14 ἀρρύπω yz | 25 προσέταξε W | 16 μοθέτης [sic] W | 16 φησὶν > yz | 16. 17 μησήσεις Y | 17 φησὶ + y, φησὶν + z | 18 ἐλέγξῃς x | 19 τὸν + w | 20 ἤισθα w | 20 σοι w | 21 ἐστίν xz | 21 λέγει > yz | 21 ἀνταποδίδουσίν x | 22 θέλεις εἶναι yzt | 22 ἀκολούθει yz | 23 ὁ κύριος + t, ὁ σωτὴρ + yz | 24 ὁ σωτὴρ > yzt | 25 ἔστιν x | 25. 26 τετρακόσια w, τετρὰς x | 26 ἀφῆκας ἤδη yz

σου, ἵνα μὴ θελήσῃς αὐτῷ ἀφιέναι καὶ νῦν; καίτοι ἀκούσας τοῦ Ἱερεμίου λέγοντος ὅτι Ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν. σὺ δὲ μνησικακεῖς καὶ συζητεῖς ἔχθραν καὶ ἐπὶ κρίσιν ἔρχῃ καὶ μῆνιν ὑφορᾶσαι * καὶ ἡ προσευχή σου ἐμποδίζεται. ἀλλ' εἰ καὶ τὰ τετρακόσια ἐνενήκοντα συνεχώρησας ἀφεὶς τῷ ἀδελφῷ σου, πλεόνασον τὴν ἀοργησίαν ἐπὶ πλεῖον εἰς ἀγαθοσύνην δι' ἑαυτόν· κἂν * ἐκεῖνος μὴ ποιῇ, ἀλλά γε σὺ διὰ τὸν θεὸν σπούδαζε ἀφιέναι τῷ πλησίον, ὅπως γένῃ υἱὸς τοῦ πατρός σου τοῦ ἐν οὐρανοῖς καὶ προσευχόμενος ὑπακούῃ ὡς φίλος
54* θεοῦ. | διὰ τοῦτο, ὦ ἐπίσκοποι, μελλόντων ὑμῶν εἰς προσευχὴν ἀπαντᾶν μετὰ τὴν ἀνάγνωσιν καὶ τὴν ψαλμῳδίαν καὶ τὴν ἐπὶ ταῖς γραφαῖς διδασκαλίαν, ὁ διάκονος ἑστὼς πλησίον ὑμῶν μετὰ ὑψηλῆς φωνῆς λεγέτω Μή τις κατά τινός; μή τις ἐν ὑποκρίσει; ἵνα ἐὰν εὑρεθῇ ἐν τισὶν ἀντιλογία, συνειδήσει κρουσθέντες δεηθῶσι τοῦ θεοῦ καὶ διαλλαγῶσι τοῖς ἀδελφοῖς. εἰ γὰρ τοὺς ἐν οἰκίᾳ τινὸς εἰσερχομένους πρὸ πάντων δεῖ λέγειν Εἰρήνη τῷ οἴκῳ || τούτῳ, ὡς υἱοὺς εἰρήνης εἰρήνην χαριζομένοις τοῖς ἀξίοις, καθὼς γέγραπται * Τοῖς ἐγγὺς καὶ τοῖς μακράν, οὓς ἔγνω κύριος ὄντας αὐτοῦ, πολλῷ μᾶλλον τοὺς ἐν ἐκκλησίᾳ θεοῦ εἰσερχομένους χρὴ πρὸ πάντων προσεύχεσθαι τῷ θεῷ τὴν τοῦ λαοῦ εἰρήνην. εἰ δὲ ἄλλοις ταύτην ἐπεύχεται, * πολλῷ μᾶλλον αὐτὸς αὐτῆς ἐντὸς ὑπαρχέτω ὡς τέκνον φωτός· ὁ γὰρ μὴ ἔχων ταύτην ἐν ἑαυτῷ οὐκ ἔστιν ἀξιόπιστος ἄλλοις αὐ-

2 Zach 8|, 17 | 9 Matth 5, 45 | 18 Luc 10, 5 | 20 Eph 2, 17 | 20 Tim β 2, 19

1 ἵνα ... θελήσῃς wxt, ὅτι οὐ θέλεις yz | 2 ὅτι > yz | 3 λογίζεσθαι w | 4 μνησικακακεῖς y | 4 συζητεῖς wx, συντηρεῖς yzt | 4 ἔρχει x | 5 μήνην w | 5 ὑφορᾷ t, φυλάττεις yz | 5 διὰ τοῦτο + yz | 6 συνεχώρησας > t | 7 ἀγαθωσύνην y | 8 δι' ἑαυτόν wxt, διὰ σεαυτόν yz | 8 οὖν + yz | 8 ποιεῖ t | 9 ἀφεῖναι x | 11 τοῦ + w | 11 εἰς > yz, πρὸς y in margine | 12 ἁπάντων w | 15 τησιν w | 16 δεηθῶσιν x | 16. 17 διαλλαγῶσιν x | 17 οἰκεία x | 19 χαριζομένους yzt | 20 ἐλθὼν εὐηγγελίσατο (εὐιγγ" z) εἰρήνην ὑμῖν + yz | 20 ἐνγὺς W | 20 τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς yz | 20 οὓς .... 21 αὐτοῦ > yz | 21 πολλῶν z, πολὺ t | 21 μᾶλλων z | 22 ἐπεύχεσθαι yzt | 22. 23 τῷ .... λαοῦ wx, τῷ λαῷ τὴν τοῦ θεοῦ yz, τὴν τοῦ θεοῦ t | 23 δὲ wxt, γὰρ yz | 23 rasura w | 23 πολὺ t | 24 ὑπαρχέτω wx, ὑπάρχειν ὀφείλει yz | 25 ταύτην wx, αὐτὴν yzt

*τὴν χαρίζεσθαι. διὸ πρὸ πάντων χρὴ εἰς ἑαυτὸν εἰρηνεύειν αὐτόν· ὁ γὰρ πρὸς ἑαυτὸν μὴ στασιάζων οὔτ' ἂν πρὸς ἄλλον διαμαχεσθήσεται, ἀλλ' ἔσται εἰρηνικός, φιλικός, συνάγων τὰ τοῦ κυρίου καὶ συνεργὸς αὐτοῦ γινόμενος πρὸς τὸ πλεονάσαι αὐτῷ τοὺς σωζομένους ἐν ὁμονοίᾳ. οἱ γὰρ ἐπινοοῦντες ἔχθρας καὶ μάχας, ἀντιλογίας καὶ κρίσεις πονηροὶ*
*καὶ τοῦ θεοῦ ἀλλότριοι τυγχάνουσιν. | ὁ γὰρ θεὸς θεὸς ὢν* 55
*ἐλέους, ἀπ' ἀρχῆς ἑκάστην γενεὰν ἐπὶ μετάνοιαν καλεῖ διὰ τῶν δικαίων καὶ τῶν προφητῶν· καὶ τοὺς μὲν πρὸ τοῦ κατακλυσμοῦ διὰ τοῦ Ἄβελ καὶ Σὴμ καὶ Σήθ, ἔτι δὲ Ἐνὼς καὶ τοῦ μετατεθέντος Ἐνὼχ ἐσωφρόνιζε, τοὺς δὲ ἐν τῷ κατακλυσμῷ διὰ τοῦ Νῶε, τοὺς ἐν Σοδόμοις διὰ τοῦ φιλοξένου Λώτ, * τοὺς * μετὰ τὸν κατακλυσμὸν διὰ Μελχισεδὲκ καὶ τῶν πατριαρχῶν καὶ τοῦ θεοφιλοῦς Ἰώβ, τοὺς ἐν Αἰγύπτῳ διὰ Μωσέως, τοὺς Ἰσραηλίτας δι' αὐτοῦ καὶ Ἰησοῦ καὶ Χαλὲβ καὶ Φινεὲς καὶ τῶν λοιπῶν, τοὺς μετὰ τὸν νόμον δι' ἀγγέλων καὶ προφητῶν, τοὺς αὐτοὺς διὰ τῆς ἰδίας ἐνανθρωπήσεως τῆς ἐκ πνεύματος ἁγίου καὶ παρθένου γενομένης, τοὺς πρὸ μικροῦ τῆς ἀναδείξεως αὐτοῦ τῆς σωματικῆς διὰ Ἰωάννου τοῦ προδρόμου, τοὺς δὲ αὐτοὺς διὰ τοῦ αὐτοῦ καὶ μετὰ τὴν γένεσιν αὐτοῦ λέγων Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν, τοὺς μετὰ τὸ πάθος αὐτοῦ δι' ἡμῶν τῶν δώδεκα καὶ τοῦ τῆς ἐκλογῆς σκεύους Παύλου. ἡμεῖς οὖν οἱ καταξιωθέντες εἶναι μάρτυρες τῆς παρουσίας αὐτοῦ σὺν Ἰακώβῳ τῷ τοῦ κυρίου ἀδελφῷ καὶ ἑτέροις ἑβδομήκοντα δύο μαθηταῖς καὶ τοῖς ἑπτὰ διακόνοις αὐτοῦ * ἐκ στόματος τοῦ*

21 Matth 3, 2 | 23 Act 9, 15

2 *μὴ πρὸς ἑαυτὸν* yzt | 2 *οὐδ'* yzt | 3 *ἀλλ' ἔστω* w, *ἀλλ' ἔσται* > x | 3 *εἰρινικὸς* z | 4 *γιγνόμενος* yzt | 5 *αὐτῶ* xyzt, *ἑαυτὸν* w | 5 *γὰρ* wxt, *δὲ* yz | 10 *κατακλισμοῦ* w | 10 *καὶ σήθ καὶ σήμ* w | 11 *μεταθέντος* t | 11 *ἐσωφρόνιζεν* x | 11. 12 *κατακλισμῶ* w | 13 *καὶ* + z | 13 *δὲ* + x | 13 *κατακλισμ..* W, *κατακλισμὸν* w | 14 *θεοφίλου* z | 15 *μωϋσέως* w | 16 *χαβέλ* w, *χάλεβ* y | 16 *τὸν* > t | 16 *διὰ* w | 17. 18. *ἐνανθρωπίσεως* wy | 18 *πνεύματος ἁγίου καὶ* > yzt, sed y + in margine *ἐκ πνεύματος ἁγίου καὶ* | 20 *δὲ* > w, *δ'* xt | 20 *διὰ τοῦ* wyzt, *διαὐτοῦ* x | 21 *γέννεσιν* w, *γέννησιν* z | 21 *λέγοντος* yzt, *λέγωντος* Z | 21 *ἤγγικεν* x | 23 *ἐκκλογῆς* z | 25 *ἑβδομικοντα* w | 25. 26 *ἑβδομήκοντα δύο* wxyz, *δώδεκα* t: correctum iam in P | 26 *ᾱ* + y

*κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ ἠκούσαμεν καὶ ἀκριβῶς εἰδότες λέγομεν τί ἐστι τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον τὸ διὰ υἱοῦ γνωρισθὲν ἡμῖν, ἵνα μηδεὶς ἀπόληται, ἀλλὰ πάντες ἄνθρωποι συμφώνως πιστεύσαντες αὐτῷ αἶνον*
56 *σύμφωνον ἀναπέμψαντες αὐτῷ ζήσωσιν αἰωνίως. | τοῦτο γάρ ἐστιν ὃ ἐδίδαξεν ἡμᾶς ὁ κύριος προσευχομένους λέγειν τῷ πατρὶ αὐτοῦ Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ * γῆς, * ὅπως, ὡς αἱ ἐπουράνιαι φύσεις τῶν ἀσωμάτων δυνάμεων πασῶν δοξάζουσι τὸν θεὸν συμφώνως, οὕτως καὶ * ἐπὶ * γῆς πάντες * ἄνθρωποι ἐν ἑνὶ στόματι καὶ μιᾷ διαθέσει δοξάζωσι τὸν μόνον θεὸν τὸν ἕνα καὶ ἀληθινὸν διὰ τοῦ μονογενοῦς χριστοῦ. θέλημα οὖν αὐτοῦ ἐστιν αἰνεῖν αὐτὸν ὁμοφρόνως καὶ προσκυνεῖν αὐτὸν συμφώνως. τοῦτο γὰρ αὐτοῦ ἐστι θέλημα ἐν χριστῷ, πολλοὺς εἶναι τοὺς σωζομένους ἐν αὐτῷ, ἀλλὰ μὴ ζημιοῦν αὐτὸν μηδὲ ἐλαττονεῖν ὑμᾶς τὴν ἐκκλησίαν ἢ συστέλλειν τὸν ἀριθμὸν διὰ μιᾶς ψυχῆς ἀνθρώπου ὑφ' ὑμῶν ἀναιρεθείσης, ἥτις ἠδύνατο σωθῆναι διὰ μετανοίας, ἀπώλετο δὲ οὐ μόνον ἐξ ἰδίας ὀργῆς ἀλλ' ἤδη καὶ ἐξ ὑμετέρας ἐπιβουλῆς, καὶ ἐπληρώσατε τὸ γεγραμμένον Ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει. τοιοῦτος δέ, ὢν σκορπιστής, * προβάτων ἀντίδικος, θεοῦ ἐχθρός, τῶν ἀρνίων * φθορεύς *, ὧν ὁ κύριος ποιμὴν ὑπῆρξε καὶ ἡμεῖς συναγωγοὶ ἐκ διαφόρων ἐθνῶν καὶ γλωσσῶν ἐν πολλῷ μόχθῳ καὶ κινδύνῳ καὶ κόπῳ διηνεκεῖ, * ἀγρυπνίαις, ἀσιτίαις, χαμευνίαις, διωγμοῖς, πληγαῖς, φυ-*

2 Rom 12, 2 | 3 Ioh 3, 15 | 7 Matth 6, 10 | 20 Matth 12, 30

1 *καὶ* > yz | 2 *λέγωμεν* x | 2 *ἐστιν* x | 3 *υἱοῦ* wx, *ἰησοῦ* yzt | 3 *μηθεῖς* x | 5 *αἰωνίος* z | 5. 6 *γάρ ἐστιν* wxt, *δηλοῖ* yz | 8 *τῆς* + yzt | 8 *τουτέστιν* + yz | 8 *αἱ* .... 9 *πασῶν* wxt, nisi quod *ἐπουράνιε* w, *ἐπουράνιοι* et *πᾶσαι* t, *αἱ ἀσώματοι δυνάμεις πᾶσαι ἐν οὐρανοῖς* yz | 9 *δοξάζωσι* w, *δοξάζωσιν* x | 9 *οὕτω* yzt | 10 *οἱ* + yz | 10 *τῆς* + t | 10 *οἱ* + t | 10 *ἐν* > x | 11 *δοξάζουσι* z | 13 *ὁμοφρόνως* ..... *αὐτὸν* > w | 13. 14 *καὶ προσκυνεῖν* ... *συμφώνως* > Yz | 14 *ἐστιν* x | 15 *σωζωμένους* w | 16 *ἐλαττοῦν* yz | 17 *ἀναιρεθήσεις* w, *ἀνερεθείσης* t | 18 *ἥτης* w | 18 *ἐδύνατο* yz | 18 *ἀπόλετο* z | 19 *ἴδη* w | 21. 22 z *σκορπιστής* cum *προβάτων*, *ἀντίδικος* cum *θεοῦ*, *ἐχθρὸς* cum *τῶν ἀρνίων* iungit | 21 *ἐστι* + w | 22 *καὶ* + w | 22 *ἐστιν* + y | 23 *ὑπῆρξεν* x | 23 *ἡμεῖς συναγωγοὶ* wxt, *ὑμεῖς οὖν συνάγειν ὀφείλοντες τοὺς* yz | 23 *ἐθνῶν* > z | 25 *ἐν* + yz | 25 *χαμευνίας* x

λακαῖς, ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες πληρώσωμεν τὸν τρίκλινον τῶν ἀνακειμένων, τοῦτ᾽ ἔστι τὴν ἱερὰν καὶ καθολικὴν ἐκκλησίαν εὐφραινομένων τῶν κλητῶν καὶ ἀγαλλιωμένων, ὑμνούντων καὶ || δοξαζόντων τὸν καλέσαντα αὐτοὺς a δι᾽ ἡμῶν εἰς ζωήν, ὃν ὑμεῖς ὅσον τὸ ἐφ᾽ ὑμῖν διεσκορπίσατε. καὶ ὑμεῖς δέ, οἱ λαϊκοί, εἰρηνεύετε πρὸς ἀλλήλους, σπουδάζοντες ὡς φρόνιμοι τὴν ἐκκλησίαν αὔξειν καὶ τὰ νομιζόμενα ἄγρια ἐπιστρέφειν εἰς αὐτὴν καὶ ἐξημεροῦν καὶ ἀποκαθιστᾶν. καὶ * οὗτός ἐστιν ὁ μέγιστος ἐξ ἐπαγγελίας μισθὸς παρὰ θεοῦ * Ἐὰν ἐξαγάγῃς ἐξ ἀναξίου * τίμιον, ὡς τὸ στόμα μου ἔσῃ. | σὺ δέ, ὁ ἐπίσκοπος, 57 ὁ ἅγιος, * ἄμωμος, μὴ πλήκτης, μὴ ὀργίλος, μὴ ἀπηνής, ἀλλ᾽ οἰκοδόμος, ἐπιστροφεύς, διδακτικός, ἀνεξίκακος, ἠπιόθυμος, πρᾶος, μακρόθυμος, παραινετικός, παρακλητικός, ὡς θεοῦ ἄνθρωπος. ὅταν * συναθροίζῃς τὴν τοῦ θεοῦ ἐκκλησίαν, ὡς ἂν κυβερνήτης νηὸς μεγάλης μετ᾽ ἐπιστήμης πάσης κέλευε ποιεῖσθαι τὰς συνόδους, παραγγέλλων τοῖς διακόνοις ὡσανεὶ ναύταις τοὺς τόπους ἐκτάσσειν τοῖς ἀδελφοῖς καθάπερ ἐπιβάταις μετὰ πάσης ἐπιμελείας καὶ σεμνότητος. καὶ πρῶτον μὲν * ὁ οἶκος ἔστω ἐπιμήκης, κατὰ ἀνατολὰς τετραμμένος, ἐξ ἑκατέρων τῶν μερῶν ἔχων τὰ παστοφορεῖα * πρὸς ἀνατολήν, ὅστις ἔοικε νηί. κείσθω δὲ μέσος ὁ τοῦ

1 Luc 14, 23 | 10 Hierem 15, 19 | 15 Tim α 6, 11

1 τὸ ..... ποιήσαντες > x | 2 τρίκλινον wxt, οἶκον yz, sed τὸν τρίκλινον y in margine | 2 ἔστιν x | 4 τὸν > t | 5 ὃν wx, θεὸν yzt cum praecedd iunctum | 5. 6 διεσκορπήσατε w | 6 εἰρηνέυτε w | 8 ἐπιστρέφην z | 9 καὶ alterum > yz | 9 γάρ + yz | 9 οὗτος wxyz, τοῦτό t | 10 τοῦ λέγοντος + yz | 10 ἐξ ... 11 τίμιον wxt, ἄξιον ἐξ ἀναξίου yz et z quidem sequente καὶ τίμιον, nisi ipse cum Cotelerii editione codicem conferens in errorem inductus sum, haec enim ἐξ ἀναξίου ἄξιον καὶ τίμιον: atque ita iam P | 11 τὸ > yzt | 11 δέ wxt, οὖν yz | 11 ὁ wx, ἔσο yzt | 12 ὁ + w | 12 ἀπεινής x | 13 ad διδακτικός in margine Cotelerius al διατακτικὸς | 13. 14 ἠπιόθυμος > yz | 14 παρακτητικὸς x | 15 δὲ + yzt | 16 ἐπιστίμης x, απιστήμης z | 17 κέλευε ... τὰς wxyt, ἐκέλευε ποιοῦντας z | 17 παραγγέλων w | 20 καὶ > yz | 20 οὖν + yz | 20 κατ᾽ yzt | 21 ἔχων > Yzt | 21. 22 παστοφόρια yzt | 22 δὲ + yz | 22 ἔοικεν x | huc trahendum quod ex epistola Clementis ad Iacobum data 14. 15 desumptum x, nomine personati auctoris non indicato, in folio primo exscripsit: editionis dresselianae p 19, 15—21, 5: ubi 19, 15 γὰρ ὅλον >: 20, 1 τινὰ cum Cotelerio: ὑμῖν >: 20, 5 τε: αἱ alte-

*ἐπισκόπου θρόνος, παρ' ἑκάτερα δὲ αὐτοῦ καθεζέσθω τὸ πρεσβυτέριον, καὶ οἱ διάκονοι παριστάσθωσαν εὐσταλεῖς τῆς πλείονος ἐσθῆτος· ἐοίκασι γὰρ ναύταις καὶ τοιχάρχοις. προνοίᾳ δὲ τούτων εἰς τὸ ἕτερον μέρος οἱ λαϊκοὶ καθεζέσθωσαν μετὰ πάσης εὐταξίας καὶ ἡσυχίας, καὶ αἱ γυναῖκες * κεχωρισμένως * καὶ αὐταὶ καθεζέσθωσαν σιωπὴν ἄγουσαι. μέσος δὲ ὁ ἀναγνώστης ἐφ' ὑψηλοῦ τινος ἑστὼς ἀναγινωσκέτω τὰ Μωσέως καὶ Ἰησοῦ τοῦ Ναυή, τὰ τῶν κριτῶν καὶ τῶν βασιλείων, τὰ τῶν παραλειπομένων καὶ τὰ τῆς ἐπανόδου, πρὸς τούτοις τὰ τοῦ Ἰὼβ καὶ τὰ Σολομῶντος καὶ τὰ τῶν δεκαὲξ προφητῶν. ἀνὰ δύο λεγομένων ἀναγνωσμάτων, ἕτερός τις * τοῦ Δαβὶδ ψαλλέτω ὕμνους, καὶ ὁ λαὸς τὰ ἀκροστίχια ὑποψαλλέτω. μετὰ τοῦτο αἱ πράξεις αἱ ἡμέτεραι ἀναγινωσκέσθωσαν καὶ αἱ ἐπιστολαὶ Παύλου τοῦ συνεργοῦ ἡμῶν, ἃς ἐπέστειλε ταῖς ἐκκλησίαις καθ' ὑφήγησιν τοῦ ἁγίου πνεύματος. καὶ μετὰ ταῦτα διάκονος ἢ πρεσβύτερος ἀναγινωσκέτω τὰ εὐαγγέλια, ἃ ἐγὼ Ματθαῖος καὶ Ἰωάννης παρεδώκαμεν ὑμῖν καὶ * οἱ συνεργοὶ Παύλου παρειληφότες κατέλειψαν ὑμῖν Λουκᾶς καὶ Μάρκος. καὶ ὅταν ἀναγινωσκόμενον ᾖ τὸ εὐαγγέλιον, πάντες οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι καὶ πᾶς ὁ λαὸς στηκέτωσαν μετὰ πολλῆς ἡσυχίας· γέγραπται γὰρ Σιώπα καὶ ἄκουε Ἰσραήλ· καὶ πάλιν Σὺ δὲ αὐτοῦ στῆθι καὶ ἀκούσῃ. **

22 Deut 27, 9 | 23 Deut 5, 28

rum >: 20, 6 *ταῖς τρικυμίαις* >: 20, 7 *τῶν* alterum >: *ἀκροτήρια*: 20, 8 *ἀπειλοῦσιν*: 20, 9 *ἐνδυάζουσι*: 20, 11 *εἴλιγγα*: *ταρταραίαν*: 20, 12 *αἰτίας* + ante *εἶναι*: 20, 15 *εὐσταθήτωσαν δὲ*: 20, 16 *παράσχωσιν*: 21, 2 *ἑκάστῳ τὰ χρήζοντα*: *ὥσπερ*: 21, 3 *ὡς σωτὴρ καὶ*: 21, 5 *τῷ* >: 21, 5 *περὶ τὰ ουρία*: post *προσευχέσθωσαν* + *ὡς δεσπότῃ καὶ τῆς νηὸς καὶ τοῦ κυβερνήτου πατρί*. cf Hippolytum a me editum p 30. 31 (veteres enim editiones non emendatae) | 2 *πρεσβυτέρειον* wx | 3 *τῆς πλείονος* wxt, *μετὰ σεμνῆς* yz | 3 *αἰσθῆτος* w | 3 *ναύταις* xyzt, *αὐτοῖς* w | 5 *ἡσυχίας καὶ εὐταξίας* yzt | 5 *καὶ* alterum > yz | 6 *δὲ* + yz | 6 *πλὴν* + yz | 6 *αὗται* yz, *αὐ̃ται* t | 7 *δ'* t | 8 *μωϋσέως* w | 8 *Ναυὶ* t, *ναυῒ* w | 9 *βασιλέων* w | 10 *τὰ* alterum wxyz, *τοῦ* t | 10 *Σολομῶνος* t | 11 *καὶ* > yz | 11 *δεκαὲξ* xyz, *ἑξκαίδεκα* w, *ἑκκαίδεκα* t | 11 *λεγομένων* wx, *δὲ γενομένων* yzt | 12 *τοὺς* + yt | 14 *αἱ* alterum > t | 14 *πιστολαὶ* z | 15 *ἐπέστειλεν* x | 16 *ὑπήχησιν* yz, *ὑφήχησιν* t | 18 *ἃ* + t, *ἔτι ἃ* + y, *ἐτιαὶ* + z | 19 *κατέλιπον* yz | 20 *ᾗ* > yz | 22 *ἡσυχίας πολλῆς* x | 23 *στῆθι* xyzt, *στήσει* w | 23 *καὶ* + yzt

ἑξῆς παρακαλείτωσαν οἱ πρεσβύτεροι τὸν λαόν, ὁ καθεῖς αὐτῶν ἀλλὰ μὴ ἅπαντες, καὶ τελευταῖος πάντων ὁ ἐπίσκοπος, ὅς ἔοικε κυβερνήτῃ. στηκέτωσαν δὲ οἱ μὲν πυλωροὶ εἰς τὰς εἰσόδους τῶν ἀνδρῶν φυλάσσοντες αὐτάς, οἱ δὲ διάκονοι εἰς τὰς τῶν γυναικῶν, δίκην ναυστολόγων· καὶ γὰρ * ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ὁ αὐτὸς παρηκολούθει * τύπος *. εἰ δέ τις εὑρεθῇ παρὰ τόπον καθεζόμενος, ἐπιπλησσέσθω ὑπὸ τοῦ διακόνου ὡς πρωρέως * καὶ εἰς τὸν καθήκοντα αὐτῷ τόπον μεταγέσθω. οὐ μόνον γὰρ νηὶ ἀλλὰ καὶ μάνδρῃ ὡμοίωται ἡ ἐκκλησία. ὡς γὰρ οἱ ποιμένες ἕκαστον τῶν ἀλόγων, αἰγῶν φημι καὶ προβάτων, κατὰ συγγένειαν καὶ ἡλικίαν ἱστῶσι, καὶ ἕκαστον αὐτῶν τὸ ὅμοιον τῷ ὁμοίῳ συντρέχει, οὕτως καὶ ἐν τῇ ἐκκλησίᾳ οἱ μὲν νεώτεροι ἰδίᾳ καθεζέσθωσαν, ἐὰν ᾖ τόπος, εἰ δὲ μήγε, στηκέτωσαν ὀρθοί, οἱ δὲ τῇ ἡλικίᾳ ἤδη προβεβηκότες καθεζέσθωσαν ἐν τάξει, τὰ δὲ παιδία ἑστῶτα προσλαμβανέσθωσαν αὐτῶν οἱ πατέρες καὶ αἱ μητέρες, αἱ δὲ νεώτεραι πάλιν ἰδίᾳ, ἐὰν ᾖ τόπος, εἰ δὲ μήγε, ὄπισθεν τῶν γυναικῶν ἱστάσθωσαν, αἱ δὲ ἤδη γεγαμηκυῖαι καὶ τὰ τέκνα ἔχουσαι ἰδίᾳ ἱστάσθωσαν, αἱ παρθένοι δὲ καὶ αἱ χῆραι καὶ αἱ πρεσβύτιδες πρῶται πασῶν ἱστάσθωσαν ἢ καθεζέσθωσαν. ἔστω δὲ τῶν τόπων προνοῶν ὁ διάκονος, ἵνα ἕκαστος τῶν εἰσερχομένων εἰς τὸν ἴδιον τόπον ὁρμᾷ καὶ μὴ παρὰ τὸ προσῆκον καθέζωνται. ὁμοίως * ὁ διάκονος ἐπισκοπείτω τὸν λαόν, ὅπως μή τις ψιθυρίσῃ ἢ νυστάξῃ * ἢ γελάσῃ ἢ νεύσῃ· χρὴ γὰρ ἐν ἐκκλησίᾳ ἐπιστημόνως καὶ νηφαλέως καὶ ἐγρηγόρως ἑστάναι, ἐκτεταμένην ἔχοντα τὴν ἀκοὴν

2 πάντες w, ἅπαντες xYzt, ἅμα πάντες y | 2 τελευταῖον t | 3 ἔοικεν x | 4 αὐτούς w | 4 οἱ wx, αἱ yzt | 5 δίκη W | 5 ναυτολόγων yt, αὐτολόγων z | 6 καὶ + yzt | 6 παρηκολούθη x | 6 λόγος καὶ + ex P Cotelerius | 7 καὶ ἐν τῷ ναῷ τοῦ θεοῦ + yzt | 7 τύπον w | 8 ὡς > z | 8 προρέως w, πρωρεὺς ex P Cotelerius | 8 τόπον ἐπέχοντος + yz | 9 μανδρὶ w, μάνδρα yzt | 10 ὁμοίωται x | 10 ποιμαίνες w | 11 συγγένεια t | 12 ἱστῶσιν x | 12. 13 οὕτω yzt | 14 μὴ yzt | 16 αὐτὰ yz | 16 αἱ > t | 16 μητέραις x | 17. 18 ὄπιθεν w | 19 τὰ > yzt | 19 τέκνα ἔχουσαι wxyz, τεκναρχοῦσαι t, ἐν ἄλλοις τὰ τέκνα ἔχουσαι margo t | 20 αἱ > yzt | 20 ἱστάσθωσαν wx, στηκέτωσαν yzt | 21 ἵν' yzt | 23 τὸ προσῆκον wyzt, τῶν ἰντροίτων x, τὸ ἰντρόϊτον t | 23 καθέξονται wx | 23 δὲ καὶ + w | 24 ψηθυρίσῃ x | 24 ἢ λαλήσῃ + w | 25 νηφαλαίως w, νηφαλίως yz | 26 ἐγρηγορότως yzt | 26 ἐκτεταμένον x

εἰς τὸν τοῦ κυρίου λόγον. καὶ μετὰ τοῦτο συμφώνως ἅπαντες ἐξαναστάντες καὶ ἐπ' ἀνατολὰς κατανοήσαντες, μετὰ τὴν τῶν κατηχουμένων καὶ τὴν τῶν μετανοούντων ἔξοδον προσευξάσθωσαν τῷ θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς, ὑπομιμνησκόμενοι καὶ τῆς ἀρχαίας νομῆς τοῦ κατὰ ἀνατολὰς παραδείσου, ὅθεν ὁ πρῶτος ἄνθρωπος, ἀθετήσας τὴν ἐντολὴν ὄφεως συμβουλίᾳ πεισθείς, ἀπεβλήθη. οἱ δὲ διάκονοι μετὰ τὴν προσευχὴν οἱ μὲν τῇ προσφορᾷ τῆς εὐχαριστίας σχολαζέτωσαν ὑπηρετούμενοι τῷ τοῦ χριστοῦ σώματι μετὰ φόβου, οἱ δὲ τοὺς ὄχλους διασκοπείτωσαν καὶ ἡσυχίαν αὐτοῖς ἐμποιείτωσαν. λεγέτω δὲ ὁ παρεστὼς τῷ ἱερεῖ διάκονος τῷ λαῷ Μή τις κατὰ τινός, μή τις ἐν ὑποκρίσει; εἶτα καὶ ἀσπαζέσθωσαν ἀλλήλους οἱ ἄνδρες καὶ ἀλλήλας αἱ γυναῖκες τὸ ἐν κυρίῳ φίλημα, ἀλλὰ μή τις δολίως, ὡς ὁ Ἰούδας τὸν κύριον φιλήματι παρέδωκεν. καὶ μετὰ τοῦτο προσευχέσθω ὁ διάκονος ὑπὲρ τῆς ἐκκλησίας πάσης καὶ παντὸς τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ μερῶν καὶ ἐκφορίων, * ὑπὲρ τῶν ἱερέων καὶ τῶν ἀρχόντων, ὑπὲρ τοῦ ἀρχιερέως καὶ τοῦ βασιλέως καὶ τῆς καθόλου εἰρήνης. καὶ μετὰ τοῦτο ὁ ἀρχιερεὺς ἐπευχόμενος τῷ λαῷ εἰρήνην εὐλογείτω τοῦτον, ὡς καὶ Μωσῆς ἐνετείλατο τοῖς ἱερεῦσιν εὐλογεῖν τὸν λαὸν τούτοις τοῖς ῥήμασιν Εὐλογήσαι σε κύριος καὶ φυλάξαι σε· * ἐπιφάναι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ ἐλεήσαι σε· ἐπάραι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ δῴη σοι εἰρήνην. ἐπευχέσθω οὖν καὶ ὁ ἐπίσκοπος καὶ λεγέτω Σῶσον τὸν λαόν σου, κύριε, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἣν ἐκτήσω καὶ περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ σου καὶ ἐκάλεσας βασίλειον ἱεράτευμα καὶ

4 Psalm 68, 19? | 23 Num 6, 24—26 | 29 Petr α 2, 9

1 εἰς wx, ἐπὶ yzt | 1 συμφώνος y | 2 ἐπὶ z | 2 κατανοήσαντες wxt, ἐπιβλέψαντες yz | 3 μετανούντων t | 5 ὑπομημνησκόμενοι z | 7. 8 συμβουλεία x | 8 πισθῆς w, ἀπειθεὶς z | 10 χριστοῦ wx, κυρίου yzt | 12 ἀρχιερεῖ yzt | 14 αἱ γυναῖκες ἀλλήλας w | 14 τὸ xyzt, τῶι w | 15 φίλιμα w | 15 ὁ > yzt | 16 φιλίματι w | 16 παρέδοκε w, παρέδωκε yzt | 17 ἁπάσης yzt | 18 ἐν αὐτῷ xyzt, ἑαυτοῦ w | 18 μετρῶν z | 18 καὶ + w | 22 μωϋσῆς w | 22 τοῖς > t | 23 καὶ + w | 24 ἐλεήσαι .... 25 καὶ > t | 26 καὶ prius > z | 27 κύριε post σῶσον w, > x

ἔθνος ἅγιον. μετὰ δὲ ταῦτα γινέσθω ἡ θυσία, ἑστῶτος
παντὸς τοῦ λαοῦ καὶ προσευχομένου ἡσύχως· καὶ ὅταν ἀνε-
νεχθῇ, μεταλαμβανέτω ἑκάστη τάξις καθ' ἑαυτὴν τοῦ
κυριακοῦ σώματος καὶ τοῦ τιμίου αἵματος, * μετὰ αἰ-
δοῦς καὶ εὐλαβείας ὡς βασιλέως προσερχόμενοι σώματι·
καὶ αἱ γυναῖκες κατακεκαλυμμέναι τὴν κεφαλήν, ὡς ἁρμό-
ζει γυναικῶν τάξει, προσερχέσθωσαν. φυλαττέσθωσαν δὲ
αἱ θύραι, μή τις ἄπιστος ἢ ἀμύητος εἰσέλθῃ. | εἰ δέ τις 58
ἀπὸ παροικίας ἀδελφὸς ἢ ἀδελφὴ ἐπέλθῃ σύστασιν ἐπικο-
μιζόμενοι, ὁ διάκονος ἐπικρινέτω τὰ κατ' αὐτούς, ἀνακρίνων
εἰ πιστοί, εἰ ἐκκλησιαστικοί, εἰ μὴ ἀπὸ αἱρέσεώς εἰσι με-
μολυσμένοι, καὶ πάλιν εἰ ὕπανδρος ἢ χήρα· καὶ οὕτω
γνοὺς τὰ κατ' αὐτούς, ὡς εἰσὶν ἀληθῶς πιστοὶ καὶ ὁμογνώ-
μονες ἐν τοῖς κυριακοῖς, ἀπαγέτω ἕκαστον εἰς τὸν προσή-
κοντα αὐτῷ τόπον. εἰ δὲ καὶ πρεσβύτερος ἀπὸ παροικίας
ἐπέλθοι, προσδεχέσθω ὑπὸ τῶν πρεσβυτέρων κοινωνικῶς·
εἰ δὲ διάκονος, ὑπὸ τῶν διακόνων· εἰ δὲ καὶ ἐπίσκοπος, σὺν
τῷ ἐπισκόπῳ καθεζέσθω τῆς αὐτῆς ἀξιούμενος ὑπ' αὐτοῦ
τιμῆς. καὶ ἐρωτήσεις αὐτόν, ὦ ἐπίσκοπε, προσλαλῆσαι τῷ
λαῷ λόγους διδακτικούς· ἡ γὰρ τῶν ξένων παράκλησις καὶ
νουθεσία * ὠφελιμωτάτη σφόδρα· οὐδεὶς γὰρ προφήτης, φη-
σί, δεκτὸς ἐν τῇ ἰδίᾳ πατρίδι. ἐπιτρέψεις δὲ αὐτῷ καὶ τὴν
εὐχαριστίαν ἀνοῖσαι· ἐὰν δὲ δι' εὐλάβειαν ὡς σοφὸς τὴν
τιμήν σοι τηρῶν μὴ θέλῃ ἀνενέγκαι, κἂν τὴν εἰς τὸν λαὸν
* εὐλογίαν αὐτὸν ποιήσασθαι καταναγκάσεις. εἰ δὲ ἐν τῷ
καθέζεσθαι ἕτερός τις ἐπέλθοι εὐσχήμων καὶ ἔνδοξος ἐν τῷ
βίῳ, ἢ ξένος ἢ ἐγχώριος, σὺ ὁ ἐπίσκοπος ὁ προσλαλῶν τὸν
περὶ θεοῦ λόγον ἢ ὁ ἀκούων * τοῦ ψάλλοντος ἢ τοῦ ἀναγι-

21 Luc 4, 24

2. 3 προσενεχθὴ w, ἀνέλθῃ x | 4 ἐν τάξει + yzt | 6 κεκαλυμμέναι w, κατακεκαλυμέναι x | 7 τάξις w | 8 εἰσέλθοι [sic] post ἄπιστος yzt | 9 ἐπεισέλθῃ w, ἔλθοιεν y, ἔλθοιὲν z | 10 ο > t | 11 μὴ xyzt, μὶ w | 11 εἰσὶν x | 12 ὑπὸ ἀνδρὸς w | 12 οὕτως xY | 16 ἀπέλθοι z | 16 κοινωνικὸς t | 17 καὶ > yzt | 17 ἐπίσκπος w | 21 εὐπαράδεκτος καὶ + yzt | 21 ὠφελιμωτάτηι w | 21 γὰρ > w | 21. 22 φησὶν xt, $\overline{\varphi\eta}$ w | 22 δ' zt | 23 ἀνύσαι w | 24 θελήσῃ yzt | 24 ἀνενέγκε w | 24 τὴν > wt | 25 τὴν + w | 25 αὐτὸν ante εἰ w | 25 καταναγκάσῃς x | 26 ἐπεισέλθῃ w, ἐπέλθῃ x | 28 ὁ > w | 28 ἢ ἀκούων + z in paginae initio

νώσκοντος, μὴ προσωποληπτῶν καταλίπῃς τὴν διακονίαν τοῦ λόγου, ἵνα διατάξῃ αὐτῷ προεδρίαν, ἀλλὰ μένε ἡσύχιος μὴ διακόπτων σου τὸν λόγον ἢ τὴν ἀκοήν, οἱ δὲ ἀδελφοὶ διὰ τῶν διακόνων παραδεχέσθωσαν αὐτόν. εἰ δὲ τόπος οὐκ ἔστιν, ὁ διάκονος, τὸν μᾶλλον νεώτερον ἐγείρας μετὰ λόγου ἀλλὰ μὴ μετὰ ὀργῆς, ἐκεῖνον καθισάτω· δίκαιον δὲ τοῦτο καὶ ἀφ' ἑαυτοῦ τὸν ἀδελφὸν ὡς φιλάδελφον ποιεῖσθαι· ἐὰν δὲ * ἀνανεύῃ, ἐγείρας αὐτὸν ἀναγκαστῶς, ὀπίσω πάντων στῆσον, ἵνα παιδευθῶσι καὶ οἱ λοιποὶ ἀντιπαραχωρεῖν τοῖς ἐντιμοτέροις. εἰ δὲ πτωχὸς ἰθαγενὴς ἢ ξένος ἐπέλθοι πρεσβύτης ἢ νέος τὴν ἡλικίαν καὶ τόπος οὐχ ὑπάρχοι, καὶ τούτοις τόπον ποιήσει ἐξ ὅλης τῆς καρδίας αὐτοῦ ὁ διάκονος, ἵνα μὴ πρὸς ἄνθρωπον αὐτοῦ γένηται ἡ προσωπόληψις, ἀλλὰ πρὸς θεὸν ἡ διακονία * εὐάρεστος. τὸ δ' αὐτὸ ποιείτω καὶ ἡ διάκονος ταῖς ἐπερχομέναις γυναιξὶν πτωχαῖς ἤτοι
59 πλουσίαις. | διδάσκων δέ, ὦ ἐπίσκοπε, κέλευε καὶ παραίνει τῷ λαῷ εἰς τὴν ἐκκλησίαν ἐνδελεχίζειν ὄρθρου καὶ ἑσπέρας ἑκάστης ἡμέρας καὶ μὴ ἀπολείπεσθαι τὸ σύνολον ἀλλὰ συνέρχεσθαι διηνεκῶς, καὶ μὴ τὴν ἐκκλησίαν κολοβοῦν ἑαυτὸν ὑφαιροῦντα, καὶ παρὰ μέλος ποιεῖν τὸ σῶμα τοῦ χριστοῦ· οὐ γὰρ μόνον περὶ ἱερέων ἐρρήθη, ἀλλὰ καὶ ἕκαστος τῶν λαϊκῶν περὶ ἑαυτοῦ ἀκουέτω λογιζόμενος ὅτι εἴρηται ὑπὸ τοῦ κυρίου ὅτι Ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστιν, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει. μὴ οὖν ἑαυτοὺς ὄντες μέλη * χριστοῦ σκορπίζετε, μὴ συναθροιζόμενοι· χριστὸν κεφαλὴν ἔχοντες κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ συνόντα καὶ συν-

23 Matth 12, 30

1 καταλείπης x | 2 margo y γρφ προσεδρία | 6 μετ' yzt | 6 ὠργῆς z | 6 καθισάτο wz | 7 ἀδελφὸν ὡς > yzt | 7. 8 ποιῆσαι t | 8 μὴ + w | 8 ἀναγκάστως ante ἐγείρας w | 9 πεδευθῶσι w, παιδευθῶσιν x | 10 ἢ θαγενῆς wx [η x], ἢ ἐθαγενής yz, ἢ ἀγενὴς t | 10 ἐπέλθη x | 11 τῆ ἡλικία yzt | 11 ὑπάρχει wxyzt | 13 προσωποληψεία Y, "ψία yz | 14 ἤι + w | 14 τῶ δ' αὐτὸ yz, τῶ δ' αὐτῶ t: ἐν ἄλλοις τὸ δ' αὐτὸ margo t | 14 ποιήτω x | 15 γυναιξὶ yzt | 15 ἤτοι wxt, ἢ καὶ yz | 17 τὸν λαὸν w | 18 μήτε yz | 18 ἀπολίπεσθαι t | 19 καὶ > yz | 19 μήτε yzt | 20 ποιοῦντα w | 21 ἐρρέθη yzt | 22 λογιζόμενος y in margine tantum | 23 τοῦ > x | 23 ὅτι > yzt | 23 ἐστι yzt | 24 μέλη ὄντες yz, μέλη ὄντας t | 25 τοῦ + yzt | 25 συναθροιζώμενοι w | 26 ἔχετε yz | 26 ἐπαγγελείαν w | 26 p 90, 1 συνοικοῦντα ὑμῖν wx, κοινωνοῦντα ἡμῖν yzt

οικοῦντα ὑμῖν, μὴ ἀμελεῖτε ἑαυτῶν μηδὲ ἀποστερεῖτε τὸν σωτῆρα τῶν οἰκείων μελῶν μηδὲ διαιρεῖτε τὸ σῶμα αὐτοῦ μηδὲ σκορπίζετε τὰ μέλη αὐτοῦ μηδὲ προκρίνετε τοῦ θείου λόγου τὰς βιωτικὰς χρείας, ἀλλ' ἑκάστης ἡμέρας συναθροίζεσθε ὄρθρου καὶ ἑσπέρας ψάλλοντες καὶ προσευχόμενοι ἐν τοῖς κυριακοῖς, ὄρθρου μὲν λέγοντες ψαλμὸν τὸν ξβ', ἑσπέρας δὲ τὸν ρμ'. μάλιστα δὲ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου καὶ ἐν τῇ τοῦ κυρίου ἀναστασίμῳ * τῇ κυριακῇ σπουδαιοτέρως ἀπαντᾶτε, αἶνον ἀναπέμποντες τῷ θεῷ τῷ ποιήσαντι τὰ ὅλα διὰ Ἰησοῦ καὶ αὐτὸν * ἐξαποστείλαντι καὶ συγχωρήσαντι παθεῖν καὶ ἐκ νεκρῶν ἀναστήσαντι. ἐπεὶ τί ἀπολογήσεται * θεῷ ὁ μὴ συνερχόμενος ἐν τῇδε τῇ ἡμέρᾳ ἀκούειν περὶ τῆς ἀναστάσεως τοῦ σωτηρίου λόγου; ἐν ᾗ καὶ τρεῖς εὐχὰς ἑστῶτες ἐπιτελοῦμεν μνήμης χάριν τοῦ διὰ τριῶν ἡμερῶν ἀναστάντος, ἐν ᾗ προφητῶν ἀναγνώσεις καὶ εὐαγγελίου κηρυκία καὶ θυσίας ἀναφορὰ καὶ τροφῆς ἱερᾶς δωρεά. | πῶς δὲ οὐ πολέμιος θεοῦ ὁ περὶ 60
τὰ πρόσκαιρα μὲν νύκτα καὶ * ἡμέραν σπουδάζων, τῶν δὲ αἰωνίων ἀμελῶν; καὶ λουτρῶν μὲν καὶ προσκαίρου τροφῆς ἑκάστης * μεταποιούμενος, τῶν δὲ ἀεὶ παραμόνων οὐκ ἐπιστρεφόμενος; πῶς δὲ οὐχὶ καὶ νῦν ἐρεῖ τῷ τοιούτῳ ὁ κύριος Ἐδικαιώθη τὰ ἔθνη ὑπὲρ ὑμᾶς, ὥσπερ καὶ τὴν Ἱερουσαλὴμ ὀνειδίζων ἔλεγεν Ἐδικαιώθη Σόδομα ἐκ σοῦ; εἰ γὰρ τὰ ἔθνη αὐτῶν ἐξ ὕπνου καθ' ἡμέραν ἀναστάντα τρέχει ἐπὶ τὰ εἴδωλα τοῦ λατρεύειν αὐτοῖς, καὶ πρὸ παντὸς ἔργου καὶ πάσης πράξεως πρῶτον αὐτοῖς προσεύχονται, καὶ ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς πανηγύρεσιν αὐτῶν οὐκ ἀποστεροῦσιν ἀλλὰ σχολάζουσιν οὐχ οἱ * τοπικοὶ μόνον

7 Psalm 63 | 7 Psalm 141 | 22. 23 apocrypha

1 μηδὲ xt, μὴ wyz | 2 μηδὲ wxt, μὴ yz | 3 μηδὲ prius wxt, μὴ yz | 8 ἡμέραι + w | 9 σπουδαιοτέρος z | 10 τὰ > x | 10 εἰς ἡμᾶς + yzt | 12 τῷ + yzt | 13 τοῦ σωτηρίου post ἀκούειν yzt | 14 τρὶς t | 15 ἀναστάντος ἡμερῶν yzt | 16 ἀνάγνωσις yzt | 16 κηρυκεία xyz | 17 δωρεάν w | 18 μεθ' + yzt | 18 ἡμέρα Wx, ἡμέραν wyzt | 19 λουτροῦ w | 20 ἡμέρας + yz | 20 παραμενώντων W, παραμενόντων w | 21 δ' t | 22 ἡμᾶς x | 23 ὠνειδίζων x | 24 ἐξ ὕπνου αὐτῶν yzt | 25 καὶ bis t | 28 ἀποστεροῦσι W, ἀποστεροῦσιν wx, ἀφυστεροῦσιν yzt | 28 ἐγγὺς + yz

ἀλλὰ καὶ οἱ πόρρωθεν οἰκοῦντες, καὶ ἐν τοῖς θεάτροις αὐτῶν ὡς ἐν συναγωγῇ πάντες συνέρχονται· ὁμοίως καὶ οἱ μάτην λεγόμενοι Ἰουδαῖοι καθ' ἓξ ἡμέρας ἀργοῦντες τῇ ἑβδόμῃ ἡμέρᾳ συνίασιν εἰς τὴν συναγωγὴν αὐτῶν, οὐδέποτε παραφίοντες ἢ παραμελοῦντες οὔτε τῆς ἀργίας αὐτῶν οὔτε τῆς συναγωγῆς αὐτῶν, οἱ τῆς δυνάμεως τοῦ λόγου ἐν τῇ ἀπιστίᾳ αὐτῶν κενωθέντες, προσέτι δὲ καὶ ἐξ οὗ ὀνόματος ἑαυτοὺς καλοῦσιν Ἰούδα. Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται, οὗτοι δὲ οὐκ εἰσὶν ἐξομολογούμενοι θεῷ τὸ πάθος τοῦ χριστοῦ, παρανόμως πεποιηκότες, ἵνα μὴ μεταγνόντες σωθῶσιν. εἰ οὖν οἱ μὴ σωζόμενοι ἐν οἷς οὐκ ὠφελοῦνται πυκνάζουσιν, σὺ τί ἂν ἀπολογήσῃ κυρίῳ τῷ θεῷ ὁ τῆς ἐκκλησίας αὐτοῦ ἀποστρεφόμενος καὶ μηδὲ τὰ ἔθνη μιμούμενος, ἀλλὰ διὰ τοῦ ἀπολείπεσθαι ῥαθυμῶν ἢ ἀποστατῶν ἢ κακοποιῶν; οἷς λέγει ὁ κύριος διὰ τοῦ Ἱερεμίου Τὰ δικαιώματά μου οὐκ ἐφυλάξατε, ἀλλ' οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν ἐπορεύθητε, παρ' ὀλίγον καὶ ὑπερεβάλλετε αὐτούς· καὶ πάλιν Ἐδικαίωσε τὴν ψυχὴν αὐτοῦ Ἰσραὴλ ἀπὸ τοῦ ἀσυνθέτου Ἰούδα· καὶ ἑξῆς Εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶ θεοί· * ὅτι διέλθετε νήσους * Χετιεὶμ καὶ ἴδετε, καὶ εἰς Κηδὰρ ἀποστείλατε καὶ νοήσατε σφόδρα εἰ γέγονε τοιαῦτα· ὅτι ἐκεῖνα μὲν οὐκ ἀμείβουσι τὰ ἑαυτῶν νόμιμα, ὁ δὲ λαός μου, φησίν, ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσεται. πῶς οὖν ἀπο-

15 Ezech 5, 6. 7 | 17 Ezech 16, 47 | 18 Hierem 3, 11 | 19 Hierem 2, 11 | 20 Hierem 2, 10. 11

2 οἱ super versum x | 5 παραφιέντες yz | 5 αὐτῶν > yz | 7 ἀπιστί αι w litera una erasa | 7 δὴ yzt | 7 ἐξ wx, δι' y, neutrum zt | 8 καλοῦσιν ἑαυτοὺς w | 8 ἐξομολόγησης w | 9 οὐκ εἰσὶν ante θεῷ w | 9 πάθημα yzt | 10 μὴ wx, καὶ yzt | 10 μεταγνώντες wx [ῶ x] | 11 ὀφελοῦνται w | 12 πυκνάζουσι t, συνεχῶς ἀπαντῶσιν yz [''σι z] | 12 ἂν > yz | 12 ἀπολογήσει w | 13 ἀποστρεφόμενος wx, ἀπολειπόμενος yzt | 15 οἷς wxt, ἀκούσατε πρὸς τοὺς τοιούτους τί yz | 17 ὑπερεβάλλετε w, ὑπερεβάλετε x, ὑπερβάλλετε yt, ὑπερβάλλεται z | 18 ἐδικαίωσεν x | 19 τοῦ wx, τῆς yzt | 19 ἑξῆς xt, πάλιν wyz | 20 εἰσὶν x | 20 καὶ ἀλλαχοῦ δι' ἑτέρου + yzt | 20 ὅτι wx, διότι t, neutrum yz | 21 εἰς + t | 21 χεττιεὶμ yz | 21 κιδὰρ w | 21. 22 νοήσατε wxt, μάθετε yz | 22 σφόδρα > yz | 22 γέγονεν x | 22. 23 ἀμείβουσιν x | 23 φησίν > yz | 24 πῶς wxt, τί yz

λογήσεταί τις ὀλιγωρήσας ἢ ἐκστὰς τῆς ἐκκλησίας τοῦ
θεοῦ; | εἰ δέ τις τὴν τοῦ ἔργου τοῦ ἰδίου πρόφασιν ἐπι- 61
φέρων ὀλιγωρεῖ προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, ϙ
γινωσκέτω ὁ τοιοῦτος ὡς αἱ τέχναι τῶν πιστῶν ἐπέργιά εἰσιν, ἔργον δὲ ἡ θεοσέβεια. τὰς οὖν τέχνας ὑμῶν ὡς ἐν παρέργῳ ποιεῖτε εἰς διατροφὴν ὑμῶν, ἔργῳ δὲ τὴν θεοσέβειαν ἀσκεῖτε· ὡς καὶ ὁ κύριος ἔλεγεν Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον· καὶ πάλιν Τοῦτο δέ ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. σπουδάζετε οὖν μηδέποτε τὴν ἐκκλησίαν τοῦ θεοῦ καταλιπεῖν· εἰ δέ τις ταύτην ὑπερίδοι, εἰς μιαρὸν δὲ ἐθνῶν εἰσέλθοι ἢ εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν, ὁ τοιοῦτος τί ἀπολογήσεται τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως; λόγια θεοῦ ζῶντος καταλιπὼν ζῶντα καὶ ζωοποιοῦντα καὶ δυνάμενα ῥύσασθαι κολάσεως αἰωνίου, καὶ πορευθεὶς εἰς οἶκον δαιμόνων ἢ * συναγωγὴν χριστοκτόνων ἢ ἐκκλησίαν πονηρευομένων, οὐκ ἀκούσας τοῦ εἰπόντος Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω, * οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω· καὶ πάλιν Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. σὺ δέ, καταλιπὼν τῶν πιστῶν τὸ συνάθροισμα, τοῦ θεοῦ τὴν ἐκκλησίαν, τοὺς ἐκείνου νόμους, ἐπιβλέπεις ἐπὶ τὰ σπήλαια τῶν λῃστῶν, ἅγια ἡγούμενος * ἃ ἐκεῖνος βέβηλα ἐπεκάλεσε, καὶ κοινοποιῶν ἃ ἐκεῖνος ἐχώρισεν· καὶ οὐ τοῦτο

7 Ioh 6, 27 | 9 Ioh 6, 29 | 18 Psalm 26, 4. 5 | 21 Psalm 1, 1. 2

1 ὀλιγωρίσας x, ὀλιγορήσας y | 3 ὀλιγορεῖ xz | 4 ἐπέργιαι w | 5 θεοσέβεια ... 6 τὴν > z | 6 ποιεῖται w | 7 ἀσκητέως ita iunctum w | 7 ἐργάζεσθαι w | 9 ἔστιν x | 10 πιστεύσητε yzt | 11 ἐκκλισίαν w? | 11 καταλειμπάνην w, καταλειπεῖν x, καταλείπειν yz | 12 ὑπερίδει w, ὑπερίδη x, ὑπερίδον z | 12 μιαρῶν w, μιαιρὸν X | 12 ἢ εἰς post συναγωγὴν w | 12 εἰς alterum wxyt, εἰ z | 14 καταλειπὼν x | 16 εἰς + t | 17 πονηρευομένον Z | 19 καὶ πάλιν + yz | 22 καθέδρα Wz | 25 καταλειπὼν xyz [sine accentu z] | 26 ἐπιβέπεις y | 27 ταύτα + w | 27-28 ἐπεκάλεσεν x, ἀπεκάλεσε yt, ἀπεβάλετε z | 24 ἀπεχώρισε yzt

μόνον, ἀλλ' ἤδη καὶ πομπαῖς Ἑλλήνων συντρέχεις καὶ ἐπὶ τὰ θέατρα ἐπείγῃ, ἐπιθυμήσας εἷς τῶν εἰσπορευομένων ἐκεῖ λογισθῆναι καὶ μετασχεῖν ἀκροαμάτων ἀπρεπῶν, ἵνα μὴ λέγωμεν μυσαρῶν, μὴ ἀκούσας τοῦ Ἱερεμίου λέγοντος Κύριε, οὐκ ἐκάθισα μετὰ συνεδρίου αὐτῶν παιζόντων, ἀλλ' εὐλαβούμην ἀπὸ προσώπου χειρός σου· καὶ τοῦ Ἰὼβ φάσκοντος τὰ ὅμοια Εἰ δὲ καὶ μετὰ γελοιαστῶν ἐπορεύθην ποτέ· ἕσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ. τί δὲ βούλει μετασχεῖν τῶν ἑλληνικῶν λογίων, ὄντων νεκρῶν ἀνθρώπων * ἐξ ἐπιπνοίας διαβόλου ἀποφανθέντων * νεκροποιὰ καὶ πίστεως ἀνατρεπτικὰ καὶ πρὸς πολυθεΐαν ἀπάγοντα τοὺς προσανέχοντας αὐτοῖς; ὑμεῖς οὖν, * σχολάζοντες τοῖς τοῦ θεοῦ νόμοις, καὶ τῶν βιωτικῶν χρειῶν τούτους ἡγεῖσθε τιμιωτέρους, καί, πλείονα τιμὴν νέμοντες αὐτοῖς, * συντρέχετε εἰς τὴν ἐκκλησίαν τοῦ κυρίου, ἣν περιεποιήσατο τῷ αἵματι τοῦ χριστοῦ τοῦ ἠγαπημένου, τοῦ πρωτοτόκου πάσης κτίσεως. αὕτη γὰρ θυγάτηρ ἐστὶ τοῦ ὑψίστου ἡ ὠδινήσασα ὑμᾶς διὰ τοῦ λόγου τῆς χάριτος καὶ μορφώσασα ἐν ὑμῖν τὸν χριστόν, οὗ μέτοχοι γενόμενοι ἱερὰ μέλη ἐστὲ καὶ ἐκλεκτά, μὴ ἔχοντα σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ὡς ἅγιοι καὶ ἄμωμοι ἐν πίστει τετελειωμένοι ἐστὲ ἐν αὐτῷ
62 κατ' εἰκόνα τοῦ κτίσαντος ὑμᾶς θεοῦ. | φυλάσσεσθε οὖν τοῦ μὴ συσχολάζειν τοῖς ἀπολλυμένοις, ὅ ἐστι συναγωγὴ ἐθνῶν εἰς ἀπάτην καὶ ἀπώλειαν· οὐδεμία γὰρ κοινωνία * θεῷ πρὸς διάβολον· ὁ γὰρ συναθροιζόμενος μετὰ τῶν τὰ τοῦ

4 Hierem 15, 17 | 7 Iob 31, 5. 6 | 15 Act 20, 28 | 16 Coloss 1, 15 | 20 Ephes 5, 27 | 24 Cor β 6, 14

2 ἐπιθυμίσας w | 4 λέγομεν w | 4 μυσ ρῶν W, quae quarta litera fuerit non expedio | 4 ἰηρεμίου x | 5 μετὰ συνεδρίου wx, ἐν συνεδρίῳ yzt | 5 πεζόντων z | 6 ἰακὼβ W? | 6. 7 φάσκοτος w | 8 ἱστάμην t | 8 δικαίῳ Wxyzt, δικαίων w | 8 βούλῃ wt | 9 τῶν > yz | 9 καὶ + yz | 10 ἅτινά εἰσιν + yz | 10 νεκροποιᾶι w | 12 προσέχοντας yz | 12 τοὺς + w | 12 σχολάζοντας w | 13 καὶ > yz | 14 πλεῖον x, πλείωνα y | 14 καὶ + Y | 14. 15 συντρέχεται w | 15 κυρίου xyzt, θεοῦ w | 15 περιεποιήσατω w | 15 τῷ xyzt, τὸ w | 17 αὐτὴ w | 17 ἐστὶν x | 17 ἡ > Yz | 18 fin ἡμῖν xt | 20 σπῆλον w | 20 ῥατίδα z | 21 τελειομένοι z | 22 θεοῦ post εἰκόνα w, > x | 22 φυλάσεσθε w, φυλάσθε Y, φυλάσσεσθαι t | 23 ὅ .... 24 ἐθνῶν wx [ἔστιν x], τουτέστι [τοῦτ' ἔστη z] τῇ τῶν ἐθνῶν συναγωγῇ yz | 24 φωτὶ πρὸς σκότος καὶ + w | 25 γὰρ wxt, οὖν yz | 25 τὰ > z

*διαβόλου φρονούντων εἷς ἐξ αὐτῶν λογισθήσεται καὶ τὸ οὐαὶ κληρονομήσει. φεύγετε δὲ καὶ τὰ ἀπρεπῆ τῶν θεαμάτων, τὰ θέατρά φημι καὶ τὰς ἑλληνικὰς πομπάς, ἐπαοιδάς, κληδόνας, μαντείας, καθαρισμούς, οἰωνισμούς, ὀρνιθοσκοπίας, νεκυομαντείας, ἐπιφωνήσεις· ὅτι γέγραπται Οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακώβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ· καὶ πάλιν Οἰώνισμα ἁμαρτία ἐστίν· καὶ ἀλλαχοῦ Οὐκ οἰωνιεῖσθε, καὶ κληδόσι καὶ μαντείαις καὶ ἐγγαστριμύθοις οὐκ ἐπακολουθήσετε, φαρμακοὺς οὐ περιβιώσετε. διὸ παραινεῖ καὶ ὁ Ἱερεμίας * λέγων Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ πορεύεσθε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε. διόπερ χρὴ τὸν πιστὸν φεύγειν τὰς συνόδους τῶν ἀσεβῶν Ἑλλήνων καὶ Ἰουδαίων καὶ τῶν λοιπῶν αἱρετικῶν, ἵνα μὴ* |ω *τῷ συσχολάζειν αὐτοῖς παγίδας λάβωμεν ταῖς ἑαυτῶν ψυχαῖς, ὅπως μὴ συναναστρεφόμενοι ταῖς ἑορταῖς αὐτῶν, αἵτινες ἐπὶ τιμῇ τῶν δαιμόνων ἐπιτελοῦνται, κοινωνήσωμεν αὐτοῖς καὶ τῆς ἀσεβείας. φευκτέαι δὲ αὐτῶν καὶ αἱ πανηγύρεις καὶ τὰ ἐν αὐταῖς ἐπιτελούμενα παίγνια· πιστὸν γὰρ ἐν πανηγύρει οὐ χρὴ παραβάλλειν πλεῖον τοῦ σωμάτιον πρίασθαι καὶ ψυχὴν περιποιήσασθαι * καὶ ἕτερά τινα συνωνήσασθαι τῶν πρὸς σύστασιν ἁρμοζόντων. ἀπέχεσθε οὖν πάσης τῆς τῶν εἰδώλων πομπῆς, φαντασίας, πανηγύρεως,*

5 Num 23, 23 | 7 Reg α 15, 23 | 7 Lev 19, 26 | 10 Hierem 10, 2

1 *τὸ* wxyt, *τοῦ* z | 2 *δή* yt, de z me dubitare memini | 4 *κλιδόνας* w | 4 *μαντίας* w | 5 *νεκρομαντείας* C quocum z conferens nihil adnotavi | 5 *οὐκ* yz | 5 *γὰρ* > yz | 7 *ἐστί* yzt | 7 *ἀλαχοῦ* w | 8 *κληδώσι* y | 8 *ἐνγαστριμύθοις* wx | 9 *περιβιώσεται* w, *περιποιήσετε* yzt | 9 *παραινεῖ* > yz | 10 *ὁ* > y | 10 *ἱηρεμίας* x | 10 *ὁμοίως παραινεῖ* + yz | 10 *τοὺς* [sic] z | 11. 12 *διόπερ* wxt, *ὥστε* yz | 14 *τῷ* [*τὸ* x] *συσχολάζειν* xyzt, *συσχολάζοντες* w | 14 *παγίδας* wxt, *κηλίδας* yz | 16 *ἐπιτελοῦνται* post *αἵτινες* w | 16 *ἐπὶ τιμῇ* xyzt, *διατιμὴν* w | 17 *φευκταὶ* Yz, *φευκταίαι* yt [*ἶ* t] | 17 *δ'* yz | 17 *καὶ* alterum wxt, *ἔστωσαν* y, *ἔστωσι* z | 19 *παραβαλεῖν* w | 19 *πλεῖον* .... 20 *καὶ* prius xt, nisi quod *σωματεῖον* x: contra *εἰ μὴ βούλοιτό τι πριᾶσθαι τῶν τῷ σώματι ἀναγκαίων εἰς σκέπην* [*εἰσκέπην* contr z] *ἢ* yz. quae usque ad *ἁρμοζόντων* sequuntur si rei summam spectes eadem in xyzt: sed w in locum verborum 19 *πλεῖον* .... 21 *ἁρμοζόντων* haec substituit: *εἰ μὴ τί πρίασθαι τῶν πρὸς σύστασιν ἁρμοζόντων καὶ ψυχὴν περιποιήσασθαι* | 20 *περιποιήσεσθε* z | 20 *ἢ* + y | 20. 21 *συνωνίσασθαι* x, *συνωνήσασθε* z | 21 *προ* x | 22 *τῆς τῶν* > yz | 22 *εἰδόλων* z

συμποσίων, μονομαχίας, καὶ πάσης * θέας δαιμονικῆς. οἱ δὲ νεώτεροι τῆς ἐκκλησίας, ἐν πάσαις ταῖς χρείαις ἀόκνως λειτουργεῖν σπουδάζετε, * μετὰ πάσης σεμνότητος τοῖς ἔργοις ὑμῶν σχολάζετε, ὅπως ἐν παντὶ τῷ χρόνῳ ὑμῶν ἦτε ἐπαρκοῦντες καὶ ἑαυτοῖς καὶ τοῖς πενομένοις, πρὸς τὸ μὴ ἐπιβαρεῖν τὴν τοῦ θεοῦ ἐκκλησίαν. καὶ γὰρ καὶ ἡμεῖς, σχολάζοντες τῷ λόγῳ τοῦ εὐαγγελίου, ὅμως καὶ τῶν ἐπεργίων οὐκ ἀμελοῦμεν· οἱ μὲν γάρ εἰσιν ἐξ ἡμῶν ἁλιεῖς, οἱ δὲ σκηνοποιοί, οἱ δὲ γῆς ἐργάται, πρὸς τὸ μηδέποτε * ἡμᾶς ἀργοὺς εἶναι. λέγει δέ που καὶ ὁ Σολομὼν Ἴσθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον εἰδὼς τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος· ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφὴν πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. ἢ πορεύθητι πρὸς τὴν μέλισσαν καὶ μάθε ὡς ἐργάτις ἐστὶν τήν τε ἐργασίαν ὡς σεμνὴν ἐμπορεύεται· ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, ποθεινὴ δέ ἐστι καὶ ἐπίδοξος, καίπερ οὖσα τῇ ῥώμῃ ἀσθενής *. καὶ ἑξῆς Ἕως πότε, ὀκνηρέ, κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶν στήθη· εἶτα παραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία, καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς. ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου, καὶ ἡ ἔνδεια ὥσπερ κακὸς ἀνὴρ ἀπαυτομολήσει. καὶ πάλιν Ὁ ἐργαζόμε-

10 Prov 6, 6—8 | 19 Prov 6, 9—11 | 25 Prov 28, 19

1 caput ξγ in Turriano nullum est | 1 πάσης > yz | 1 ἄλλης + yz | 1 σατανικῆς yz | 3 καὶ + yz | 4 σχολάζεται w | 7 τὸν λόγον z | 9 οὖν + yz | 10 εἶν z | 10 δὲ > yz | 10 ἴθι yz | 11 καὶ ... αὐτοῦ > X | 11 ἰδὼν yzt | 12 σοφότερος wx | 12 ἐκείνου w | 13 bis οὐδὲ yzt | 15 ἀμεῖτω w | 15 παρακατάθεσιν w, παράταξιν x | 16 ἐργάτης Wxt, ἐργάτις wyz | 16 ἐστί yzt | 16 δὲ w | 17 ἧς xyzt, εἷς w | 18 ὑγιείαν yz [ίει z] | 18 ποθινὴ x | 18 ἔστιν x | 18 ad ἐπίδοξος margo t: ἐν ἄλλῳ ἐπίδωρος | 19 καίπερ wxyz, ὥσπερ t, sed margo t ἐν ἄλλοις καίπερ | 19 τὴν σοφίαν τιμήσασα προήχθη + t | 19 ἑξῆς wxt, πάλιν yz | 20 κατάκεισε x, κατάκειται z | 20 δὲ > w | 20 ἐκ Y | 21 initio ὀλίγων z | 21 κάθισαι wxyt | 21. 22 ἐναγκαλίζει w | 22 χερσὶ yzt | 22 στῆθι w | 22 κακὸς wyzt, ἀγαθὸς x | 23 παινία Z

νος τὴν ἑαυτοῦ γῆν πλησθήσεται ἄρτων· καὶ ἐν ἄλλοις φησὶν Ὁ ἀργὸς περιέλαβε τὰς χεῖρας αὐτοῦ καὶ κατέφαγε τὰς σάρκας αὐτοῦ· καὶ ἑξῆς Κρύψας ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ οὐ δυνήσεται ἀπενεγκεῖν * εἰς τὸ στόμα αὐτοῦ· καὶ πάλιν Διὰ ἀργίαν χειρῶν ταπεινωθήσεται ἡ δόκωσις. ἐργάζεσθε οὖν ἐνδελεχῶς· ἀθεράπευτος γάρ ἐστιν * ἀργοῦ μῶμος. εἰ δέ τις μὴ ἐργάζηται, οὗτος παρ' ὑμῖν μηδὲ ἐσθιέτω· ἀργοὺς γὰρ μισεῖ καὶ * κύριος ὁ θεὸς ἡμῶν· ἀργὸς γὰρ εἶναι οὐκ ὀφείλει οὐδεὶς τῶν * θεῷ προσανεχόντων.

# Γ

Χήρας δὲ καθιστᾶτε μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, ἵνα τρόπῳ τινὶ τὸ τῆς διγαμίας αὐτῶν ἀνύποπτον βέβαιον ὑμῖν διὰ τῆς ἡλικίας αὐτῶν ὑπάρχῃ. εἰ δὲ νεωτέραν καταστήσετε εἰς τὸ χηρικόν, || καὶ μὴ φέρουσα τὴν ἐν νεότητι χηρείαν γαμηθῇ, ἀπρέπειαν ἐμποιήσει τῇ δόξῃ τοῦ χηρικοῦ καὶ λόγον ὑφέξει τῷ θεῷ, οὐχ ὅτι δευτέρῳ γάμῳ συνήφθη, ἀλλ' ὅτι τὴν ἑαυτῆς ἐπαγγελίαν οὐκ ἐφύλαξε, καταστρηνιάσασα τοῦ χριστοῦ. * διὸ χρὴ μὴ προπετῶς ποιεῖσθαι τὴν ἐπαγγελίαν, ἀλλὰ μετὰ ἀσφαλείας· κρεῖσσον γάρ ἐστιν αὐτὴν μὴ εὔξασθαι, ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. εἰ δέ τις νεωτέρα

2 Eccl 4, 5 | 3 Prov 19, 24 | 5 Eccl 10, 18 | 6 Thess β 3, 10 | 18 Eccl 5, 4

1 πλσθήσεται w | 1 ἄρτον z | 1 ἐν .... φησιν wxt, πάλιν ἀλλαχοῦ ὁ αὐτὸς yz | 2 περιέλαβεν x | 2 αὐτοῦ wxyz, ἑαυτοῦ t | 2 κατέφαγεν x, ἔφαγε yzt | 3 ἑξῆς wxt, πάλιν yz | 4 ἀπενέγκε w | 4 αὐτὴν + w | 5 δι' yzt | 5 ἐργάζεσθαι Z | 6 ἐστι w | 6 ὁ + yz | 7 ἐργάζεται yzt | 7 μὴ yzt | 8 ὁ + t | 9 ὀφέλει z | 9 τῶι + w | 9 τέλος τοῦ β βιβλίου περὶ ἐπισκόπων subscr w, περὶ ἐπισκόπων βιβλίον δεύτερον x

10 Titulus περὶ χηρῶν βιβλίον τρίτον wx [γ̅ x], Βιβλίον γ, ἐν ᾧ περὶ χηρῶν, καὶ ὁποῖαι εἰσὶν ἀληθεῖς καὶ ὄντως χῆραι. ἔχον κεφάλαια κβ y, περὶ χηρῶν t: de z silent adversaria | 10 ξ̅ w | 11 τὸ wyt, τῷ xz | 11 ἡμῖν z | 12 αὐτῶν > yzt | 12 ὑπάρχει w | 12 νεοτέραν z | 12 καταστήσεται x, καταστήσητε wt | 13 καὶ wxt, ἡ δὲ yz | 15 οὐ Y | 16 ἐφύλαξεν x | 16 καταστρινιάσασα w | 17 διότι μετὰ πίστεως καὶ φόβου θεοῦ οὐκ ἦλθε φυλάξαι τὴν ἐπαγγελίαν + t | 17 ποιεῖσθαι wxt, πληροῦν yz | 18 ἐστὶ y sed super versum post αὐτὴν, > z, post αὐτῇ suum t | 18 αὐτὴ w, αὐτῇ t | 18 μὶ w?

*ὀλίγον χρόνον σὺν τῷ ἀνδρὶ ποιήσασα καὶ ἀποβαλοῦσα αὐτὸν διὰ τελευτῆς ἢ δι' ἀφορμῆς τινος ἑτέρας, καὶ μείνῃ ἐφ' ἑαυτῆς δῶρον ἔχουσα χηρείας, μακαρία εὑρεθήσεται, ὁμοιωθεῖσα τῇ ἐν Σαρεφθοῖς σιδωνίᾳ χήρᾳ, πρὸς ἣν ὁ ἅγιος * προφήτης Ἡλίας ἐξενώθη. ἡ τοιαύτη ἐξομοιωθήσεται Ἄννῃ τῇ θυγατρὶ Φανουὴλ τῇ ἐκ φυλῆς Ἀσήρ, ἣ οὐκ ἀφίστατο τοῦ ἱεροῦ νύκτωρ καὶ μεθ' ἡμέραν προσμένουσα ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, οὖσα μὲν ἐτῶν ὀγδοήκοντα *, ζήσασα δὲ μετὰ * ἀνδρὸς ἐκ τῆς παρθενίας αὐτῆς ἔτη ἑπτά, * καὶ τὴν τοῦ χριστοῦ δοξάσασα παρουσίαν ἀνθωμολογεῖτο τῷ κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ· ἡ * τοιαύτη μαρτύριον λαβοῦσα τιμηθήσεται, κλέος ἔχουσα καὶ ἐπὶ γῆς παρὰ ἀνθρώποις καὶ παρὰ θεῷ ἐν οὐρανοῖς τὸν αἰώνιον ἔπαινον.* |

2 *αἱ δὲ νεώτεραι χῆραι εἰς χηρικὸν μὲν μὴ ἐνταἀσσέσθωσαν, μήποτε προφάσει τοῦ μὴ δύνασθαι κρατεῖν τῆς ἀκμῆς ἐπὶ δευτερογαμίαν ἐλθοῦσαι ἐν πράγματι * γένωνται, ἐπικουρείσθωσαν δὲ καὶ βοηθείσθωσαν, ἵνα μὴ προφάσει τοῦ λείπεσθαι ἐπὶ δευτερογαμίαν ἐλθοῦσαι ἐν πράγματι ἀπρεπεῖ ἐνσχεθῶσι. καὶ τοῦτο γὰρ εἰδέναι ὀφείλετε, ὅτι μονογαμία μὲν κατὰ νόμον γινομένη δικαία, ὡς ἂν κατὰ γνώμην θεοῦ ὑπάρχουσα, διγαμία δὲ μετὰ ἐπαγγελίαν παράνομον, οὐ διὰ τὴν συνάφειαν ἀλλὰ διὰ τὸ ψεῦδος, τριγαμία δὲ ἀκρασίας σημεῖον, τὸ δὲ ὑπὲρ τὴν τριγαμίαν προφανὴς πορνεία καὶ ἀσέλγεια ἀναμφίβολος. ὁ γὰρ θεὸς μίαν γυναῖκα ἑνὶ ἀνδρὶ δέδωκεν ἐν τῇ δημιουργίᾳ· ἔσονται γὰρ * οἱ δύο εἰς σάρκα μίαν. νεωτέραις δὲ μετὰ τὴν τοῦ πρώτου τελευτὴν*

6 Luc 2, 36. 37 | 26 Gen 2, 24

1 *ἀπὸβαλλοῦσα* w | 3 *χηρίας* x | 4 *ὠμοιωθεῖσα* x | 4 *σαραφθοῖς σιδονία* yz | 5 *τοῦ θεοῦ* + yzt | 5 *ἐξεναγίθη* w, *ἐπεξενώθη* xyz | 6 *ἄννα* x | 6 *ἀσσὴρ* x, *ἀσείρ* yz | 7. 8 *προ\μένουσα* z | 8 *δεήσεσιν* x | 9 *τεσσάρων* + t | 9 *τοῦ* + yz | 10 *ἔτι* w | 10 *αὕτη* + yz | 11 *ἀνθομολογεῖτο* wx | 11 *πᾶσιν* x | 12 *προσδοκῶσι* yzt | 12 *ἱερουσαλήμ* wx, *ἰσραήλ* yzt | 12 *οὖν* + yz | 13 *ἐπὶ γῆς* post *ἀνθρώποις* 14 yzt | 15 *εἰς* > z in lacuna trium literarum capaci | 15 *ἐνταττέσθωσαν* w | 17 *οὐ καλῶ* + yz | 17 *γένονται* w | 17. 18 *ἐπικουρείσθωσαν* .... 20 *ἐνσχεθῶσι* > z | 20 *ἐνσχεθῶσιν* x | 20 *γὰρ* wxt, *δὲ* yz | 22 *ὑπάρχουσαν* w | 23 *συνάφιαν* wx | 24 *δ'* yzt | 26 *δέδωκε* W | 26 *φη* + w

συγκεχωρήσθω καὶ ὁ δεύτερος, ἵνα μὴ εἰς κρίμα τοῦ δια-
βόλου ἐμπέσωσι καὶ παγίδας πολλὰς καὶ ἐπιθυμίας ἀνοή-
τους καὶ ἐπιζημίους ψυχαῖς, αἵτινες κόλασιν προξενοῦσι
μᾶλλον, ἢ ἄνεσιν. | αἱ δὲ ἀληθιναὶ χῆραί εἰσιν αἱ μόναν- 3
δροι ὑπάρξασαι, * μαρτυρούμεναι ὑπὸ πλειόνων ἐν ἔργοις
ἀγαθοῖς, χῆραι τῷ ὄντι, σώφρονες, * ἁγναί, * πισταί, * εὐσε-
βεῖς, * τεκνοτροφήσασαι καλῶς καὶ ξενοδοχήσασαι ἀμέμπτως,
ὧν καὶ ἀντιλαμβάνεσθαι χρὴ ὡς θεῷ ἀνακειμένων. ἀλλὰ
μὴν καὶ τῶν πενήτων μνημόνευε, ὦ ἐπίσκοπε, καὶ αὐτοῖς
χεῖρα ὀρέγων ἐπικουρίας καὶ πρόνοιαν αὐτῶν ποιούμενος,
ὡς θεοῦ οἰκονόμος εὐκαίρως * ἑκάστῳ διανέμων τὰ πρό-
σφορα, χήραις καὶ ὀρφανοῖς καὶ ἀπεριστάτοις καὶ τοῖς ἐν
θλίψει ἐξεταζομένοις. | τί γὰρ εἴ τινες μή εἰσι χῆραι *, 4
βοηθείας δὲ χρήζουσι διὰ πενίαν ἢ διὰ νόσον ἢ διὰ τε-
κνοτροφίαν; πάντας σε δεῖ ἐφορᾶν καὶ πάντων ἐπιμελεῖ-
σθαι. οἱ γὰρ τὰ δόματα διδόντες οὐκ αὐτοσχεδίως αὐτὰ
διδόασι ταῖς χήραις, ἀλλὰ συνεισφέρουσιν ἁπλῶς, ἑκούσια
αὐτὰ ὀνομάζοντες, ὅπως σὺ ὁ ἐπιστάμενος τοὺς θλιβομένους
ἀκριβῶς ὡς ἀγαθὸς οἰκονόμος μερίζῃς αὐτοῖς ἐκ τοῦ δόμα-
τος· ὁ γὰρ θεὸς γνωρίζει τὸν δεδωκότα, κἂν ἀπόντος αὐ-
τοῦ ὑπὸ σοῦ τοῖς δεομένοις μερίζηται· καὶ ὃς μὲν ἔχει τὸν
τῆς εὐποιίας μισθόν, σὺ δὲ τὸν τῆς εὐσυνειδήτου οἰκονομίας
μακαρισμόν. λέγε δὲ αὐτοῖς καὶ τίς ἐστιν ὁ δεδωκώς, ἵνα καὶ
ἐξ ὀνόματος ὑπὲρ αὐτοῦ προσεύχωνται. χρὴ γὰρ εὖ ποιεῖν
ἅπαντας ἀνθρώπους, μὴ φυλοκρινοῦντας τοῦτον ὅστις ἢ ἢ

1 Tim α 6, 9

1 συγκεχωρεῖσθω w, συνκεχωρείσθω x | 2 ἐμπέσωσιν x | 2. 3 ἀνοήτους Wxt, ἀνονήτους wyz | 3 προξενοῦσιν x | 4 δὲ wxt, οὖν yz | 5 αἱ + yz | 5 πλείνων z | 6 σώφροναις w | 6 καὶ ter + yz | 7 αἱ + yz | 7 ἀμέμπως y | 8 ὧν xyzt, ἃς w in rasura | 8 ἀνακειμένας w | 9 πενίτων w | 9 ὦ ἐπίσκοπε μνημόνευε yzt | 10 ἐπικουρίαν w | 11 τοίνυν + yz | 11 διάνεμε yz | 12 καὶ ἀπεριστάτοις > yz | 12 καὶ tertium > x | 13 εἰ xyzt, αἳ w | 13 μὴ εἰσὶν x, αἳ οὐκ εἰσὶν w | 13 ἢ χῆραι + t | 14 δὲ > w | 14 χρίζουσιν W, χρίζουσι w, χρήζουσιν x | 14 νόσων x | 15 πάντων wyt, πάντα x, πάνιτῶν z | 17 διδόασιν x | 18 ὁ > yz | 19 μερίζεις w | 19. 20 δώματος w | 20 γνωρίζει wx, γινώσκει yzt | 21 μερίζεται w, μερίζητε z | 21 καὶ > yz | 21 ὃς xt, αὐτὸς w, ὁ yz | 23 ἐστιν > yzt | 24 εὔχονται w, προσεύχονται x, προσεύχοντε z | 25 πάντας yzt | 25 φιλοκρινοῦντας t | 25 ἢ > x

ἐκεῖνον· ὁ γὰρ κύριός φησι Παντὶ τῷ αἰτοῦντί σε δίδου· δῆλον δὲ ὡς τῷ χρῄζοντι κατὰ ἀλήθειαν, κἂν φίλος ᾖ κἂν ἐχθρός, κἂν εὐγενὴς κἂν ἀλλότριος, κἂν ἄγαμος κἂν γεγαμηκὼς ὑπάρχῃ. ἐν πάσῃ γὰρ γραφῇ ὁ κύριος περὶ τῶν πενήτων παραινεῖ, λέγων διὰ μὲν Ἡσαΐου Διάθρυπτε || πεινῶντι τὸν ἄρτον σου καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· * ἐὰν * ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. καὶ διὰ τοῦ Δανιὴλ λέγει τῷ δυνάστῃ Διό, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων· καὶ διὰ Σολομῶνός φησιν Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· καὶ διὰ τοῦ Δαβὶδ πάλιν λέγει Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος· καὶ πάλιν Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα· καὶ ὁ Σολομὼν φησιν Ὁ ἐλεῶν πτωχὸν κυρίῳ δανείζει *, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδοθήσεται αὐτῷ· καὶ ἑξῆς Ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι τοῦ δεομένου, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰσακούων αὐτοῦ. | ὑπαρχέτω δὲ πᾶσα χήρα πραεῖα, ἥσυχος, ἐπιεικής, ἀόργητος, ἄκακος, μὴ πολύλαλος, μὴ κραύγασος, μὴ πρόγλωσσος, μὴ κατάλαλος, μὴ λεξίθηρος, μὴ δισσόλογος, μὴ φιλοπράγμων. βλέπουσά τι σκολιὸν ἢ * ἀκούουσα γινόμενον, * ὡς μὴ ἀκούουσα ὑπαρχέτω. καὶ μηδὲν * ἕτερον τῇ χήρᾳ μελέτω εἰ μὴ

1 Luc 6, 30 | 5 Isaj 58, 7 | 9 Dan 4, 24 | 12 Prov 16, 6 | 13 Psalm 41, 2 | 15 Psalm 112, 9 | 17 Prov 19, 17 | 18 Prov 21, 13

1 φησίν x, φησί post δίδου yz | 3 συγγενὴς yzt | 4 ὑπάρχει w et super versum y, > Yz | 4. 5 περὶ τῶν πενήτων > w | 5. 6 πεινόντι wZ [o Z] | 6 τὸν w in rasura | 6 εἶσαγε x | 7 καὶ πάλιν + yz | 7 δὲ + t | 8 οἰκίων w | 8 ὑπερόψη wxt | 8 καὶ διὰ wxt, διὰ δὲ yz | 9 λέγει τῷ δυνάστῃ > Yz | 10 καὶ > yz | 11 πενίτων w | 11. 12 σολομῶντος yz | 12 φησιν > yz | 15 ἔδωκεν x | 16 ὁ > w | 17 φησιν wxt, πάλιν yz | 17 κυρίῳ > yz | 17 δανίζει wyz | 17 θεῷ + yz | 17 κατὰ δὲ wxt, καὶ κατὰ yz | 17 δώμα w | 18 ἀντάποδωθήσεται w | 18 ἑξῆς wxt, πάλιν yz | 18 φράσει z | 19 τοῦ prius > yzt | 20 ὁ > yt | 21 ἄκακος ἀόργητος yt | 21 ἀόργητος > z | 22 μὴ κραύγασος > yz | 23 μὴ λεξίθηρος > yz | 23 δίλογος yz | 23 φιλοπράγμον w | 24 καὶ + yzt | 24 ἔστω ὡς μὴ βλέπουσα καὶ + yzt | 24 ὡς .... 25 ὑπαρχέτω > w | 25 ὑπαρχέτω καὶ > yz | 25 οὖν + yz

τὸ προσεύχεσθαι ὑπὲρ τῶν διδόντων καὶ ὑπὲρ ὅλης τῆς ἐκκλησίας. ἐπερωτωμένη δέ τι ὑπὸ τινός, μὴ ῥαδίως ἀποκρινέσθω, πλὴν ὅσα περὶ πίστεως καὶ δικαιοσύνης καὶ τῆς εἰς θεὸν ἐλπίδος, ἀποστέλλουσα τοῖς ἡγουμένοις τοὺς θέλοντας κατηχεῖσθαι τὰ τῆς εὐσεβείας δόγματα. μόνα δὲ ἀνακρινέσθω τὰ περὶ ἀνατροπῆς * πολυθέου πλάνης, ἀποδεικνύουσα τὸν περὶ μοναρχίας * θεοῦ λόγον, περὶ δὲ τῶν ἑξῆς προπετῶς τι μὴ ἀποκρινέσθω, ὅπως μή τι ἀμαθῶς φθεγξαμένη βλασφημίαν προστρίψῃ τῷ λόγῳ. κόκκῳ γὰρ σινάπεως ἐοικέναι τὸν λόγον ὁ κύριος ἐδογμάτισε· τοῦτο δὲ ἐστὶ τὸ διάπυρον, ᾧ ἐάν τις ἀπείρως χρήσηται, πικρὸν αὐτὸ εὑρήσει. χρὴ γὰρ ἐν τοῖς μυστικοῖς μὴ προδότην εἶναι, ἀλλ' ἀσφαλῆ· παραινεῖ γὰρ ἡμῖν ὁ κύριος * λέγων Μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. ἀκούσαντες γὰρ οἱ ἄπιστοι τὸν περὶ χριστοῦ λόγον οὐ δεόντως ἀλλ' ἐνδεῶς, καὶ μάλιστα * περὶ ἐνσωματώσεως ἢ τοῦ πάθους αὐτοῦ, μυκτηρίσαντες χλευάσουσι μᾶλλον * ὡς ψευδῆ, ἢ δοξάσουσι, καὶ ἔνοχος * ἔσται τῆς προπετείας ἡ πρεσβῦτις καὶ τῆς βλασφημίας καὶ τὸ οὐαὶ κληρονομήσει. οὐαὶ γάρ, φησί, δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. | οὐκ ἐπιτρέπομεν οὖν γυναῖκας 6
διδάσκειν ἐν ἐκκλησίᾳ, ἀλλὰ μόνον προσεύχεσθαι καὶ τῶν διδασκάλων ἐπακούειν. καὶ γὰρ καὶ αὐτὸς ὁ διδάσκαλος ἡμῶν καὶ κύριος Ἰησοῦς ὁ χριστὸς ἡμᾶς τοὺς δώδεκα πέμψας μαθητεῦσαι τὸν λαὸν καὶ τὰ ἔθνη, γυναῖκας οὐδαμοῦ ἐξαπέστειλεν εἰς τὸ κήρυγμα, καίτοι οὐκ ἀπορῶν· συνῆν

10 Matth 13, 31 | 13 Matth 7, 6 | 21 Isaj 52, 5

1 τῶ z | 2 τι > yz | 5 δὲ wxt, οὖν yz | 6 ἀποκρινέσθω yzt | 6 τῆς + w a prima manu, sed ut videtur serius infarctum | 7 τοῦ + w | 8 ἀποκρινομένη w | 10 σινάπεος w, σινήπεως x, συνάπεως yz | 10 ἐδογμάτισεν x | 11 δ' yzt | 11 ἐστιν x | 11 τὸ > yzt | 11. 12 αὐτοῦ z | 12 γὰρ wxt, δὲ yz | 13 παραινεῖ γὰρ ἡμῖν wxt, καθὼς καὶ yz | 13 ἐδίδαξε + yz | 13. 14 βάλετε w, βάλλετε t | 17 ἀλλ' ἐνδεῶς > yz | 17 τὸν + yzt | 18. 19 χλευάσουσιν x | 19 καὶ + yz | 19 ἢ > yz | 19 δοξάσουσιν x | 19 λοιπὸν + yz | 19 ἔστε z | 20 τῆς προπετείας > x | 21 γάρ wxz, δέ yt | 21 φησιν x | 22 γυναῖκες z | 25 ὁ > y | 27 ἀπέστειλε W, ἀπέστειλεν w

γὰρ ἡμῖν ἥ τε μήτηρ τοῦ κυρίου καὶ αἱ ἀδελφαὶ αὐτοῦ, ἔτι δὲ Μαρία ἡ μαγδαληνὴ καὶ Μαρία * Ἰακώβου καὶ Μάρθα καὶ Μαρία αἱ ἀδελφαὶ Λαζάρου, καὶ Σαλώμη καὶ ἕτεραί τινες. εἰ γὰρ ἦν ἀναγκαῖον γυναιξὶ διδάσκειν, αὐτὸς ἂν ἐκέλευσε πρῶτος καὶ ταύταις σὺν ἡμῖν κατηχεῖν τὸν λαόν· εἰ γὰρ κεφαλὴ γυναικὸς ὁ ἀνήρ, οὐκ ἔστι δίκαιον τὸ λοιπὸν σῶμα τῆς κεφαλῆς ἐξάρχειν. γνωριζέτω οὖν ἡ χήρα ὅτι θυσιαστήριόν ἐστι θεοῦ, καὶ καθήσθω ἐν τῇ οἰκίᾳ αὐτῆς, μὴ μετὰ τινὸς προφάσεως ἐν ταῖς τῶν πιστῶν οἰκίαις ἐπὶ τῷ λαμβάνειν εἰσπορευομένη· οὐδέποτε γὰρ τὸ θυσιαστήριον τοῦ θεοῦ περιτρέχει, ἀλλ' ἐν ἑνὶ τόπῳ καθίδρυται. ὑπαρχέτω οὖν καὶ ἡ παρθένος καὶ ἡ χήρα μὴ περιτροχᾶς ἢ ῥεμβομένη κατὰ τὰς τῶν ἀλλοτρίων οἰκίας· ὅτι αἱ ῥεμβοὶ καὶ ἀναιδεῖς καὶ αἱ τοιαῦται * οὐχ ἡσυχάζουσι * τοὺς πόδας ἐν ἑνὶ τόπῳ διὰ τὸ μὴ χήρας ἀλλὰ πήρας αὐτὰς ὑπάρχειν, ἑτοίμους εἰς τὸ λαμβάνειν, φλυάρους, καταλάλους, μαχοσυμβούλους, ἀναιδεῖς, ἀναισχύντους· αἵτινες τοιαῦται ὑπάρχουσαι οὐκ ἄξιαι τοῦ καλέσαντος τυγχάνουσιν. οὐ γὰρ ἐπὶ τὸ κοινὸν τῆς συναγωγῆς ἀνάπαυμα ἐν τῇ κυριακῇ καταντῶσιν ὥσπερ οἱ ἐγρηγορότες, ἀλλ' ἢ νυστάζουσιν ἢ φλυαροῦσιν * ἢ αἰτοῦσιν ἢ ἑτέρους αἰχμαλωτίζουσιν, προσάγουσαι τῷ πονηρῷ καὶ οὐκ ἐῶσαι αὐτοὺς νήφειν ἐν κυρίῳ, ἀλλὰ παρασκευάζοντες τοιούτους αὐτοὺς ἐξιέναι οἷοι καὶ εἰσίασιν, διάκενοι, διὰ τὸ μὴ ἀκούειν τῶν ἀναγινωσκόντων ἢ τῶν διδασκόντων τὸν τοῦ κυ-

6 Cor α 11, 3

2 μαγδαλινὴ w | 2 ἡ + yzt | 2 ἰακόβου z | 3 καὶ secundum > t | 4 γυναιξὶν x | 5 ἐκέλευσεν x | 6 γὰρ wxt, δὲ yz | 6 ἔστιν x | 8 ἔστιν x | 8 καθίστω w, καθείσθω x, καθίσθω t | 10 τῷ xyzt, τὸ w | 10 εἰσπορευέτω w | 10 οὐδὲ γάρ ποτε yzt | 11 ἐν > w | 11 ἑνὶ > x | 11. 12 ἵδρυται t | 13 περὶ τρο ᾶς erasa litera una w, περιτροχάς x, περιτρέχουσα t, ῥεμβομένη yz | 13 ῥεμβομένη wxt, περιτρέχουσα yz | 13 τῶν > w | 14 αἱ prius > t | 14 αἱ αἵρεμβοι καὶ ἀνεδεὶς καὶ w, > yz | 14 ἀναιδεῖς + yz | 14. 15 ἡσυχάζουσιν xyz | 15 οὐδὲ κατέχουσι + yz | 16 πείρας w | 17 μαχοσυμβόλους x, μάχης συμβούλους y, μαχησυμβούλους z | 18 αἵτινες wxt, αἱ οὖν yz | 18 ἔξιαι z | 20 ἐν τῇ κυριακῇ > x | 20 ἀπαντῶσιν y | 20 ὡς yzt | 21 ἢ μαστροπεύουσιν + yzt | 22 αἰχμαλωτίζουσι yzt | 22 προσάγοντες xt | 22 καὶ > xt | 22 ἐῶντες xt | 23 παρασκευάζουσαι yz | 24 οἷοι xyzt, οἳ w | 24 εἰσίασι yzt | 25 διδασκόντων et ἀναγινωσκόντων locos mutant apud yzt

ρίου λόγον· περὶ γὰρ τῶν τοιούτων καὶ Ἡσαΐας ὁ προφήτης λέγει Ἀκοῇ ἀκούσητε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε, ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν. |

7 τὸν αὐτὸν οὖν τρόπον καὶ τῶν τοιούτων χηρῶν ἐκλείσθη τὰ ὦτα τῆς καρδίας εἰς τὸ μὴ καθεζομένας ἔνδον ἐν ταῖς στέγαις αὐτῶν προσλαλεῖν τῷ κυρίῳ, ἀλλὰ περιτρεχούσας ἐν ἐπινοίᾳ κορισμοῦ διὰ τῶν φλναριῶν τὰ τοῦ ἀντικειμένου ἐπιθυμήματα πράσσειν. αἱ τοιαῦται οὖν χῆραι οὐ προσήρτηνται τῷ θυσιαστηρίῳ τοῦ χριστοῦ. εἰσὶ γὰρ ἔνιαι χῆραι ἐργασίαν ἡγούμεναι τὸ πρᾶγμα· καὶ ἐξ ὧν ἀναισχύντως αἰτοῦσιν καὶ ἀπλήστως λαμβάνουσιν, ἤδη καὶ ὀκνηροτέρους τοὺς πολλοὺς πρὸς τὸ διδόναι κατέστησαν. δέον γὰρ αὐτὰς ἀρκεῖσθαι τοῖς ἐκκλησιαστικοῖς διὰ μετριότητα γνώμης, ἐκ τῶν ἐναντίων ἐπιτρέχουσαι τοὺς τῶν πλουσίων οἴκους διασείουσιν εὐπορίαν τε χρημάτων ἑαυταῖς ἐπισωρεύουσιν καὶ ἐπὶ πικροῖς τόκοις δανείζουσι καὶ μόνου τοῦ μαμωνᾶ φροντίζουσιν, ὧν ὁ θεὸς τὸ βαλλάντιον, αἳ τὸ φαγεῖν καὶ * πιεῖν προκρίνουσι πάσης ἀρετῆς λέγουσαι Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν, αἳ ὡς ἑστῶτα ταῦτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα. ἡ γὰρ ἠσκηκυῖα περὶ τὸ χρηματολογεῖν ἀντὶ τοῦ θεοῦ λατρεύει τῷ μαμωνᾷ, τοῦτ᾽ ἔστι δουλεύει τῷ κέρδει, τῷ δὲ θεῷ εὐάρεστος εἶναι οὐ δύναται οὐδὲ ταῖς λατρείαις αὐτοῦ ὑπήκοος, συνεχῶς οὐ δυναμένη ἐντυγχάνειν αὐτῷ, ἐπὶ τὸ ἀργυρολογεῖν τὸν νοῦν καὶ τὴν διάθεσιν ἔχουσα· ἐπείπερ ὅπου ὁ θησαυρός, ἐκεῖ καὶ ἡ καρδία αὐτῆς. ἐν νῷ γὰρ διαλαμβάνει ποῦ πορευθῇ

2 Isaj 6, 9. 10 | 19 Isaj 22, 13 = Cor α 15, 32 | 26 Matth 6, 21

1 γὰρ > yz | 1 καὶ > w | 2 ἀκούσετε yt, ἀκούσατε z | 2 βέποντες y | 3 βλέψητε w | 4 καὶ ... ἤκουσαν > yzt | 7 περιτρέχουσαι wyz | 8 φλιαριῶν z, φλοιαριῶν t | 8 ἐνθυμήματα yz | 9 πράσσουσιν y, πράσσους z | 9 προσήρτηντε x | 10 εἰσὶν x | 10 γὰρ wxt, δὲ yz | 11 αἰτοῦσι yzt | 13 διδῶναι w | 14 ἐκκλησιαστικης Z | 15 ἐμπεριτρέχουσαι t, ἐκπεριτρέχουσαι yz | 15 πλησίων zt | 16 τε > yzt | 16 περισωρεύουσαι y, περιπορεύουσαι z, ἐπισωρεύουσαι t | 17 δανίζουσι w, δανείζουσιν xY | 17 μαμουνᾶ z | 18 βαλάντιον z | 18 τὸ + yzt | 19 προκρίνουσιν x | 21 περὶ > yz | 23 ἔστιν x | 23 δουλεύει xyzt, λατρεύει w | 23 εὐαρέστως w | 24 οὐ wxt, οὖν yz | 26 ἔχει yz

λήμματος χάριν, ἢ ὅτι ἡ δεῖνα ἡ φίλη αὐτῆς ἐπιλέληςται καὶ λόγον τινὰ ταύτῃ προσενεγκεῖν ὀφείλει· ἡ δὲ τοιαῦτα λογιζομένη οὐκέτι τῇ προσευχῇ προσέξει, ἀλλὰ τῇ ἐμπιπτούσῃ ἐννοίᾳ. διὸ κἂν ποτε θελήσῃ προσεύξασθαι ὑπὲρ τινός, οὐκ εἰσακουσθήσεται· οὐ γὰρ ἐξ ὅλης καρδίας προσφέρει κυρίῳ τὴν δέησιν, ἀλλὰ μεμερισμένῃ διανοίᾳ. ἡ δὲ θεῷ βουλομένη προσανέχειν καθημένη ἔνδον φρονεῖ τὰ τοῦ κυρίου, νυκτὸς καὶ ἡμέρας ἀκαταπαύστῳ στόματι δέησιν προσφέρουσα εἰλικρινῆ. ὥσπερ οὖν καὶ ἡ σοφωτάτη Ἰουδίθ, μαρτυρουμένη ἐπὶ σωφροσύνῃ, νυκτὸς καὶ ἡμέρας ἐδέετο τοῦ θεοῦ ὑπὲρ τοῦ Ἰσραήλ, οὕτως οὖν καὶ ἡ ὁμοία αὐτῇ χήρα ἔντευξιν ἀκατάπαυστον ὑπὲρ τῆς ἐκκλησίας προσοίσει τῷ θεῷ, καὶ εἰσακούσεται αὐτῆς διὰ τὸ τὴν διάνοιαν αὐτῆς πρὸς μόνῳ τούτῳ ἠρτῆσθαι καὶ μήτε πρὸς ἀπληστίαν μήτε πρὸς ἐπιθυμίαν πολυδάπανον ἐκκεῖσθαι· ὅ τε ὀφθαλμὸς * αὐτῆς ἁγνὸς καὶ ἡ ἀκοὴ καθαρὰ καὶ αἱ χεῖρες ἀμόλυντοι καὶ οἱ πόδες ἴσοι καὶ τὸ στόμα οὔτε πρὸς λαιμαργίαν οὔτε πρὸς φλυαρίαν ἕτοιμον, ἀλλὰ λαλοῦν μὲν τὰ δέοντα, μεταλαμβάνον δὲ ὧν προσῆκεν διὰ μόνην τὴν σύστασιν. οὕτως οὖν σεμνὴ καὶ ἀτάραχος ὑπάρχουσα εὐάρεστος ἔσται * θεῷ, καὶ ἅμα τῷ αἰτήσασθαί τι αὐτὴν προφθάσει αὐτὴν ἡ δόσις· ἔτι γάρ σου * λαλοῦντος * ἐρῶ Ἰδοὺ πάρειμι. τοιαύτη δὲ οὖσα ὑπαρχέτω ἀφιλάργυρος, ἄτυφος, μὴ αἰσχροκερδής, μὴ ἄπληστος, μὴ λίχνος, ἀλλ' ἐγκρατής, πραεῖα, ἀτάραχος, εὐλαβής, αἰδήμων, καθημένη ἐν τῇ οἰκίᾳ αὐτῆς ψάλλουσα, προσευχομένη, ἀναγινώσκουσα,

22 Isaj 65, 24 + 58, 9

1 ἐπιλέλησθαι w | 2 προσενεγγεῖν z | 2 ὠφειλει x | 3 προσευχὴ w pr. m. in margine | 3 προσεξη t | 4 θελήσει w | 6 τὴν δέησιν κυρίω yzt | 6. 7 βουλομένη θεῶ x | 9 εἰλικρινήν w | 9 οὖν > yz | 9. 10 ἰουδὴθ yt | 10 σοφροσύνη z | 11 ἐδεῖτο yzt | 12 αὐτῇ Wxyzt, αὐτῆς w | 13 προσείσοι z | 13 τῷ > yzt | 14 μόνον yz | 14 ἠρτεῖσθαι x | 15 ἐκκεῖσθε z | 15. 16 ὀφλμὸς Y, ὀφθαλὶς z | 16 οὖν τῆς + yz | 16 τοιαύτης yz | 16 χεῖραις w | 17 ἴσοι wx, ἥσυχοι yzt | 18 λαλεῖ w | 18 μὲν > w | 19 μεταλαμβάνει w | 19 προσῆκε yzt | 20 οὕτω t | 20 οὖν > t | 20 τῶ + yzt | 21 τῶ xyzt, τὸ w | 21 αὐτήν τι yzt | 22 γὰρ > yz | 22 φησί + yzt | 22 φησιν + x | 22 ἐρεῖ w | 23 δὲ οὖσα wxt, τοίνυν σπουδάζουσα ἐπὶ τούτοις yz | 23 ἔστυφος z

ἀγρυπνοῦσα, νηστεύουσα, θεῷ πάντοτε προσομιλοῦσα ᾠδαῖς καὶ ὕμνοις. ἔριά τε ἐκλαμβάνουσα, ἑτέροις μᾶλλον ἐπιχορηγείτω, ἤπερ αὐτή τινος δεέσθω, μιμνησκομένη τῆς ἐν τῷ εὐαγγελίῳ μεμαρτυρημένης ὑπὸ τοῦ κυρίου χήρας, ἥτις ἐλθοῦσα ἐν τῷ ἱερῷ ἔβαλεν εἰς τὸ γαζοφυλάκιον τὰ δύο λεπτά, ὅπερ ἐστὶ κοδράντης· * καὶ θεασάμενος αὐτὴν ὁ καρδιογνώστης χριστὸς ὁ κύριος ἡμῶν καὶ διδάσκαλος * εἶπεν Ἀμὴν λέγω ὑμῖν ὅτι αὕτη ἡ χήρα πλεῖον πάντων ἔβαλεν εἰς τὸ γαζοφυλάκιον, ὅτι οἱ πάντες ἐκ τοῦ περισσεύματος αὐτῶν ἔβαλον, αὕτη δὲ * ὅλον * τὸν βίον ὃν εἶχεν. σεμνὰς οὖν δεῖ εἶναι τὰς χήρας, πειθομένας τοῖς ἐπισκόποις * τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις, ἔτι μὴν καὶ ταῖς διακόνοις, εὐλαβουμένας, ἐντρεπομένας, φοβουμένας, μὴ κατεξουσιαζούσας μηδὲ παρὰ τὴν διαταγήν τι ποιεῖν θελούσας δίχα γνώμης τοῦ διακόνου, οἷον τὸ πρὸς τινὰ ἀπελθοῦσαν ἐπὶ τὸ φαγεῖν παρ' αὐτῷ καὶ πιεῖν, ἢ λαβεῖν τι παρά τινός. εἰ δὲ μὴ κελευσθεῖσα ποιήσει ἕν τι * τούτων, ἐπιτιμάσθω νη-
στείᾳ ἢ ἀφορισμῷ ὡς προπετής. | τί γὰρ ἐπίσταται ὁποία 8
τις ἐστὶν παρ' ἧς λαμβάνει, ἢ ἐκ ποταπῆς διακονίας παραβάλλει τὴν τροφήν; πότερον ἐξ ἁρπαγῆς ἢ ἑτέρας τινὸς οὐ καλῆς ἀγωγῆς; οὐκ ἐπισταμένη ἡ χήρα ὅτι ὑπὲρ ἑνὸς ἑκάστου τούτων δώσει λόγον τῷ θεῷ δεχομένη ἀναξίως θεοῦ. οὔτε γὰρ οἱ ἱερεῖς τοιαύτης ἑκουσιασμὸν δέξονταί ποτε οἷον ἅρπαγος ἢ πόρνης· γέγραπται γὰρ Οὐκ ἐπιθυμήσεις τὰ τοῦ

5 Marc 12, 42—44 | 24 Exod 20, 17

2 ᾠδαῖς .... ἐκλαμβάνουσα > z | 3 μιμνησκομόνη t | 4 μεμαρτυρουμένης x | 5 ἔβαλε W, ἔβαλλεν t | 5 γαζοφυλάκειον wt | 6 ἔστιν x | 6 ἦν + yz | 6 αὐτὴν > yz | 7 χριστὸς xyzt, θεὸς w | 7 εἴσκαλος + t | 7. 8 εἶπε W | 8 ὅτι > yz | 8 πλείων x | 9 γαζοφυλάκειον wt | 9. 10 περισεύματος t | 10 αὐτὴ w | 10 ἐκ τοῦ ὑστερήματος + yzt | 10 αὐτῆς + yzt | 10 εἶχε yzt | 12 καὶ + yzt | 12 ἔτι ... διακόνοις > w | 14 μήτε yzt | 14 διάταξιν w | 15 ἀπελθεῖν yz, ἀπελθούσας t | 16 τὸ wxt, τῷ yz | 16 αὐτ.. W, αὐτῇ w | 16 καὶ πιεῖν [ποιεῖν z] παρ' αὐτῷ yz | 17 δὲ wxt, οὖν yz | 17 ποιήσῃ t, ποιῆσαί yz | 17 ἕν > yz | 17 τῶν εἰρημένων + yz | 17 ἐπιτιμάσθωι w | 18 ἀφοριζέσθω t | 18 τίς w | 18 ἐπίστατε z | 19 ἐστὶ yzt | 19. 20 παραβάλλει wxt, χορηγεῖ yz | 21 οὐκ ἐπισταμένη wx, ἀγνοεῖ τοίνυν yzt | 22 τῷ > yzt | 22 θεοῦ > w | 23 γὰρ wxt, οὖν yz | 23 τοιαύτης > yz, ἐκ τοιαύτης margo y | 23 ἑκουσιασμὸν xyzt, δόσεως w | 23 δέχοντε w | 23 ποτε > W | 24 πόρνου yz | 24 ἐπιθυμίσεις w | 24 τὰ wxt, τι τῶν yz

πλησίον· καὶ Οὐ προσοίσεις μίσθωμα πόρνης κυρίῳ τῷ θεῷ. οὐ δεῖ οὖν δέχεσθαι παρὰ τῶν τοιούτων, οὔτε μὴν παρὰ * ἀφωρισμένων. γινέσθωσαν δὲ αἱ χῆραι ἕτοιμοι πρὸς ὑπακοὴν τῶν ἐντεταλμένων αὐταῖς ὑπὸ τῶν κρειττόνων, καὶ κατὰ τὴν διάταξιν τοῦ ἐπισκόπου ποιείτωσαν ὡς θεοῦ ὑπακούουσαι. ὁ γὰρ ἀπὸ τοιούτου ἐπιρρήτου ἢ ἀποσυναγώγου δεχόμενος καὶ ὑπὲρ τούτου προσευχόμενος, ἐμμένειν τοῖς κακοῖς προαιρουμένου καὶ μὴ θέλοντος μεταμεληθῆναί ποτε, κοινωνεῖ τούτῳ τῇ προσευχῇ καὶ λυπεῖ χριστὸν τὸν τοὺς ἀδίκους ἀποστρεφόμενον, καὶ οἰκοδομεῖ αὐτοὺς διὰ τῆς ἀναξίου δόσεως καὶ συμμολύνεται * αὐτοῖς, μὴ ἀφίων αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν ὥστε προσκλαῦσαι καὶ δεηθῆ-
9 ναι τοῦ θεοῦ. | περὶ δὲ τοῦ γυναῖκας βαπτίζειν γνωρίζομεν ὑμῖν ὅτι κίνδυνος οὐ μικρὸς ταῖς τοῦτο ἐπιχειρούσαις· διὸ οὐ συμβουλεύομεν· ἐπισφαλὲς γάρ, μᾶλλον δὲ παράνομον καὶ ἀσεβές. εἰ γὰρ κεφαλὴ γυναικὸς ὁ ἀνήρ, οὗτος δὲ προχειρίζεται εἰς ἱερωσύνην, οὐ δίκαιον ἀθετῆσαι τὴν δημιουργίαν καὶ καταλιπόντα τὴν ἀρχὴν ἐπὶ τὸ ἔσχατον ἐλθεῖν σῶμα· γυνὴ γὰρ σῶμα ἀνδρὸς ἐκ πλευρᾶς ὂν καὶ ὑποκείμενον * ἐκείνῳ, ἐξ οὗπερ καὶ διηρέθη εἰς παίδων γένεσιν. αὐτὸς γάρ σου, φησί, * κυριεύσει· ἀρχὴ γὰρ γυναικὸς ὁ ἀνήρ, ἐπειδὴ καὶ κεφαλή. εἰ δὲ ἐν τοῖς προλαβοῦσι διδάσκειν αὐταῖς οὐκ ἐπιτρέπομεν, πῶς ἱερατεῦσαι ταύταις παρὰ φύσιν τις συγχωρήσει; τοῦτο γὰρ τῆς τῶν Ἑλλήνων ἀθεότητος τὸ ἀγνόημα θηλείαις θεαῖς ἱερείαις χειροτονεῖν, ἀλλ' οὐ τῆς τοῦ χριστοῦ διατάξεως. εἰ δὲ καὶ ἔδει ὑπὸ τῶν

1 Deut 23, 19 | 16 Cor α 11, 3 | 21 Gen 3, 16

2 οὐ ... τοιούτων > Yz, habet in margine y, sed οὔτε μὴν male etiam in margine scripsit | 3 τῶν + yz | 3 ἀφοριcμένων wxzt | 3 δὲ t, τοίνυν w, > x, οὖν yz | 4 κριττόνων w | 5 ποιήτωσαν t | 5 θεῷ yzt | 9 ποτε > Yz | 11 συμμολύνει x | 11 καὶ + w | 11 αὐτὸς w, αὐτοὺς x | 11 ἀφιεὶς yz | 13. 14 γνωρίζωμεν w | 17 τὴν > t | 18 καταλειπόντα x | 20 ὑποκειμένη w, ὑποκεῖσθαι y, ὑποκεῖσθε z | 20 χρὴ + yz | 20. 21 γέννεσιν w | 21 γὰρ > yz | 21 φησὶν x | 21 ἔσται κεφαλὴ καὶ αὐτός σου + yz | 21 γὰρ alterum wxt, οὖν yz | 22 ὁ > x | 22 καὶ > Y | 22 προλαβοῦσιν x | 23 οὐκ ... ταύταις > z | 23 ἐπιτρέπωμεν w, ἐπετρέψαμεν yt | 25 ἀγνώημα t | 25 ἱερείας yzt | 26 τοῦ > yzt | 26 ἔδει καὶ w | 26 τῶν > yzt

γυναικῶν βαπτίζεσθαι, πάντως ἂν καὶ ὁ κύριος ὑπὸ τῆς ἰδίας
μητρὸς ἐβαπτίζετο καὶ οὐχ ὑπὸ Ἰωάννου, ἢ καὶ ἡμᾶς ἀπο-
στέλλων ἐπὶ τὸ βαπτίζειν συναπέστειλεν ἂν * ἡμῖν καὶ γυναῖ-
κας ἐπὶ τούτῳ· νῦν δὲ οὐδαμοῦ οὔτε προσέταξεν οὔτε ἐγ-
γράφως παρέδωκεν, εἰδὼς καὶ τὴν ἀκολουθίαν τῆς φύσεως
καὶ τὴν εὐπρέπειαν τοῦ πράγματος, ὡς καὶ τῆς φύσεως
δημιουργὸς καὶ τῆς διατάξεως νομοθέτης. | ἀλλ' οὔτε λαϊ- 10
κοῖς ἐπιτρέπομεν ποιεῖν τι τῶν ἱερατικῶν ἔργων, οἷον * θυ-
σίαν ἢ βάπτισμα ἢ χειροθεσίαν ἢ εὐλογίαν μικρὰν ἢ με-
γάλην. οὐχ ἑαυτῷ γάρ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ *
καλούμενος ὑπὸ τοῦ θεοῦ· διὰ γὰρ τῆς ἐπιθέσεως τῶν χει-
ρῶν τοῦ ἐπισκόπου δίδοται ἡ τοιαύτη ἀξία. ὁ δὲ μὴ ἐγ-
χειρισθεὶς ταύτην, ἀλλ' ἁρπάσας αὐτὴν ἑαυτῷ, τὴν τιμω-
ρίαν ὑποστήσεται τοῦ Ὀζίου. | ἀλλ' οὔτε τοῖς λοιποῖς κλη- 11
ρικοῖς ἐπιτρέπομεν βαπτίζειν, οἷον ἀναγνώσταις ἢ ψάλταις
ἢ πυλωροῖς ἢ ὑπηρέταις, * ἢ μόνοις ἐπισκόποις καὶ
πρεσβυτέροις, ἐξυπηρετουμένων αὐτοῖς τῶν διακόνων. οἱ
δὲ τολμῶντες τοῦτο τῶν Κορειτῶν ὑποίσουσι τὴν δίκην.
οὐκ ἐπιτρέπομεν οὖν πρεσβυτέροις χειροτονεῖν διακόνους ἢ
διακονίσσας ἢ ἀναγνώστας ἢ ὑπηρέτας ἢ ᾠδοὺς ἢ πυλω-
ρούς, ἀλλὰ μόνοις τοῖς ἐπισκόποις· αὕτη γάρ ἐστι τάξις
ἐκκλησιαστικὴ καὶ ἁρμονία. | περὶ δὲ φθόνου καὶ ζήλου ἢ 12
καταλαλιᾶς ἢ ἔριδος ἢ φιλονεικίας προείρηται ὑμῖν ὅτι
ταῦτα χριστιανοῦ ἀλλότρια, καὶ μάλιστα * χηρῶν. ἐπειδὴ
* ὁ ἐνεργῶν διάβολος πολύτροπος καὶ ποικίλος ὑπάρχων
εἰς τὰς μὴ χήρας ἐμπομπεύει, ὡς καὶ ποτὲ εἰς τὸν Κάιν·
ἔνιαι γὰρ λέγουσιν εἶναι χῆραι, τὰ δὲ τῆς χηρείας ἄξια
παραγγέλματα οὐ ποιοῦσιν, ὡς οὐδὲ ὁ Κάιν τὰ ἀδελφικὰ
δικαιώματα· ἀγνοοῦσι γὰρ ὡς οὐ τὸ ὄνομα τῆς χηρείας εἰς

2 οὐχι x | 3 τῷ x | 3 συναπόστειλεν z | 3 καὶ + z | 4 τοῦτο yz | 4 προσέταξε W | 5 παρέδωκε W | 6 τὴν > W | 7 τάξεως w | 7. 8 λαϊκὸς z | 8 ἢ + x | 10 ἀλλ' w | 10 ὁ + wt | 13 ἀλλὰ x | 14 τοῦ ὀζίου [Οζία t] ὑποστήσεται yzt | 14 γλοιποῖς z | 16 ἀλλ' + yz | 18 κοριτῶν xyzt | 19 οὐκ .... πρεσβυτέροις] οὔτε μὴν πρεσβύτερον ἐπιτρέπομεν yz | 19 οὖν wx, δὲ t | 20 διακονίσας z | 21 ἔστιν x | 22 καὶ alterum wx, ἢ yzt | 23 ἀπεῖρηται w | 24 χριστιανῶν w, χριστιανοῖς yz | 24 ἐπὶ + yzt | 25 δὲ + yzt | 25 πολυποίκιλος w | 26 ἐκπομπεύει w | 26 καὶ > w | 27 ἔνιαι γὰρ λέγουσιν xyzt, αἱ δὲ λέγουσαι w | 27 δὲ > w | 28 οὐδ' t | 29 δικώματα W | 29 ἀγνωοῦσι w, ἀγνοοῦσιν xyz | 29 γὰρ > yz

βασιλείαν αὐτὰς εἰσάξει, ἀλλ' ἡ ἀληθὴς πίστις *· εἰ δέ
τις τὸ μὲν ὄνομα τῆς χηρείας κέκτηται, ἐπιτελεῖ δὲ τὰ
* τοῦ ἀντικειμένου * ἐπιτηδεύματα, ἡ μὲν χηρεία αὐ-
τῆς οὐ λογισθήσεται, ἐξωσθεῖσα δὲ τῆς βασιλείας αἰωνίᾳ
κολάσει παραδοθήσεται. ἀκούομεν γάρ τινας χήρας ζηλο-
τύπους *, φθονεράς, διαβόλους, βασκαινούσας ταῖς ἑτέρων
ἀνέσεσιν· αἱ δὲ τοιαῦται οὐκ εἰσὶ τοῦ χριστοῦ οὐδὲ τῆς
ἐκείνου διδασκαλίας μαθήτριαι. δέον γὰρ αὐτάς, ἐνδυθεί-
σης αὐτῶν συγχήρας ὑπό τινος ἢ λαβούσης ἀργύρια ἢ τρο-
φὴν ἢ πόμα ἢ ὑπόδεσιν, θεασαμένας τὴν ἀδελφὴν αὐτῶν
13 ἀναψύξασαν εἰπεῖν | Εὐλογητὸς * ὁ θεὸς ὁ ἀναψύξας μου τὴν
συγχήραν. εὐλόγησον, κύριε, καὶ δόξασον τὸν διακονήσαντα
αὐτῇ καὶ τὸ ἔργον αὐτοῦ ἀναβαίη ἐν ἀληθείᾳ πρός σέ καὶ
μνησθήσῃ αὐτοῦ εἰς ἀγαθὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς αὐτοῦ.
καὶ τὸν ἐπίσκοπόν μου τὸν καλῶς σοι λειτουργήσαντα καὶ
διδάξαντα εὔκαιρον ἐλεημοσύνην γυμνῇ οὔσῃ τῇ συγχήρῳ
μου γενέσθαι, προσθείῃς αὐτῷ δόξαν καὶ δῴης αὐτῷ στέ-
φανον καυχήσεως ἐν ἡμέρᾳ ἀποκαλύψεως ἐπισκοπῆς σου.
ὁμοίως καὶ ἡ λαβοῦσα χήρα τὸ ἔλεος συμπροσευχέσθω τῷ δι-
14 δόντι αὐτῇ τὴν διακονίαν. | ἡ μὲν εὐποιοῦσα, ἀποκρυψάτω
τὸ οἰκεῖον ὄνομα ὡς σοφή, μὴ σαλπίζουσα ἔμπροσθεν αὐτῆς,
ἵνα γένηται ἡ ἐλεημοσύνη ἐν κρυπτῷ πρὸς * θεόν· καθὼς
φησιν ὁ κύριος ὅτι Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώ-
τω ἡ ἀριστερά σου * τί ποιεῖ ἡ δεξιά σου, ὅπως ᾖ σου
ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ. καὶ ἡ χήρα προσευχέσθω

23 Matth 6, 3. 4

1 καὶ τὰ θεῖα [ὅσια t] ἔργα + yzt | 2 ἐπιτελεῖ δὲ > yzt | 3 δὲ + yzt | 3 ἐπιτελεῖ + yzt | 3 ἡ wyzt, εἰ x | 3. 4 αὐτῇ x | 4 ἐξωσθήσα w | 6 ὄντας + w | 7 τοιαῦτε z | 7 εἰσὶν x | 7 τῆς wxyzt, τ.. W | 8. 9 ἐνδϋθήσεις w | 9 αὐτῶν yzt, τῆς w, αὐτῶν τῆς x | 9 συνχήρας yz | 9 ἀργύριον xyz | 10 πῶμα w | 10 ὑπόδησιν w | 11 εἰπεῖν a correctore in y eodem loco quo wxt, a prima manu post θεός, neutro loco z | 11 εἶ + yzt | 11 μου > t | 12 συνχήραν yz | 13 καὶ τὸ xt, τὸ γὰρ w, τὸ yz | 13 ἀναβαίνει w, ἀναβῆναι t | 13 ἐν ἀληθείᾳ > Yz | 13 καὶ alterum > yz | 14 μνησθήσει W, μνησθήτι w, μνήσθητι yz | 14 αὐτοῦ alterum wxt, σου yz | 15 σοι λειτουργήσαντα καὶ > yz | 16 εὔκερον Y | 16 συγχήρωι w | 17 αὐτῷ ... δῴης > yz | 17 δώσης t | 19 προσευχέσθω t | 20 μέντοι yzt | 20 ἀπεκρυψατω x | 22 ἐν κρυπτῷ post θεὸν yzt | 22 τὸν + yzt | 23 ἐλεησύνην w | 24 τὸ + x

ὑπὲρ τοῦ δεδωκότος, ὅστις ποτ' ἂν ᾖ, ἅγιον θυσιαστήριον θεοῦ ὑπάρχουσα, καὶ ὁ πατὴρ ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει τῷ εὐποιήσαντι ἐν τῷ φανερῷ. ἀλλ' αἱ μὴ κατ' ἐντολὴν θεοῦ ζῆν θέλουσαι χῆραι φροντίζουσι φιλοπευστεῖν τίς ἡ διακονησαμένη καὶ τίνες αἱ λαβοῦσαι, καὶ μαθοῦσα ἐπιμέμφεται τῇ διακονησάμενῃ λέγουσα ὅτι οὐκ ᾔδεις, ὅτι ἐγώ σοι μᾶλλον ἐγγυτέρα παρ' ἐκείνην ὑπῆρχον καὶ μᾶλλον παρ' ἐκείνην θλιβομένη; τί οὖν προετίμησας ἐκείνην ἐμοῦ; ταῦτα δὲ λέγει ἄφρων ὑπάρχουσα, οὐ νοοῦσα ὅτι οὐκ ἀνθρώπου γέγονεν τοῦτο θέλημα, ἀλλὰ θεοῦ πρόσταγμα. εἰ γὰρ μαρτυρεῖ αὕτη, ὅτι ἐγγυτέρω ὑπῆρχε καὶ ἐν πλείονι ἐνδείᾳ ἐξητάζετο καὶ μᾶλλον αὐτὴ γυμνὴ ἢ ἐκείνη, ὀφείλει νοεῖν τὸν διαταξάμενον καὶ ἀποσιγήσασα καὶ μὴ μεμψαμένη τὴν διακονήσασαν εἰσελθοῦσα εἰς οἶκον ἑαυτῆς καὶ ἐπὶ πρόσωπον ἑαυτῆν βαλοῦσα ἱκετεῦσαι * θεὸν ἀφεθῆναι αὐτῇ τὸ πλημμέλημα. ὁ γὰρ θεὸς ἐνετείλατο τῇ εὐποιούσῃ μὴ τραγῳδεῖν τὴν εὐποιΐαν, ἡ δὲ ἐμέμφετο ὅτι μὴ ἐκήρυξεν ἑαυτῆς τὸ ὄνομα, ἵνα καὶ αὐτὴ μαθοῦσα δράμῃ εἰς τὸ λαβεῖν· καὶ οὐ μόνον ἐμέμφετο ἀλλά γε καὶ κατηρᾶτο αὐτῇ ἐπιλαθομένη τοῦ εἰπόντος Ὁ εὐλογῶν σε εὐλόγηται καὶ ὁ καταρώμενός σε κεκατήρατai. λέγει δὲ ὁ κύριος Ὅταν εἰσέρχησθε εἰς οἶκον *, λέγετε Εἰρήνη τῷ οἴκῳ τούτῳ. καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἡ εἰρήνη ὑμῶν ἐπαναπαύσεται ἐπ' αὐτόν· ἐὰν δὲ μὴ ᾖ ἄξιος, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἀναστρέψει. | εἰ οὖν ἡ εἰρήνη ἐπὶ τοὺς πέμψαντας αὐτὴν ἐπ' ἐκείνους 15
πάλιν ἐπιστρέφει ἐπὶ τοὺς προηκαμένους αὐτὴν διὰ τὸ μὴ

20 Num 24, 9 | 21 Luc 10, 5. 6

1 ποτ' > w | 1 ᾖ xyzt, εἴ w | 2 θεοῦ wxyz, χριστοῦ t | 3 εὖ ποιοῦντι t | 4 ζεῖν x | 4 φροντίζουσιν x | 4 πολυπευστεῖν yzt | 6 ὅτι > yzt | 6 εἴδεις wZ, ἴδῃς t | 7 ἐγγύτερον w, ἐγγυτέρα ante ὑπῆρχον yz | 7 ἐγγυτέρα ... μᾶλλον > t | 8 τί wxyz, ὅτι t | 8 ἐμοῦ yzt, ὑπὲρ ἐμὲ w, πρὸ ἐμοῦ x | 9 δὲ > x | 10 γέγονε w | 10 γέγονεν post θέλημα yzt | 11 ἐγγυτέρως w | 11 ὑπῆρχεν x | 12 ἐξετάζετω w | 12 αὕτη yz | 13 ἀποσιγήσαντα w | 13 μὴ w | 13 πεμψαμένο W, πεμψαμένον w | 15 βαλλοῦσα w | 15 τὸν + t | 17 ἐκήρεξεν w | 17 αὐτῆς yzt | 18 καὶ prius > x | 18 αὕτη x | 18 δράμει x | 19 αὐτῆς w | 20 εὐλόγητε x | 21 καὶ κατήραται x | 21 εἰσέρχεισθε w | 22 οἰκίαν yz | 22 τινὸς + yz | 22 λέγεται w | 22 ᾖ xyzt, εἴ w | 24 ᾖ xyzt, εἴ w | 24 ἐπιστρέψει yzt | 25 ἡ > z | 25 ἐπὶ .... ἐκείνους > yz | 26 προήγκαμένους w, προσηκαμένους x

εὑρεῖν ἀξίους αὐτῆς, πολλῷ μᾶλλον ἡ κατάρα ἐπιστρέψει εἰς κεφαλὴν τοῦ ἀδίκως αὐτὴν ἐκπέμψαντος, ὡς οὐκ ἀξίου ὄντος τοῦ λαβεῖν αὐτὴν ἐκείνου πρὸς ὅνπερ ἐξαπεστάλη. πᾶς γὰρ ὁ μάτην λοιδορῶν ἑαυτὸν ἀρᾶται, καθά φησιν ὁ Σολομὼν Ὥσπερ ὄρνεα πέτονται καὶ στρουθοί, οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται ἐπ᾽ οὐδενί· καὶ πάλιν λέγει Οἱ δὲ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσιν. ὥσπερ δὲ ἡ μέλισσα ἐν τῇ δυνάμει αὐτῆς ἀσθενὴς οὖσα, ἐπὰν πλήξῃ τινά, τὸ κέντρον ἀποβάλλει καὶ γίνεται στεῖρα, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς ὃ ἐὰν ποιήσητε ἄδικον ἐφ᾽ ἑτέρους, τοῦτο εἰς ἑαυτοὺς ἐνεργήσετε. Λάκκον γὰρ ὤρυξε καὶ ἀνέσκαψεν * καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. καὶ πάλιν Ὁ ὀρύσσων βόθρον * εἰς αὐτὸν ἐμπεσεῖται. οὐκοῦν ὁ φεύγων κατάραν ἕτερον μὴ καταράσθω· ὃ γὰρ μισεῖς σοὶ γενέσθαι, οὐδὲ ἄλλῳ * ποιήσεις. διὸ νουθετεῖτε τὰς ἀπειθεῖς, ἐπιπλήσσετε ταῖς ἀναισχύντοις, παρακαλεῖτε τὰς ὀλιγοψύχους, ἰσχυροποιεῖτε τὰς ἀσθενούσας, ἐπαινεῖτε τὰς ἐν ὁσιότητι ὁδευούσας. εὐλογείτωσαν μᾶλλον καὶ μὴ λοιδορείτωσαν, εἰρηνοποιείτωσαν καὶ μὴ πόλεμον ἐμποιείτωσαν. μήτε οὖν ἐπίσκοπος μήτε πρεσβύτερος μήτε διάκονος μήτε ἄλλος τις ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ λοιδορίᾳ τὴν γλῶσσαν μολυνέτω, ἵνα μὴ ἀντὶ εὐλογίας κατάραν κληρονομήσῃ. ἔστω δὲ σπουδὴ καὶ ἐπιμέλεια τῷ ἐπισκόπῳ, ὅπως μηδὲ λαϊκὸς κατάραν ἐκφέρῃ· περὶ πάντων γὰρ αὐτῷ μέλλειν ὀφείλει, περὶ κληρικῶν, * περὶ παρθένων, περὶ χηρῶν, * περὶ λαϊκῶν. διὰ τοῦτο, ὦ ἐπίσκοπε, τοὺς συνεργούς σου τῆς

5 Prov 26,2 | 6 Prov 10,18 | 11 Psalm 7,16 | 13 Prov 26,27 | 14 apocr

1 ἑαυτῆς x, αὐτοὺς w | 1 πολλὺ t | 1 ἐπιστρέψῃ x | 3 τοῦ > yzt | 3 ἀπεστάλη w | 4 λοιδωρῶν x | 5 πέτανται w | 6 ἐπ᾽ > x | 6 λέγει > yz | 7 δὲ alterum wxt, οὖν yz | 9 στερά w | 10 ὃ > w | 10 ποιήσηται w | 10 ἐφ᾽ wx, εἰς yzt | 11 ἐνεργήσεται wy, ἐνεργήσατε z | 11 ὤρυξεν x | 11. 12 ἀνέσκαψε w | 12 αὐτὸν + yzt | 12 ἠργάσατο w | 13 πάλιν wxt, ὁ σολομῶν yz | 13 τῷ πλησίον αὐτοῦ + yzt | 13 αὐτῷ w | 13 ἐμπεσεῖται εἰς αὐτὸν yzt | 14. 15 γενέσθαι σοι w | 15 μηδὲ σοὶ ἄλλο ποιήσῃς w | 15 σὺ + t | 15 νουθετείται w | 16 ἐπιπλήσεται w | 16 παρακαλεῖται w | 16. 17 ὀλιγοψυχούσας x | 17 ἰσχυρὰς ποιεῖτε w | 18 ὁσιώτητι w | 18. 19 λοιδωρείτωσαν w | 21 λοιδωρία w | 23 ἐπισκώπω y | 24 ἐκφέρει z, corr? | 24 μέλειν yz | 25 καὶ + x | 25 καὶ + x

ζωῆς καὶ τῆς δικαιοσύνης ἐργάτας διακόνους εὐαρέστους τῷ
θεῷ προχειρίζου, οὓς ἐκ παντὸς τοῦ λαοῦ δοκιμάζεις ἀξίους
εἶναι καὶ εἰς τὰς τῆς διακονίας χρείας εὐσκύλτους. προ-
χείρισαι δὲ καὶ διακόνισσαν πιστὴν καὶ ἁγίαν εἰς τὰς τῶν γυ-
ναικῶν ὑπηρεσίας. ἔστι γὰρ ὁπόταν ἐν τισὶν οἰκίαις ἄνδρα
διάκονον γυναιξὶν οὐ δύνασαι πέμπειν διὰ τοὺς ἀπίστους·
ἀποστέλλεις οὖν γυναῖκα διακόνισσαν διὰ τὰς τῶν φαύλων
διανοίας. καὶ γὰρ εἰς πολλὰς χρείας γυναικὸς χρῄζομεν δια-
κόνου. καὶ πρῶτον μὲν ἐν τῷ φωτίζεσθαι γυναῖκας ὁ διά-
κονος χρίσει μὲν μόνον τὸ μέτωπον αὐτῶν τῷ ἁγίῳ ἐλαίῳ καὶ
μετ' αὐτὸν ἡ διάκονος ἀλείψει αὐτάς· οὐ γὰρ ἀνάγκη τὰς 15
γυναῖκας ὑπὸ ἀνδρῶν κατοπτεύεσθαι, ἀλλὰ μόνον ἐν τῇ
χειροθεσίᾳ τὴν κεφαλὴν αὐτῆς χρίσει ὁ ἐπίσκοπος, ὃν τρό-
πον * οἱ ἱερεῖς καὶ οἱ βασιλεῖς τὸ πρότερον ἐχρίοντο· οὐχ
ὅτι καὶ οἱ νῦν βαπτιζόμενοι ἱερεῖς χειροτονοῦνται, ἀλλ' ὡς
ἀπὸ τοῦ χριστοῦ χριστιανοί *, βασίλειον ἱεράτευμα καὶ ἔθνος
ἅγιον, ἐκκλησία θεοῦ, στύλος καὶ ἑδραίωμα τοῦ νυμφῶνος,
οἱ ποτὲ οὐ λαός, νῦν δὲ ἠγαπημένος καὶ ἐκλεκτός *. | σὺ 16
οὖν, ὦ ἐπίσκοπε, ἐκείνῳ τῷ τύπῳ χρίσεις τὴν κεφαλὴν
τῶν βαπτιζομένων εἴτε ἀνδρῶν εἴτε γυναικῶν τῷ ἁγίῳ
ἐλαίῳ εἰς τύπον τοῦ πνευματικοῦ βαπτίσματος· ἔπειτα ἢ
σὺ ὁ ἐπίσκοπος ἢ ὁ ὑπὸ σὲ πρεσβύτερος τὴν ἱερὰν ἐπ' αὐ-
τοῖς εἰπὼν καὶ ἐπονομάσας ἐπίκλησιν πατρὸς καὶ υἱοῦ καὶ
ἁγίου πνεύματος βαπτίσεις αὐτοὺς ἐν τῷ ὕδατι. καὶ τὸν
μὲν ἄνδρα ὑποδεχέσθω ὁ διάκονος, τὴν δὲ γυναῖκα ἡ διακό-

16 Petr α 2, 9

1 τῷ > yzt | 2 δοκιμάσεις w | 2. 3 εἶναι ἀξίους yzt | 4 διακόνησσαν w, διάκανον yzt | 5 ἔσμιν x | 5 ὁπόταν wxt, ὅτε yz | 6 οὐ δύνασαι γυναιξὶ w | 6 δύναται t | 7 ἀποστελεῖς yzt | 7 διάκονον yzt | 8 ὑπονοίας yz | 8 χρίζομεν w | 9. 10 διάκωνος x | 10 χρήσει w | 10 μὲν > yz | 11 ἀλείψα w | 12 ὑπ' x | 12 κατόπτένθαι W | 13 χρήσει w | 14 καὶ + yz | 15 ὡς wxt, ὅτι yz | 16 καλοῦνται + yz | 16 καὶ > yz | 17 νυμφῶνος wxyzt, νὺν φωτὸς margo C | 18 ἠγαπημένοι [οἱγαπημένοι z] καὶ ἐκλεκτοί [ἐκκλεκτοὶ z] yzt | 18 οἷς ἐπεκλήθη τὸ καινὸν αὐτοῦ ὄνομα ὡς μαρτυρεῖ καὶ ἡσαΐας [Isaj 62, 2] ὁ προφήτης λέγων· καὶ καλέσουσι τὸν λαὸν τὸ ὄνομα αὐτοῦ τὸ καινὸν ὃ ὁ κύριος ὀνομάσει αὐτόν + yzt: sed in margine y ante οἷς prima capitis sequentis verba adscripta et deleta | 21 πνευματικοῦ xyzt, ἁγίου w | 21 ἔπιτα w | 21 ἢ wyzt, εἰ x | 25 p 111, 1 διάκονος yzt

νισσα, ὅπως σεμνοπρεπῶς ἡ μετάδοσις τῆς ἀθραύστου σφρα-
γῖδος γένηται. καὶ μετὰ τοῦτο ὁ ἐπίσκοπος χριέτω τοὺς
17 βαπτισθέντας τῷ μύρῳ. | ἐστὶ τοίνυν τὸ μὲν βάπτισμα εἰς
τὸν θάνατον τοῦ Ἰησοῦ δεδομένον, τὸ δὲ ὕδωρ ἀντὶ ταφῆς *
τὸ ἔλαιον ἀντὶ πνεύματος ἁγίου, ἡ σφραγὶς ἀντὶ τοῦ σταυροῦ,
τὸ * μύρον βεβαίωσις τῆς ὁμολογίας, τοῦ πατρὸς ἡ μνήμη ὡς
αἰτίου καὶ ἀποστολέως, τοῦ πνεύματος ἡ συμπαράληψις ὡς
μάρτυρος, ἡ κατάδυσις τοῦ συναποθανεῖν, ἡ ἀνάδυσις τοῦ
συναναστῆναι, πατὴρ ὁ ἐπὶ πάντων θεός, χριστὸς ὁ μονο-
γενὴς θεός, ὁ ἀγαπητός *, ὁ τῆς δόξης κύριος, πνεῦμα
ἅγιον ὁ παράκλητος, τὸ ὑπὸ χριστοῦ πεμπόμενον καὶ ὑπ'
18 ἐκείνου διδασκόμενον καὶ ἐκεῖνον κηρύττον. | ὁ δὲ βαπτι-
ζόμενος ὑπαρχέτω ἀλλότριος ἀσεβείας πάσης, ἀνενέργητος
πρὸς ἁμαρτίαν, φίλος θεοῦ, ἐχθρὸς διαβόλου, κληρονόμος
* πατρός, * συγκληρονόμος δὲ τοῦ υἱοῦ αὐτοῦ, ἀποτετα-
γμένος τῷ Σατανᾷ καὶ τοῖς δαίμοσι καὶ ταῖς ἀπάταις αὐ-
τοῦ, ἁγνός, καθαρός, ὅσιος, θεοφιλής, υἱὸς τοῦ θεοῦ,
προσευχόμενος ὡς υἱὸς πατρὶ καὶ λέγων ὡς ἀπὸ κοινοῦ τοῦ
τῶν πιστῶν συναθροίσματος οὕτως· Πάτερ ἡμῶν ὁ ἐν τοῖς
οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου·
γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·
τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες
ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφει-
λέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ
ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ
19 ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν. | ἔστωσαν
δὲ καὶ οἱ διάκονοι ἐν πᾶσιν ἄμωμοι, ὡς καὶ ὁ ἐπίσκοπος,
μόνον δὲ εὐσκυλτότεροι, ἀνάλογοι πρὸς τὸ πλῆθος τῆς ἐκ-
κλησίας, ἵνα καὶ ἐν τοῖς ἀδυνάτοις ὑπηρετεῖσθαι δύνωνται ὡς

19 Matth 6, 9—13

2 γίνηται yz | 4 διδόμενον yzt | 4 καὶ + t | 6 δὲ + w | 8 τοῦ prius wxyz, τὸ t | 8 τοῦ alterum wyz, τὸ xt | 9 χριστὸς xyzt, υἱὸς w | 10 υἱός + yzt, in margine y υἱὸς ut in textu | 10 ὁ alterum wxt, καὶ yz | 12 δὲ wxt, τοίνυν yz | 15 θεοῦ + t | 15 καὶ + yz | 15 συγκηρο-νόμος y | 15 δὲ > wyz | 15 τῶι υἱῶι w | 15. 16 ἀποτεταγμένως t | 16 δαίμοσιν x | 18 ὡς alterum ... 19 οὕτως > w, solum ὡς alterum > x | 19 οὕτω yz | 21 τῆς > xy | 28 εὐσκηλτότεροι z | 29 ἐν > yzt | 29 ὑπηρετεῖν yz | 29 δύνοντε w

*ἐργάται ἀνεπαίσχυντοι. καὶ ἡ μὲν γυνὴ τὰς γυναῖκας σπουδάζουσα θεραπεύειν, ἀμφότεροι δὲ τὰ πρὸς ἀγγελίαν, ἐκδημίαν, ὑπηρεσίαν, δουλείαν· ὡς καὶ περὶ τοῦ κυρίου Ἡσαΐας ἔλεγεν φάσκων Δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς. ἕκαστος οὖν τὸν ἴδιον γνωριζέτω τόπον καὶ ἐκτελείτω αὐτὸν σπουδαίως, ὁμοφρόνως, ὁμοψύχως, γινώσκοντες τὸν τῆς διακονίας μισθόν. ἔστωσαν δὲ καὶ ἀνεπαίσχυντοι εἰς τὸ ὑπηρετεῖσθαι τοῖς δεομένοις, ὡς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ χριστὸς οὐκ ἦλθε διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. οὕτως οὖν καὶ αὐτοὺς δεῖ ποιεῖν, κἂν δέῃ * ψυχὴν ἀντὶ ἀδελφοῦ ἀποθέσθαι, μὴ διστάσωσιν. οὐδὲ γὰρ ὁ σωτὴρ ἡμῶν καὶ κύριος Ἰησοῦς ὁ χριστὸς ἐδίστασε τὴν ψυχὴν αὐτοῦ θεὶς, ὡς αὐτὸς ἔφη, ὑπὲρ τῶν φίλων αὐτοῦ. εἰ οὖν ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς πάντα ὑπέμεινε δι' ἡμᾶς, πῶς ἂν ὑμεῖς διακονῆσαι τοῖς δεομένοις ἐνδοιάσητε; μιμηταὶ ὀφείλοντες αὐτοῦ εἶναι τοῦ καὶ δουλείαν καὶ ἔνδειαν καὶ πληγὰς καὶ σταυρὸν δι' ὑμᾶς ὑπομείναντος· χρὴ οὖν καὶ ὑμᾶς δουλεύειν τοῖς ἀδελφοῖς, ὡς χριστοῦ μιμητάς. ὁ θέλων γάρ, φησίν, ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος καὶ ὁ θέλων ἐν ὑμῖν εἶναι μέγας, ἔστω ὑμῶν διάκονος. οὕτω γὰρ καὶ αὐτὸς ἔργῳ πεπλήρωκε τὸ εὖ δουλεύειν πολλοῖς καὶ οὐ λόγῳ· λαβὼν γὰρ λέντιον διεζώσατο, εἶτα*

4 Isaj 53, 11 | 9 Matth 20, 28 | 13 Ioh 15, 13 | 19 Matth 20, 26. 27 | 23 Ioh 13, 4

1 *καὶ ἡ μὲν* wxt, *ἡ δὲ* yz | 1. 2 *σπουδάζῃ* yz, sed margo y *γρφ καὶ σπουδάζουσα* | 2 *τὰ* wxyt, *τὰς* z | 4 *ἔλεγε* yzt | 5 *τὸν .. τόπον* non dubito quin etiam W habuerit, nunc in rasura *τὸ ... ἔργον* w prima manu | 5. 6 *ἐκτελείτο* w | 6 *αὐτὸν* Wxyzt, *αὐτὸ* w | 6. 7 *γυνώσκοντες* Z | 8 *καὶ* wxt, *οὖν* yz | 9 *ὁ* > z | 9 *ἦλθεν* x | 11 *οὕτως ... ποιεῖν* > w | 11 *οὕτω* Yz | 11 *οὖν* > Yz | 11 *τὴν ἑαυτῶν* + yz [*τὸν* z!] | 11' *ἀντὶ* wx, *ὑπὲρ* yzt | 12 *διστάσαι* yz [*ᾶ* z] | 12 *σωτὴρ* wxyz, *κύριος* t | 12 *ἡμῶν* ante 13 *Ἰησοῦς* t | 13 *καὶ* > y | 13 *κύριος* wxyz, *σωτὴρ* t | 13 *ἐδίστασεν* x | 14 *θεῖναι* yz, *θῆναι* t | 14 *αὐτὸς* wxyt, *αὐτοὺς* z | 15 *ὑπέμεινεν* x | 16 *ἂν* > Yz | 16 *διακονήσε* w | 16 *ἐνδυάσητε* w, *ἐνδυάσετε* x, *ἐνδοιάσετε* y, *ἐνδιάσετε* z | 17 *ἔνδειαν* wxt, *ὄνειδος* yz | 18 *ἡμᾶς* yzt | 19 *ἡμᾶς* t | 20 *πρῶτος* wx, *μέγας* yzt | 20. 21 *δοῦλος* wx, *διάκονος* yzt | 21 *ὁ* wxyt, *ὀν* z | 21 *μέγας* wx, *πρῶτος* yzt | 21. 22 *διάκονος* wx, *δοῦλος* yzt | 22 *πεπλήρωκεν* x | 22 *δουλεύων* yz

βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἡμῶν ἀνακειμένων ἐπελ-
θὼν πάντων * ἔνιψε τοὺς πόδας καὶ τῷ λεντίῳ ἐξέμα-
ξεν. τοῦτο δὲ ποιῶν ἐπεδείκνυεν ἡμῖν τὸ τῆς φιλαδελφίας
ἀγαπητικόν, ἵνα καὶ ἡμεῖς εἰς ἀλλήλους αὐτὸ ποιῶμεν. εἰ
οὖν ὁ κύριος ἡμῶν καὶ * διδάσκαλος οὕτως ἐταπείνωσεν
ἑαυτόν, πῶς ἂν ὑμεῖς ἐπαισχυνθήσεσθε τοῦτο ποιῆσαι τοῖς
ἀδυνάτοις καὶ ἀσθενέσι τῶν ἀδελφῶν, ἐργάται ὄντες * ἀλη-
θείας καὶ τῆς εὐσεβείας προστάται; ἐξυπηρετεῖτε οὖν ἀγα-
πητικῶς καὶ μὴ ἐπιγογγύζοντες μηδὲ διαστασιάζοντες· οὐ γὰρ
δι' ἄνθρωπον ποιεῖτε, ἀλλὰ διὰ τὸν θεόν, καὶ τὸν μισθὸν
τῆς διακονίας παρ' ἐκείνου ἀπολήψεσθε ἐν ἡμέρᾳ ἐπισκο-
πῆς ὑμῶν. χρὴ οὖν ὑμᾶς τοὺς διακόνους ἐπισκέπτεσθαι
πάντας τοὺς δεομένους ἐπισκέψεως καὶ περὶ τῶν θλιβομέ-
νων ἀναγγέλλειν τε τῷ ἐπισκόπῳ ὑμῶν. ψυχὴ γὰρ αὐτῷ καὶ
αἴσθησις * εἶναι ὀφείλετε, εὔσκυλτοι καὶ εὐήκοοι εἰς πάντα
20 ὄντες αὐτῷ ὡς ἐπισκόπῳ ὑμῶν * καὶ διδασκάλῳ. | ἐπίσκοπον
δὲ προστάσσομεν χειροτονεῖσθαι ὑπὸ τριῶν ἐπισκόπων ἢ τὸ
γοῦν ἔλαττον ὑπὸ δύο, μὴ ἐξεῖναι δὲ ὑπὸ ἑνὸς ὑμῖν καθίστα-
σθαι· ἡ γὰρ τῶν δύο * καὶ τριῶν μαρτυρία βεβαιοτέρα καὶ
ἀσφαλής. πρεσβύτερον δὲ καὶ διάκονον ὑπὸ ἑνὸς ἐπισκόπου
* καὶ τὸν λοιπὸν κλῆρον· μήτε δὲ * πρεσβύτερον μήτε διά-
κονον χειροτονεῖν ἐκ λαϊκῶν κληρικούς, ἀλλὰ μόνον τὸν μὲν
πρεσβύτερον διδάσκειν, ἀναφέρειν, βαπτίζειν, εὐλογεῖν τὸν
λαόν, τὸν δὲ διάκονον ἐξυπηρετεῖσθαι τῷ ἐπισκόπῳ καὶ
τοῖς πρεσβυτέροις, τοῦτ' ἔστι διακονεῖν, οὐ μὴν καὶ τὰ λοιπὰ
ἐνεργεῖν.

11 Petr α 2, 12 | 19 Matth 18, 16

1 βαλὼν yz, λαβὼν Z?? | 1 καὶ > Yz | 2 ἡμῶν + yzt | 2 ἔνιψεν xY | 2 τὸ λέντιον z | 2. 3 ἐξέμαξε wyzt | 3 ὑπεδείκνυεν yz | 5 ὁ + yzt | 6 ἂν > Yz | 6 ἐπαισχυνθήσεσθαι X? wz | 7 ἀσθενέσιν x | 7 τῆς + y super versum ! 8 ἐξυπηρετήτε w | 9 καὶ > yzt | 9 γογγύζοντες w | 10 init διὰ yzt | 14 ἀναγγέλειν w, ἀναγγέλλετε t | 14 τε > yzt | 14 αὐτοῦ yzt | 15 αὐτῷ + x | 15 καὶ ... 16 ὄντες > x | 16 med ἐπισκόπ.. W | 16 καὶ πατρὶ + yzt | 17 προστάσσωμεν w | 18 ὑμῖν > yz | 19 ἢ + x | 21 ὡσαύτως + yz | 21 τῶν λοιπῶν κληρικῶν t | 21 δὲ > w | 21 καὶ + t | 24 ἐξυπηρετῆσθαι w | 24. 25 τοὺς πρεσβυτέρους καὶ τῷ ἐπισκόπω [sic] x | 26 διενεργεῖν t

# Δ

Ὀρφανοῦ δέ τινος γενομένου χριστιανοῦ ἤτοι παιδὸς ἢ || παρθένου, καλὸν μέν, ἵνα τις τῶν ἀδελφῶν οὐκ ἔχων τέκνον, προσλαβόμενος τοῦτο ἔχῃ εἰς παιδὸς τόπον, τὴν δὲ παρθένον ὁ ἔχων υἱὸν δυνάμενον αὐτῇ ταῖς τοῦ γάμου ὥραις συγχρονίσαι συζεύξῃ. τοῦτο γὰρ οἱ ποιοῦντες ἔργον μέγα ἐπιτελοῦσιν, ὀρφανῶν πατέρες ὑπάρξαντες, καὶ παρὰ * θεοῦ λήψονται τὸν μισθὸν τῆς διακονίας ταύτης. εἰ δέ τις κατὰ ἀνθρωπαρέσκειαν περιπατῶν ἐπαισχύνοιτο πλούσιος ὢν τὰ τῆς ὀρφανίας μέλη, τοῦ μὲν ὀρφανοῦ πρόνοιαν ποιήσεται ὁ πατὴρ τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν, αὐτῷ δὲ ἐμπεσεῖται τοιοῦτος ὅστις αὐτοῦ δαπανήσει τὴν φειδώ, καὶ γενήσεται ἐπ' αὐτῷ τὸ εἰρημένον Ἃ οὐκ ἔφαγον ἅγιοι, ταῦτα φάγονται Ἀσσύριοι, καθὼς * Ἠσαΐας λέγει Τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν. |
ὑμεῖς οὖν, ὦ ἐπίσκοποι, μεριμνήσατε * περὶ τῆς ἀνατρο- 2
φῆς αὐτῶν, μηδὲν ἐλλείποντες αὐτοῖς, τοῖς μὲν ὀρφανοῖς παρέχοντες τὰ γονέων, ταῖς δὲ χήραις τὰ ἀνδρῶν, τοῖς ἀκμαίοις τοὺς γάμους, τεχνίτῃ ἔργον, ἀδρανεῖ ἔλεος, ξένοις στέγος, πεινῶσι ψωμόν, διψῶσι ποτόν, γυμνοῖς ἔνδυμα, νοσοῦσι θέαν, φυλακίταις βοήθειαν. πρὸς τούτοις πλείων ὑμῖν ἔστω φροντὶς περὶ τῶν ἐν ὀρφανίᾳ, ὅπως αὐτοῖς μηδὲν ἐνδέῃ, τῇ μὲν παρθένῳ μέχρις ἂν ἔλθῃ εἰς ὥραν γάμου καὶ ἐκδῶτε αὐτὴν ἀδελφῷ, τῷ δὲ παιδὶ χορηγίαν, πρὸς τὸ καὶ τέχνην ἐκμαθεῖν καὶ διατρέφεσθαι ἐκ τῆς ἐπιχορηγίας,

10 Psalm 68, 6 | 12 apocryphum | 13 Isaj 1, 7

2 καλὼν w | 3 τοῦτον w | 3 ἔχει w | 4 αὐτῶ yzt | 5 συγχρονῆσαι yzt | 6 ἐπιτελοῦσι w | 6 κυρίου τοῦ + yzt | 8 ἀνθρωπαρέσκιαν xyz [ι yz] | 9 τοῦ μὲν ὀρφανοῦ xyzt, τούτων μὲν w | 10 αὐτο x | 10 δ' yz | 11 δαπανήσει αὐτοῦ w | 12 ἐπ' > x | 12 αὐτὸν w | 13 φάγονται ταῦτα w | 13 καὶ + yt | 15 τὰ + t | 15. 16 ἀναστροφῆς w | 16 ἐλλ ἵποντες litera una erasa w | 17 παρέχοντες > x | 18 γάμους wyzt, λόγους x | 18 τεχνήτῃ xt | 20 νοσοῦσιν x | 20 θέαν xyzt, θεραπείαν w: γρφ καὶ θεραπείαν margo y | 20 φυλακίταις βοήθειαν wxt, τοῖς ἐν φυλακῇ ἐπίσκεψιν yz: γρφ βοήθειαν margo y | 20 πλεῖον wx | 21 φροντῆς w | 21 περὶ > Yz | 21 ὀρφανεία w | 23 ἐκδότε w | 23 τῶ xyzt, τὸ w | 23 χορηγείαν w, χωρηγίαν x | 24 καὶ prius > w | 24 ἐκμαθεῖν τέχνην w

ἵν’, ὅταν δεξιῶς τὴν τέχνην κατορθώσῃ, τὸ τηνικαῦτα δύνη-
ται καὶ τὰ τῆς τέχνης ἐργαλεῖα ἑαυτῷ παρέχεσθαι, ὅπως
μηκέτι βαρύνῃ τὴν τῶν ἀδελφῶν ἀνυπόκριτον εἰς αὐτὸν
ἀγάπην, ἀλλ’ ἑαυτῷ ἐπιχορηγῇ. καὶ γὰρ ἀληθῶς μακάριός
ἐστιν, ὃς ἂν δυνάμενος βοηθεῖν ἑαυτῷ μὴ θλίβῃ τόπον
3 ὀρφανοῦ ξένου τε καὶ χήρας. | ἐπεὶ καὶ ὁ κύριος μακάριον
εἶπεν εἶναι τὸν διδόντα ἤπερ τὸν λαμβάνοντα. καὶ γὰρ
εἴρηται πάλιν ὑπ’ αὐτοῦ Οὐαὶ τοῖς ἔχουσιν καὶ ἐν ὑποκρίσει
λαμβάνουσιν, ἢ δυναμένοις βοηθεῖν ἑαυτοῖς καὶ λαμβάνειν
παρ’ ἑτέρων βουλομένοις· ἑκάτερος γὰρ ἀποδώσει λόγον
κυρίῳ τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως. ὁ μὲν γὰρ δι’ ἡλικίαν
ὀρφανίας ἢ γήρους ἀτονίαν ἢ νόσου πρόσπτωσιν ἢ τέκνων
πολυτροφίαν λαμβάνων, ὁ τοιοῦτος οὐ μόνον οὐ μεμφθή-
σεται, ἀλλὰ καὶ ἐπαινεθήσεται· θυσιαστήριον γὰρ τῷ θεῷ
λελογισμένον ὑπὸ τοῦ θεοῦ τιμηθήσεται, ἀόκνως * ὑπὲρ τῶν
διδόντων αὐτῷ διηνεκῶς προσευχόμενος, οὐκ ἀργῶς λαμβά-
νων, ἀλλὰ * τῆς δόσεως αὐτοῦ ὅσῃ δύναμις τὸν μισθὸν δι-
δοὺς διὰ τῆς προσευχῆς· ὁ τοιοῦτος οὖν ἐν τῇ αἰωνίῳ ζωῇ
ὑπὸ θεοῦ μακαρισθήσεται. ὁ δὲ ἔχων καὶ ἐν ὑποκρίσει
λαμβάνων ἢ δι’ ἀργίαν, ἀντὶ τοῦ ἐργαζόμενον βοηθεῖν *
ἑτέροις, δίκην ὀφλήσει τῷ θεῷ ὅτι πενήτων ἥρπασε ψω-
4 μόν. | ὁ γὰρ ἔχων ἀργύρια καὶ μὴ μεταδιδοὺς ἑτέροις
μήτε μὴν αὐτὸς χρώμενος, τόπον ὄφεως κεκλήρωται, ὃν
φασιν ἐν τοῖς θησαυροῖς καθεύδειν· καὶ ἔστιν * ἐπ’ αὐτῷ
ἀληθὴς ἡ γραφὴ ἡ λέγουσα Συνήγαγε πλοῦτον *, ἐξ οὗ οὐ

6 Act 20, 35 | 8 apocryphum | 21 Iob 22, 7 [24, 10?] | 25 Iob 20, 18

1 ἵν xyzt, ἣν w | 1 τηνικαῦτα δύνηται wxyt, τὴν καταδύνηται z | 2 παρέχεσθαι wx, πριᾶσθαι yzt [ί z] | 3 τὴν wxyz, τινὰ t | 4 ἐπιχορηγεῖ w, ἐπιχωρηγῇ x | 5 ἂν xyzt, ἐὰν w | 5 θλίψῃ w | 6 μακαριονόν z | 7 εἶπεν … 8 αὐτοῦ wxt, ἐστι διδόναι μᾶλλον εἶπεν ἢ λαμβάνειν. καὶ πάλιν ἀλλαχοῦ εἴρηται yz | 8 ἔχουσι wyz | 9 λαμβάνουσι w | 9 ἢ xyzt, τοῖς w in rasura manu recenti | 10 ἀποδώσῃ X | 12 γήρως yzt | 12 ἐστονίαν z | 12 νό σου erasa litera una w | 12 πρόπτωσιν y | 12 τέκνου yz | 15 λελογισμένος yzt | 15 καὶ διηνεκῶς + w | 16 διηνεκῶς > w | 17 ἀλλ’ yz | 17 ὑπὲρ + yz | 17 ὅσῃ xyzt, ὡς ἡ w | 20 ἐργαζομένου z | 20 καὶ + yzt | 21 ὀφειλήσει yz | 21 τῷ > yz | 21 ἥρπασεν W? xY | 21. 22 ψομόν z | 23 κεκλήρωκεν t, πεπλήρωκεν yz | 24 φασὶ W | 24 ἔσται w, ἔστι yzt | 24 καὶ + yzt | 25 ἡ γραφὴ ἀληθῆς w | 25 λέγουσα wx, φάσκουσα yzt | 25 συνήγαγεν x | 25 ἑαυτῷ + w

*γεύσεται, καὶ * οὐδὲν αὐτῷ ὄφελος ἀπολλυμένῳ παρὰ τῆς δίκης· * Οὐκ ὠφελήσει γάρ, φησίν, ὑπάρχοντα ἐν ἡμέρᾳ ὀργῆς. ὁ γὰρ τοιοῦτος οὐ τῷ θεῷ πεπίστευκεν ἀλλὰ τῷ ἑαυτοῦ χρυσίῳ, θεὸν τοῦτο ἡγούμενος καὶ ἐπ' αὐτῷ πεποιθώς· ὑποκριτὴς ἀληθείας ὁ τοιοῦτος, προσωπολήπτης, ἄπιστος, εἴρων, δειλός, ἄνανδρος, κοῦφος, εὐχερής, μεμψίμοιρος, ἐπώδυνος, ἑαυτοῦ ἐχθρὸς καὶ οὐδενὸς φίλος. τούτου * τὰ χρήματα ὀλεῖται καὶ ἀνὴρ ξένος ἔδεται αὐτά, ἢ ζῶντος ὑφελόμενος ἢ θανόντος καρπωσάμενος· πλοῦτος γὰρ ἀδίκως συναγόμενος ἐξεμεσθήσεται. | παραινοῦμεν οὖν ταῖς* 5
*χήραις καὶ τοῖς ὀρφανοῖς μετὰ παντὸς φόβου καὶ πάσης εὐλαβείας μεταλαμβάνειν τῶν αὐτοῖς χορηγουμένων, καὶ εὐχαριστεῖν τῷ θεῷ τῷ διδόντι τοῖς πεινῶσι τροφὴν καὶ ἐπ' αὐτῷ τοὺς ὀφθαλμοὺς ἐκτείνειν. Τίς γὰρ ὑμῶν, φησίν, φάγεται ἢ τίς πίεται πάρεξ αὐτοῦ; αὐτὸς γὰρ ἀνοίγει τὴν χεῖρα αὐτοῦ καὶ ἐμπιπλᾷ πᾶν ζῶον εὐδοκίας, σῖτον νεανίσκοις καὶ οἶνον παρθένοις καὶ ἔλαιον εἰς εὐφροσύνην τῶν ζώντων, χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, κρέα τοῖς θηρίοις, σπέρματα τοῖς ὀρνέοις καὶ πᾶσι τὴν πρόσφορον τροφήν. διό φησι καὶ ὁ κύριος Καταμάθετε τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν * οὔτε συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; μὴ οὖν μεριμνήσητε λέγοντες Τί φάγομεν ἢ τί πίομεν; οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὅτι*

2 Prov 11, 4 | 8 Eccles 6, 2 | 9 Iob 20, 15 | 14 Eccles 2, 25 | 15 Psalm 145, 16 | 16 Zach 9, 17 | 18 Psalm 104, 14 | 20 Matth 6, 26. 31. 32

1 *ἀλλαχοῦ* + yz | 1 *ὀλλύμενον* w, *ὀλυμμένω* x | 2 *καὶ πάλιν* + yz | 2 *ὀφελήσει* x | 2 *φησι* Wy | 3 *πεπίστευκε* W | 4 *ἑαυτ..* W | 6. 7 *μεμψίμηρος* w, *μεμψίμυρος* x, *μεμψίμιρος* Y | 7 *ἐπώδυνος* > yz | 8 *γὰρ* + w | 8 *ὄλεινται* w | 10 *ἀδίκω* x | 10 *ἐξεμεσθήσεται* w, *ἐξεμαισθήσεται* x, sed *σ* in utroque deletum videtur, *ἐξεμεθήσεται* yzt | 11 *παντὸς* > w | 13 *τῷ* prius > yzt | 14 *ἐκτίνειν* w | 14 *φησὶν ὑμῶν* yzt | 15 *γὰρ* > yz | 16 *σίτον* z | 17 *καὶ* prius > yz | 18 *κτήνεσιν* x | 19 *τοῖς* alterum] *τῆς* z | 19 *πᾶσιν* x, in margine y *τούτοις* adscriptum | 20 *διὸ ... κύριος* wxt, *οὕτω καὶ ὁ κύριος παρήνει τοῖς μαθηταῖς αὐτοῦ λέγων* yz | 20 *δι' ὧν* w | 20 *φησὶν* x | 20 *καταμάθεται* w | 21 *τοῦ οὐρανοῦ* > xyz | 21 *σπήρουσιν* z | 21 *οὐδὲ θερίζουσιν* + yzt | 21 *οὐδὲ* yzt | 21. 22 *συνάγουσις* y | 23 *διαφέρεται* x | 24 *φάγωμεν* yz | 24 *πίωμεν* yz | 24 *οἶδεν* x

χρῄζετε τούτων ἁπάντων. τοιαύτης οὖν τῆς παρ' αὐτοῦ προνοίας ἀπολαύοντες καὶ τῶν παρ' αὐτοῦ μεταλαμβάνοντες ἀγαθῶν, αἶνον ἀναπέμπειν ὀφείλετε τῷ ὀρφανὸν καὶ χήραν ἀναλαμβάνοντι παντοκράτορι θεῷ διὰ τοῦ ἠγαπημένου υἱοῦ αὐτοῦ Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν, μεθ' οὗ * ἡ δόξα σὺν τῷ ἁγίῳ πνεύματι * εἰς τοὺς αἰῶνας· ἀμήν.

6 | χρὴ δὲ τὸν ἐπίσκοπον εἰδέναι τίνων ὀφείλει δέχεσθαι καρποφορίας καὶ τίνων οὐκ ὀφείλει. φυλακτέοι γὰρ αὐτῷ πρὸς δόσιν κάπηλοι, οὐ δικαιωθήσεται γὰρ κάπηλος ἀπὸ ἁμαρτίας· περὶ αὐτῶν γάρ που καὶ Ἡσαΐας ὀνειδίζων τὸν Ἰσραὴλ ἔλεγεν Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. φευκτέοι δὲ αὐτῷ καὶ πόρνοι (οὐ προσοίσεις γὰρ τῷ κυρίῳ μίσθωμα πόρνης) καὶ ἅρπαγες * καὶ τῶν ἀλλοτρίων ἐπιθυμηταὶ καὶ μοιχοί· βδελυκταὶ γὰρ αἱ τούτων θυσίαι τῷ θεῷ. ἀλλὰ καὶ οἱ ἐκθλίβοντες χήραν καὶ ὀρφανὸν καταδυναστεύοντες καὶ τὰς φυλακὰς πληροῦντες ἀναιτίων ἢ καὶ τοῖς ἑαυτῶν οἰκέταις πονηρῶς χρώμενοι, πληγαῖς φημι καὶ λιμῷ καὶ κακοδουλίᾳ, ἢ καὶ πόλεις ὅλας λυμαινόμενοι φευκτέοι ἔστωσάν σοι, ὦ ἐπίσκοπε, * καὶ αἱ τούτων * προσφοραὶ μυσαραί. παραιτήσῃ δὲ καὶ ῥᾳδιουργοὺς καὶ ῥήτορας ἀδικίᾳ συναγωνιζομένους καὶ εἰδωλοποιοὺς καὶ κλέπτας καὶ τελώνας ἀδίκους καὶ ζυγοκρούστας καὶ δολομέτρας καὶ στρατιώτην συκοφάντην, * μὴ ἀρκούμενον τοῖς * ὀψωνίοις, ἀλλὰ τοὺς πένητας διασείοντα, φονέα τε καὶ δήμιον καὶ δικαστὴν παράνομον, πραγμάτων ἀνατροπέα, ἀνθρώπων ἐπίβουλον, μιαρῶν ἐργάτην, μέθυσον, βλάσφημον, κίναι-

9 Sirach 26, 29 | 11 Isaj 1, 22 | 12 Deut 23, 19 | 23 Luc 3, 14

1 τοσαύτης yzt | 2 ἀπολάβοντες z? | 5 μεθ' wx, δι' yzt | 5 αὐτῷ + x | 6 σὺν τῷ wx, τῷ θεῷ ἐν yzt | 6 ἁγίῳ > yzt | 6 καὶ ἀληθεία + yzt | 8 φυλακταιοι W? t [ῑ t] | 9 ἀπὸ wxyz, περὶ t | 10 γὰρ > Yz | 11 μίσγουσιν x | 12 φευκτέω z, φευκταῖοι t | 12 δ' yt, > Yz | 13 καὶ μοιχοὶ + w | 13. 14 ἐπιθυμιταὶ w | 14 καὶ μοιχοὶ > w | 14 μόχοι z | 14 βδελλυκταὶ w | 14 τούτων αἱ yz | 14 τῶι w, τῷ x, παρὰ yzt | 15 χήρας w | 15 ὀρφανοὺς w | 16 καὶ wxt, ἢ yz | 18 κακοδουλεία wxyz | 18 ἢ xyzt, οἱ w | 18 πόλϊς z | 18 λοιμαινόμενοι x | 19 φευκταῖοι t | 19 καὶ γὰρ + w | 19 αἱ ante προσφοραὶ yz | 19 ἁπάντων + yz | 20 παραιτοῦ w, παραίτησαι x | 23 τὸν + w | 23 ἑαυτοῦ + yz | 24 διασείοντα τοὺς πένητας z | 24 δήμιον wxyt, δήλαιον z | 25 ἀνατροπέαν w | 26 μιαρὸν wyz

δον, τοκογλύφον, καὶ παντὸς ἑτέρου πονηροῦ καὶ τῇ γνώμῃ τοῦ θεοῦ διαμαχομένους· ὅτι λέγει ἡ γραφὴ βδελυκτοὺς εἶναι * παρὰ θεῷ πάντας τοὺς τοιούτους. οἱ γὰρ παρὰ * τοιούτων δεχόμενοι καὶ τρέφοντες χήρας καὶ ὀρφανοὺς ὑπεύθυνοι τῷ τοῦ θεοῦ κριτηρίῳ γενήσονται, ὥσπερ καὶ Ἀδωνίας ὁ ἐν ταῖς βασιλείαις προφήτης παρακούσας θεοῦ καὶ φαγὼν ἄρτον καὶ πιὼν ὕδωρ ἐν τῷ τόπῳ ᾧ ἀπεῖπεν αὐτῷ * κύριος διὰ τὴν τοῦ Ἱεροβοὰμ ἀσέβειαν, καὶ ὑπὸ λέοντος ἀναιρεθείς. ὁ γὰρ ἐκ κόπου διακονούμενος ἄρτος χήραις δίκαιος μᾶλλον, κἂν ᾖ βραχὺς καὶ ὀλίγος, ἢ ὁ ἐξ ἀδικίας καὶ συκοφαντίας, κἂν ᾖ πολὺς καὶ ἐξησκημένος· λέγει γὰρ ἡ γραφὴ Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. εἰ δὲ καὶ ἐξ ἀσεβῶν φαγοῦσα χήρα καὶ ἐμπλησθεῖσα προσεύξεται ὑπὲρ αὐτῶν, οὐκ εἰσακουσθήσεται· ὅτι ὁ καρδιογνώστης θεὸς μετὰ κρίσεως ἀπεφήνατο περὶ τῶν ἀσεβῶν λέγων Ἐὰν στῇ Μωσῆς καὶ Ἀαρὼν πρὸ προσώπου μου ὑπὲρ αὐτῶν, οὐκ εἰσακούσομαι αὐτῶν· καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου * καὶ μὴ ἀξίου ἐλεηθῆναι αὐτοὺς καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου. | οὐ μὴν δὲ ἀλλὰ καὶ οἱ ἐν ἁμαρτίαις 7 γενόμενοι καὶ μὴ μεταγνόντες οὐ μόνον οὐκ εἰσακουσθήσονται προσευχόμενοι, ἀλλὰ καὶ τὸν θεὸν παροξυνοῦσιν, ὑπομιμνήσκοντες αὐτὸν τῆς ἑαυτῶν μοχθηρίας. περιίστασθε οὖν τὰς τοιαύτας διακονίας ὡς ἄλλαγμα κυνὸς καὶ μίσθωμα πόρνης· ἑκάτερα γὰρ τοῖς νόμοις ἀπηγόρευται. οὔτε γὰρ ὁ Ἐλισσαῖος τὰ παρὰ τοῦ Ἀζαὴλ προσκομισθέντα ἐδέξατο, οὔτε

2 Prov 17, 15? | 6 Reg γ 13 | 12 Psalm 37, 16 | 16 Hierem 15, 1 | 17 Hierem 7, 16 | 24 Deut 23, 19

1 πάντα ὅντιν᾽οὖν πονηρὸν yzt | 2 διαμαχομένου w, διαμαχόμενον yzt | 2 ὅτι .... γραφὴ > w | 2 ὅτι λέγει xt, δείκνυσι δὲ yz | 2. 3 βδελλυκτοὺς w | 3 λέγει ἡ γραφὴ + w | 3 τοὺς > x | 3 γὰρ wxt, γοῦν yz | 4 τῶν + t | 5 κριτηρίω τοῦ θεοῦ yzt | 6 ἀδονίας z | 7 φαγὸν z | 7 ὦ xyzt, ὃ w | 8 ὁ + t | 9 καὶ > t | 9 λεόντων x | 10 ἢ κἂν w | 10 ᾖ > x | 10 ὁ > t | 11 πολὺς ἢ w | 11 ἐξησκημένος wxt, ἀδρός yz [ὁ z] | 14 προσεύξηται x | 16 μωϋσῆς w | 16 ἀαρὼν wx, σαμουὴλ yzt | 18 σὺ > z | 18 περὶ wx, ὑπὲρ yzt | 18 τούτου .... ἐλεηθῆναι > z | 18 πρὸς ἱερεμίαν φησὶ ὁ θεὸς + y | 18 καὶ μὴ wxt, μηδὲ yz | 19 καὶ μὴ wxt, μηδὲ yz | 19 ὅτ y | 20 σοι x | 20 οὐ μὴν δὲ > x | 23 ὑπομνήσκοντες z | 25 γὰρ wxt, οὖν yz | 25 ὁ > yzt | 26 κομισθέντα t

Ἀχίας τὰ παρὰ τοῦ Ἱεροβοάμ· εἰ δὲ οἱ τοῦ θεοῦ προφῆται
τὰ παρὰ τῶν ἀσεβῶν οὐ προσήκαντο ξένια, δίκαιον μηδὲ
ὑμᾶς, ὦ ἐπίσκοποι. ἀλλὰ καὶ Σίμων ὁ μάγος ἐμοὶ Πέτρῳ
καὶ Ἰωάννῃ χρήματα προσενεγκὼν ἐπειρᾶτο ὠνητὴν τὴν
ἀτίμητον χάριν λήψεσθαι· ἅπερ μὴ προσηκάμενοι ἀραῖς
αἰωνίοις αὐτὸν ἐδησάμεθα, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ οὐκ
εὐνοίᾳ τῇ πρὸς * θεὸν ἀλλὰ χρημάτων ἐναλλαγῇ ἐνόμισε
κτήσασθαι. φεύγετε οὖν τὰς δυσσυνειδήτους εἰς τὸ θυσια-
στήριον τοῦ θεοῦ εἰσφοράς· ἄπεχε γάρ, φησίν, ἀπὸ ἀδί-
8 κου, καὶ οὐ φοβηθήσῃ καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. | ἀλλ'
ἐὰν λέγητε ὅτι Οἱ διδόντες τὰς ἐλεημοσύνας οὗτοί εἰσιν,
κἂν μὴ λάβωμεν παρ' αὐτῶν, πόθεν αἱ χῆραι ὑπηρετηθή-
σονται * καὶ οἱ ἐνδεεῖς τοῦ λαοῦ *; ἀκούσεσθε παρ' ἡμῶν
ὅτι Διὰ τοῦτο ἐλάβετε δόματα Λευιτῶν, τὴν καρποφορίαν τοῦ
ἐν ὑμῖν λαοῦ, ἵν' ἐπαρκῆτε καὶ ἑαυτοῖς καὶ τοῖς δεομένοις,
καὶ μὴ ἐνδείᾳ συνεχόμενοι παρὰ πονηρῶν λαμβάνητε. εἰ δὲ
οὕτως ἀποροῦσιν αἱ ἐκκλησίαι, λυσιτελεῖ * διαφθαρῆναι, ἢ
παρὰ ἐχθρῶν τοῦ θεοῦ λαβεῖν τι ἐφ' ὕβρει καὶ χλεύῃ τῶν
αὐτοῦ φίλων· περὶ γὰρ τῶν τοιούτων καὶ ὁ προφήτης λέγει
Ἔλαιον * ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. δοκιμα-
σταὶ οὖν γίνεσθε τῶν τοιούτων· καὶ παρὰ μὲν τῶν ὁσίως
περιπατούντων λαμβάνετε καὶ τοῖς θλιβομένοις χορηγεῖτε,
παρὰ δὲ ἀποσυναγώγων μὴ λαμβάνετε, πρὶν ἂν τῆς ἐκκλη-
σίας εἶναι μέλη καταξιωθῶσιν. εἰ δὲ ἐπιλίποι δόμα, προ-
σάγγελλε τοῖς ἀδελφοῖς, καὶ ἐξ αὐτῶν συλλογὴν ποιησάμενος
9 διακόνει τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις ἐν δικαιοσύνῃ. | λέγε
δὲ τῷ ὑπὸ σὲ λαῷ ἃ καὶ Σολομὼν ὁ σοφὸς Τίμα τὸν κύριον

3 Act 8, 18 | 9 Isaj 54, 14 | 20 Psalm 141, 5 | 27 Prov 3, 9. 10

1 ἀχαΐας yz | 1 τὰ > yz | 1 εἰ a correctore w, οἱ W? | 1 προφῆτε z 2 μήτε yzt | 3 ὑμεῖς w | 5 ἀτίμιτον x | 5 μὴ xyzt, οὐ w | 7 τὸν + w | 7 ἐναλλαγῇ wxt, καταβολῇ yz | 7 ἐνόμησε w, ἐνόμισεν x | 8 κτίσασθαι W, κτᾶσθαι yzt | 8 δυσυνειδήτους yz | 9 ἀπέχου yzt | 9 φη w | 10 φοβηθήσει w | 10. 11 ἀλλ' ἐὰν wxt, ἐὰν δὲ yz | 11 εἰσί yzt | 12 λάβοιμεν yzt | 13 παρ' ἡμῶν + yzt | 13 καὶ wxt, ἢ yz | 13 διατραφῶσιν + yzt | 13 ἀκούσεσθαι w | 14 δόμα yzt | 14 λευϊτῶν xyzt, ἵνα w | 15 ἡμῖν w | 15 ἵν' > w, ἵνα t | 16 ἐνδεία wx, ἀπορία yz, ἐν ἀπορία t | 17 ἂν + w | 18 παρ' yzt | 20 ἔλεον y | 20 δὲ super versum + y | 20 ἁμαρτολοῦ y | 20 λειπανάτω x | 24 ἐπιλείποι x | 24. 25 προσάγγελε wt

ἀπὸ σῶν δικαίων πόνων καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν
δικαιοσύνης, ἵνα πιμπλᾶταί σου τὰ ταμεῖα πλησμονῆς σίτου,
οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν. ἐκ τοῦ δικαίου οὖν
κόπου τῶν πιστῶν τρέφετε καὶ ἀμφιέννυτε τοὺς ὑστερου-
μένους, καὶ τὰ ἐξ αὐτῶν, ὡς προειρήκαμεν, ἀθροιζόμενα
χρήματα διατάσσετε διακονοῦντες εἰς *ἀγορασμοὺς τῶν ἁγίων,
ῥυόμενοι δούλους, καὶ αἰχμαλώτους, δεσμίους, ἐπηρεαζο-
μένους, ἥκοντας ἐκ καταδίκης διὰ τὸ ὄνομα τοῦ χριστοῦ ὑπὸ
τυράννων * εἰς μονομαχίαν καὶ θάνατον· λέγει γὰρ ἡ γραφή
Ῥῦσαι ἀγομένους εἰς θάνατον καὶ ἐκπρίου κτεινομένους, μὴ
φείσῃ. | ἐὰν δέ ποτε ἀνάγκη γένηται καὶ παρά τινος δέξησθε 10
ἀνοσίου ἄκοντες ἀργύριον, εἰς ξύλα καὶ ἀνθρακιὰν αὐτὰ
δαπανήσατε, ἵνα μὴ λαβοῦσα * χήρα ἐξ αὐτοῦ τι ἢ * ὀρ-
φανὸς ἀναγκασθῇ ὠνήσασθαι τροφὴν ἢ πόμα παρὰ τὸ προ-
σῆκον· δίκαιον γὰρ τὰ παρὰ τῶν ἀσεβῶν ταῦτα πυρὸς εἶ-
ναι κατανάλωμα, οὐκ εὐσεβῶν βρῶμα. ταῦτα δὲ καὶ ὁ νό-
μος διαγορεύει, θυσίαν ὀψισθεῖσαν ἄβρωτον ἀποκαλῶν καὶ
πυρὶ ταύτην ἀναλίσκεσθαι κελεύων. οὐ γὰρ τῇ φύσει φαῦλα
τὰ προσφερόμενα, ἀλλὰ τῇ γνώμῃ τῶν προσφερόντων
αὐτά. τοῦτο δὲ προστάσσομεν ἐπὶ τοῦ μὴ ἀποστρέφειν τοὺς
πλησιάζοντας ὑμῖν, εἰδότες καὶ τὴν συντυχίαν πολλάκις
ἐπωφελῆ τοῖς ἀσεβέσι γίνεσθαι τὴν πρὸς τοὺς εὐσεβεῖς,
ἐπιβλαβῆ δὲ μόνην τὴν κατὰ τὴν θρησκείαν κοινωνίαν. ταῦτα
μὲν οὖν ἐπὶ τοσοῦτον, ἀγαπητοί, εἰρήσθω ὑμῖν πρὸς ἀσφάλειαν
ὑμῶν. | οἱ μέντοι πατέρες παιδεύετε τὰ τέκνα ὑμῶν ἐν κυ- 11
ρίῳ, ἐκτρέφοντες αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου,

10 Prov 24, 11 | 17 Lev 19, 6 | 26 Eph 6, 4

2 ἐμπίμπλανται w, sed αν a correctore recenti, πίπληνταί X, πίμπληνταί x, πιμπλῶνται yz | 2 τὰ ταμεῖά σου yzt [ταμιεῖα t] | 2 σπλησμονῆς w, πλησμονῇ xyz [ῇ x] | 3 ἐκβλύζουσιν z | 6 τοὺς + yzt | 7 καὶ > yzt | 9 ἀγομένους + w | 10 ἀπαγομένους yz | 10 ἐκπριῶ yz, sed ἐκπρίου margo y | 11 φήσῃ W, φείον z | 11 καὶ > t | 11 δέξασθαι t | 12 ἀργύρια w | 12 αὐτὸ yzt | 12. 13 δαπανήσετε αὐτά w | 13 ἡ + yzt | 13 ἐξ αυτὰ τί [τί super versum] χήρα w | 13 ὁ + yt | 14 ὀνήσασθαι wx | 14 ἢ wxt, καὶ yz | 14 πώμα w | 15 τῶν > t | 16 παρανάλωμα yz | 18 φαῦλα τῆι φύσει w | 19 ἡ γνώμη w | 19 προσκομιζόντων yzt | 20 τοῦ wx, τῷ yz, τὸ t | 22 ἐποφελῆι w | 22 ἀσεβέσιν x | 22 γεγενῆσθαι t | 22 παρὰ τῶν εὐσεβῶν yz | 23 ἐπιβλαβῆι w | 24 ἀγαπητοὶ ἐπὶ τοσοῦτον yz | 25. 26 κυρίω xyzt, χριστῶι w | 26 παιδία y

καὶ διδάσκοντες αὐτὰ ἐπιτηδείους καὶ ἁρμοζούσας τῷ λόγῳ τέχνας, ἵνα μὴ διὰ τῆς εὐκαιρίας στρηνιάσαντα καὶ ἀνεπιτίμητα μείναντα ὑπὸ τῶν γονέων, πρὸ ὥρας ἀνέσεως τυχόντα, ἀφηνιάσωσι τοῦ καλοῦ. διὸ μὴ εὐλαβεῖσθε αὐτοὺς ἐπιπλήσσειν, σωφρονίζοντες αὐτὰ μετὰ ἐμβριθείας· οὐ γὰρ ἀποκτενεῖτε αὐτὰ παιδεύοντες, μᾶλλον δὲ σώσετε αὐτά, καθώς που καὶ * Σολομὼν ἐν τῇ σοφίᾳ φησὶ Παίδευε * υἱόν σου καὶ ἀναπαύσει σε· οὕτω γὰρ ἔσται σοι εὔελπις· σὺ μὲν γὰρ ῥάβδῳ πατάξεις αὐτόν, τὴν δὲ ψυχὴν αὐτοῦ ῥύσῃ ἐκ θανάτου. καὶ πάλιν λέγει ὁ αὐτὸς οὕτως Ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν ἑαυτοῦ υἱόν· καὶ ἑξῆς Κλάσον τὰς πλευρὰς αὐτοῦ, ὡς ἐστὶ νήπιος, μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι. ὃς φείδεται οὖν παραινεῖν καὶ σωφρονίζειν τὸν ἑαυτοῦ υἱόν, μισεῖ τὸν ἴδιον παῖδα. ἐκδιδάσκετε οὖν ὑμῶν τὰ τέκνα τὸν λόγον * κυρίου, * στύφετε δὲ αὐτὰ καὶ δαρμοῖς καὶ ποιεῖτε * ὑποτακτικά *, ἀπὸ βρέφους διδάσκοντες αὐτὰ ἱερὰ γράμματα, ἡμέτερά τε καὶ θεῖα, καὶ πᾶσαν γραφὴν θείαν παραδιδόντες αὐτοῖς, ἄνεσιν αὐτοῖς μὴ διδόντες κατεξουσιάζειν ὑμῶν παρὰ τὴν ὑμετέραν γνώμην, μετὰ ὁμηλίκων εἰς συμπόσιον μὴ ἐῶντες αὐτὰ συμβάλλειν· οὕτως γὰρ εἰς ἀταξίαν ἐκτραπήσονται καὶ εἰς πορνείαν περιπεσοῦνται. καὶ ἐὰν παρὰ τὴν τῶν γονέων ἀμέλειαν τοῦτο πάθωσιν, ἔνοχοι τῶν ψυχῶν αὐτῶν οἱ γεννή-

7 Prov 29, 17 | 8 Prov 19, 18 | 8 Prov 23, 14 | 10 Prov 13, 24 | 11 Sirach 30, 12 | 16 Tim β 3, 15

1 διδάσκετε yzt | 1 ἁρμωζούσας w | 2 εὐκερίας z | 2 στριvϊάσαντα w | 3 μείναντα post γονέων yzt | 3. 4 τυγχάνοντα w | 4 ἀφηνιάσωσιν x | 4 εὐλαβεῖσθαι z | 4 αὐτοῖς yzt | 5 ἐμβρηθείας x | 7 ὁ + t | 7 φησίν x, φη̅ w | 7 τὸν + z | 8 σου > x | 8 οὔτωι w, οὗτος yz | 9 ῥάβδως z | 10 οὕτως > yz | 11 βακτηρίας ἑαυτοῦ x | 11 med αὐτοῦ z | 11 ἑξῆς wxt, πάλιν σοφός τις ἕτερος yz | 12 ἐστιν xz [ἔ z] | 12. 13 σκληρυ νθεὶς erasa litera una w | 13 ἀπιθήσει w, ἀπειθήσει x | 13 οὖν wxt, τοίνυν yz | 13. 14 σοφρονίζειν z | 14 τὸν ἴδιον παῖδα wxt, αὐτόν y, αὐτὸ z | 15 τὰ τέκνα ὑμῶν w | 15 τοῦ + yz | 15 καὶ + yz | 15 δὲ > yz | 16 καὶ prius > yz | 16 αὐτὰ super versum + y | 16 εἶναι + w | 17 ὑμέτερά wxt | 17 θεῖαι w | 18 θείαν wxt, θεόπνευστον yz | 18 παραδόντες w | 18 παραδιδόντες αὐτοῖς > yz, αὐτοῖς > t | 19 μὴ διδόντες ante ἄνεσιν 18 t | 20 εἰσυμπόσιον ita iunctum z | 20 ἐᾶτε yz | 20. 21 βάλλειν Yz | 21 οὕτω yzt

σαντες ὑπάρξουσιν. εἰ γὰρ τῇ τῶν γονέων ῥαθυμίᾳ σύνει-
σιν ἀκολάστοις, οἱ παῖδες ἁμαρτήσαντες οὐκ αὐτοὶ μόνοι
κολασθήσονται, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν οἱ γονεῖς αὐτῶν κρι-
θήσονται. διὰ τοῦτο σπουδάζετε ὥρᾳ γάμον ζευγνύναι καὶ
συναλλάσσειν αὐτά, ἵνα μὴ τῆς ἡλικίας ἐν τῇ ἀκμῇ νεα-
ζούσης ἔθη πορνοκόπα ἀποβῇ, καὶ ὑμεῖς ἀπαιτηθήσεσθε
τὸν λόγον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὑπὸ κυρίου τοῦ
θεοῦ. περὶ δὲ οἰκετῶν τί ἂν εἴποιμεν πλεῖον, ἢ ὅτι καὶ ὁ [12
δοῦλος εὔνοιαν εἰσφερέτω εἰς τὸν δεσπότην μετὰ φόβου
θεοῦ, κἂν ἀσεβὴς κἂν πονηρὸς ὑπάρχῃ, οὐκέτι μέντοι καὶ
ὁμόνοιαν κατὰ τὴν θρησκείαν. καὶ ὁ δεσπότης ἀγαπάτω
τὸν οἰκέτην, κἂν διάφορος ᾖ, τὸ ἴσον κρινέτω εἰ * ἄν-
θρωπος ὑπάρχει. ὁ δὲ πιστὸν ἔχων δεσπότην, σωζομένης
αὐτῷ τῆς κυρίας, ἀγαπάτω καὶ ὡς δεσπότην καὶ ὡς ὁμό-
πιστον καὶ ὡς πατέρα, μὴ ὡς ὀφθαλμόδουλος, ἀλλ' ὡς
φιλοδέσποτος, εἰδὼς ὅτι ὁ θεὸς αὐτῷ τὴν μισθαποδοσίαν
ἀποτίσει τῆς ὑπηρεσίας. ὡσαύτως δὲ καὶ ὁ κύριος ὁ πιστὸν
ἔχων οἰκέτην, σωζομένης αὐτῷ τῆς θεραπείας, ἀγαπάτω ὡς
υἱὸν ἢ ὡς ἀδελφὸν διὰ τὴν τῆς πίστεως κοινωνίαν. | πάσῃ 13
βασιλείᾳ καὶ ἀρχῇ ὑποτάγητε καθὼς ἀρέσκει θεῷ, ὡς θεοῦ
διακόνοις καὶ τῶν ἀσεβῶν τιμωροῖς· πάντα φόβον τὸν ὀφει-
λόμενον αὐτοῖς ἀποπληρώσατε, πᾶσαν εἰσφοράν, πᾶν τέλος,
πᾶσαν τιμήν, * δόσιν, κῆνσον. θεοῦ γὰρ τοῦτο διάταγμα, μη-
δενί τι χρεωστεῖν, εἰ μὴ τὸ τῆς φιλίας *, ὃ ὁ θεὸς διετάξατο
διὰ * χριστοῦ. | περὶ δὲ παρθενίας ἐντολὴν οὐκ ἐλάβομεν, τῇ 14
δὲ τῶν βουλομένων ἐξουσίᾳ τοῦτο ἐπιτρέπομεν ὡς εὐχήν,
ἐκεῖνο μόνον αὐτοῖς παραινοῦντες, μὴ προχείρως τι ἐπαγ-

20 Rom 13, 4 | 23 Rom 13, 8

1 γὰρ xyzt, δὲ w | 1 τῇ ... 2 ἁμαρτήσαντες] τὴν τῶν γονέων ῥαθυμίαν γνῶντες οἱ παῖδες ἁμαρτήσωσιν w | 1 γονέων wx, γινομένων yz, γειναμένων t | 3 ἀλλὰ ... κριθήσονται > t | 5. 6 νεαζούσης wx, ζεούσης yzt | 6 ἔθνη W?x, αὐτὰ μὲν yz | 6 καὶ ὑμεῖς wxt, ὑμεῖς δὲ yz | 6 ἀπαιτηθῆτε yz | 8 πλέον w | 9 εἰς wx, πρὸς yzt | 10 ὑπάρχει wx | 12 ο alterum in διάφορος apud w in rasura, ἀδιάφορος x | 12 εἰ w, ἢ xt, ἤ yz | 12 καθὸ + t | 14 κυρείας yZ | 17 δὲ > yzt | 17 κύρισο z | 20 καθὼς wx, ἐν οἷς yzt | 23 πᾶσαν + yz | 23. 24 μὴδὲν w, μηδὲν y, γρφ μηδενὶ margo y, μηδενὸ z | 24 μὶ w | 24 σύμβολον + yzt | 25 ἰησοῦ + yz | 25 παρθενείας xt | 26 εὐχὴ w | 27 μόνον wx, μὲν οὖν yzt, γρφ και ἐκεῖνο μόν.. margo y | 27 αὐταὶς yz | 27 παραινοῦμεν yz | 27 p 123, 1 ἐπαγγείλασθε yz

γείλασθαι· ἐπείπερ * ὁ Σολομών φησιν Ἀγαθὸν τὸ μὴ εὔξασθαι, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. ἡ παρθένος οὖν αὕτη ἔστω ἁγία σώματι καὶ ψυχῇ, ὡς ναὸς θεοῦ, ὡς οἶκος χριστοῦ, ὡς πνεύματος ἁγίου καταγώγιον. δεῖ γὰρ τὴν ἐπαγγειλαμένην, ἄξια τῆς ἐπαγγελίας ἔργα διαπρασσομένην, δεικνύειν τὸ ἐπάγγελμα αὐτῆς ὅτι ἔστιν ἀληθὲς καὶ διὰ σχολὴν εὐσεβείας, οὐ κατὰ διαβολὴν γάμου γινόμενον. ἔστω δὲ μὴ ῥεμβὰς μηδὲ ἀκαιροπερίπατος, μὴ δίγνωμος, ἀλλὰ σεμνή, ἐγκρατής, σώφρων, ἁγνή, φεύγουσα τὰς τῶν πολλῶν συντυχίας καὶ μάλιστα τὰς τῶν ἀσέμνων.

# E

Εἴ τις χριστιανὸς διὰ τὸ ὄνομα τοῦ χριστοῦ καὶ τὴν εἰς * θεὸν πίστιν καὶ ἀγάπην κατακριθῇ ὑπὸ ἀσεβῶν εἰς λοῦδον ἢ θηρία ἢ μέταλλον, μὴ παρίδητε αὐτόν, ἀλλ' ἐκ τοῦ κόπου καὶ * τοῦ ἱδρῶτος ὑμῶν πέμψατε αὐτῷ εἰς διατροφὴν αὐτοῦ καὶ εἰς μισθοδοσίαν τῶν στρατιωτῶν, ἵνα ἐλαφρυνθῇ καὶ ἐπιμελείας τύχῃ· ἵνα, ὅσον τὸ ἐφ' ὑμῖν, μὴ θλίβηται ὁ μακάριος ἀδελφὸς ὑμῶν. ὁ γὰρ διὰ τὸ ὄνομα κυρίου τοῦ θεοῦ καταδικαζόμενος, οὗτος μάρτυς ἅγιος, ἀδελφὸς τοῦ χριστοῦ, υἱὸς τοῦ ὑψίστου, δοχεῖον τοῦ ἁγίου πνεύματος, δι' οὗ καὶ τὸν φωτισμὸν τῆς δόξης τοῦ * εὐαγγελίου ἐλάβομεν ἕκαστος τῶν πιστῶν ἐν τῷ καταξιωθῆναι τοῦ * στεφάνου καὶ τῆς μαρτυρίας τῶν παθημάτων αὐτοῦ καὶ τῆς κοινωνίας τοῦ αἵματος αὐτοῦ, *

1 Eccl 5, 4 | 20 Cor β 4, 4

1 καὶ + t | 2 τὸ > w | 3 αὕτη Wxt, τοιαύτη w, > yz | 4 ἁγίου > xyz | 5 διαπράττειν w, διὸ πρασσομένην z | 6 δεικνύων w | 6 ἔστιν > w | 7 γινομένην xyz, γενομένην t | 8 ῥεμβομένη w, φιλόκοσμος yz, sed μὴ ῥέμβας margo y | 8 μηδὲ xyzt, μὴ w | 8 ἀκαιροπεριπάτητος t | 8 δήγνωμος w | 9 σεμνή > w | 10 τὰς > yzt

12 τὸν + yzt | 12 ἀγάπην καὶ πίστιν t | 13 λοῦδον t, δοῦλον wxyz | 13 μετάλλων w | 14 ἐκ + t | 14 τοῦ ἱδρῶτος wx, τοῦ ἰγρῶτος t, τῶν ὑπαρχόντων yz, margo y γρφ ὑδρότος | 15 μισθοδοσίαν wx, μισθαποδοσίαν t, θεραπείαν y, θεραπεία z, γρφ μισθοδοσία margo y | 16 ἵν' yzt | 17 θλίβητε Z | 19 χριστοῦ wx, κυρίου yzt | 19 δοχίον x | 21 ἁγίου + t | 21 ἔλαβεν yzt | 22 ἀφθάρτου + yzt | 23 κοινονίας z | 23 καὶ manu recenti super versum + w

συμμορφωθῆναι τῷ θανάτῳ τοῦ χριστοῦ εἰς υἱοθεσίαν. τούτου οὖν ἕνεκεν ἅπαντες οἱ πιστοὶ διὰ τοῦ ἐπισκόπου ὑμῶν ἐκ τῶν ὑπαρχόντων ὑμῶν καὶ ἐκ τοῦ κόπου διακονήσατε τοῖς ἁγίοις. εἰ δὲ οὐκ ἔχει τις, νηστεύσας τὸ τῆς ἡμέρας καὶ μερίσας, τοῦτο ἐκταξάτω τοῖς ἁγίοις. εἰ δέ τις ἐν περιουσίᾳ ὑπάρχει *, καὶ πλεῖόν τι κατὰ ἀναλογίαν τῆς δυνάμεως αὐτοῦ διακονείτω αὐτοῖς. εἰ δὲ καὶ οἷός τε ἐστὶν ἅπαντα τὸν βίον αὐτοῦ ἀποδόμενος ῥύσασθαι αὐτοὺς ἐκ τοῦ δεσμωτηρίου, μακάριος ἔσται καὶ φίλος τοῦ χριστοῦ. εἰ γὰρ ὁ τὰ ὑπάρχοντα πτωχοῖς δοὺς τέλειος μετὰ τὴν περὶ τῶν θείων γνῶσιν, πολλῷ μᾶλλον ὁ ὑπὲρ μαρτύρων· ὁ γὰρ τοιοῦτος, ἄξιος θεοῦ ὑπάρξας, πληρώσει τὸ θέλημα αὐτοῦ, χορηγήσας ἐκείνοις, οἵτινες αὐτὸν ὡμολόγησαν ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ, περὶ ὧν ὁ κύριος ἀπεφήνατο λέγων Ὃς ἐὰν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. καὶ εἰ τοιοῦτοί εἰσιν, ὥστε καὶ ὑπὸ * χριστοῦ ἐπὶ τοῦ πατρὸς αὐτοὺς μαρτυρεῖσθαι, ὑμεῖς οὐκ ὀφείλετε ἐπαισχυνθῆναι ἀπιέναι πρὸς αὐτοὺς ἐν ταῖς φυλακαῖς· τοῦτο γὰρ ποιησάντων ὑμῶν, μαρτύριον ὑμῖν λογισθήσεται· ὅτι ἐκείνοις μὲν πεῖρα τὸ μαρτύριον ὑπῆρξεν, ὑμῖν δὲ τέως προθυμία, ὡς κοινωνοῖς τῆς ἀθλήσεως αὐτῶν. λέγει γάρ που ὁ κύριος * πρὸς τοὺς τοιούτους φάσκων Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ συνηγάγετέ με, γυμνὸς καὶ περιεβάλετέ με, ἀσθενὴς ἤμην καὶ ἐπεσκέψασθέ

1 Phil 3, 10 | 3 Luc 8, 3 | 15 Matth 10, 32 | 24 Matth 25, 34—40 + 46

1 συμμορφοθῆναι xz | 1 εἰς > t | 5 ὁσίοις w | 5 τις > w | 6 τις + w | 7 αὐτοῖς wxt, αὐτῷ yz | 8 αὐτοῦ wx, ἑαυτοῦ yzt | 10 τὰ wxyt, τοῦ z | 10 μετὰ ... 11 γνῶσιν wxt, κατὰ τὴν τοῦ κυρίου διάταξιν yz | 13 χωρηγήσας w | 13 ὁμολόγησαν wX | 15 ἐὰν wx, ἂν yzt | 15 ὁμολογήσει w | 17 τοῦ alterum ... οὐρανοῖς > yzt | 18 ὡς yzt | 18 τοῦ + yz | 21 ἐκείνοι W | 22 ὑπῆρξε w | 22 τέως wxyz, ἑτέρως t | 22 κοινωνοὶ W | 23 ἀθλίσεως x | 23 λέγει γάρ που wxt, πάντως δὲ yz | 23 καὶ + yz | 24 φάσκων wxt, ἐρεῖ yz | 27 συνηγάγεταί w | 28 fin με > x | 28 ἤμην > yz

*με, ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός μέ. τότε ἀποκριθή-*
*σονται * οἱ δίκαιοι λέγοντες Κύριε, πότε σε εἴδομεν*
*πεινῶντα καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν; || ἢ*
*γυμνὸν καὶ περιεβάλομεν, ἢ ἀσθενῆ καὶ ἐπεσκεψάμεθα; ἢ*
*ξένον καὶ συνηγάγομεν, ἢ ἐν φυλακῇ καὶ ἤλθομεν πρὸς σέ;*
*καὶ ἀποκριθεὶς ἐρεῖ αὐτοῖς Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων*
*τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· καὶ*
2 *ἀπελεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον. * | εἰ δέ τις, ἀδελφὸν*
*λέγων ἑαυτὸν εἶναι, ἀπατηθεὶς ὑπὸ τοῦ πονηροῦ κακο-*
*ποιήσῃ καὶ ἐλεγχθεὶς κατακριθῇ θανάτῳ ὡς μοιχὸς ἢ φο-*
*νεύς, χωρίζεσθε ἀπ' αὐτοῦ, ἵνα ἦτε ἄσυλοι, καὶ μή τις*
*ὑμῶν ὡς κοινωνὸς τοῦ μύσους ὑποπτευθῇ καὶ καταχέηται*
*βλασφημίαν, * ὡς πάντων χριστιανῶν χαιρόντων ἐπὶ τοῖς πα-*
*ρανόμοις ἔργοις· διὸ μακρὰν * ἀπ' αὐτῶν χωρεῖτε. τοῖς μέν-*
*τοι διὰ χριστὸν κατ' ἐπήρειαν παρὰ τῶν ἀσεβῶν συγκλειο-*
*μένοις εἰς φυλακὴν ἢ πρὸς θάνατον ἐκδιδομένοις ἢ πρὸς*
*δεσμὰ καὶ ἐξορίαν πάσῃ σπουδῇ βοηθεῖτε, τὰ μέλη ὑμῶν*
*ῥυόμενοι ἐκ χειρῶν ἀθέσμων· καὶ ἐάν τις αὐτοῖς * συγκείμε-*
*νος κρατηθῇ * καὶ αἰκίαις ὑποπέσῃ, μακάριός ἐστιν ὅτι κοι-*
*νωνὸς μαρτύρων ἐγένετο καὶ μιμητὴς τῶν τοῦ κυρίου Ἰησοῦ*

2 *αὐτῷ* + t | 2 *ἴδομεν* xt | 3 et 4 *ἢ* ultimum wxyz, *πότε δέ σε ἴδομεν* t | 8 *τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων. πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με. ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με. γυμνός, καὶ οὐ περιεβάλετέ με. ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. τότε ἀποκριθήσονται καὶ αὐτοὶ λέγοντες. κύριε πότε σε εἴδομεν πεινῶντα. ἢ διψῶντα. ἢ ξένον. ἢ γυμνόν. ἢ ἀσθενῆ. ἢ ἐν φυλακῇ. καὶ οὐ διηκονήσαμέν σοι; τότε ἀποκριθήσεται καὶ αὐτοῖς, λέγων. ἀμὴν λέγω ὑμῖν. ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδέ ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον* + t | 8 *ἀδελφὸς* corr w | 9 *ἑαυτὸν* > w | 9. 10 *κακοποιήσει* wyz, manu recenti in margine w scriptum *ἤγουν ποιήσει παρ' ὃ ἐνδέχεται χριστιανὸν* | 10 *κατακριθεῖ* w | 11 *ἄσυλοι* wxt, *ἄμωμοι* yz | 11 *καὶ μή* wxt, *μηδέ* yz | 12 *μῖσους* w | 12 *καταχέητε* yz | 13 *μηδὲ κατὰ τῆς ἐκκλησίας βλασφημία κατασχεθῇ* + yz | 14 *μακρὰν* wxt, *καλὸν* yz | 14 *στέλλεσθαι* + yz | 14 *χωρεῖτε* > yz | 17 *ἐξωρίαν* x | 17 *πᾶσι* w | 18 *τοῖς μάρτυσι* + w | 18. 19 *προσκείμενος αὐτοῖς* yz | 19 *κρατηθῇ* wx, *συλληφθῇ* yzt | 19 *ὑπὸ τῶν παρανόμων* + w | 19 *ὑποπέσοι* yzt | 19. 20 *κοινονὸς* Y | 20 *μάρτυρος* t | 20 *κυρίου Ἰησοῦ* > yzt

χριστοῦ παθημάτων. καὶ γὰρ καὶ ἡμεῖς ὑπὲρ χριστοῦ πολ-
λάκις ὑπὸ Καϊάφα * καὶ Ἄννα πληγὰς λαβόντες, χαίροντες
ἐξῄειμεν, ὅτι κατηξιώθημεν ὑπὲρ τοῦ σωτῆρος ἡμῶν τοιαῦτα
παθεῖν· καὶ ὑμεῖς χαίρετε ταῦτα πάσχοντες, ὅτι μακάριοι
γενήσεσθε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. | καὶ τοὺς διωκομένους δὲ 3
διὰ τὴν πίστιν καὶ * πόλιν ἐκ πόλεως φεύγοντας διὰ τὴν
ἐντολὴν τοῦ κυρίου, προσλαμβάνεσθε αὐτούς, ἀντιλαμβα-
νόμενοι αὐτῶν καὶ προσδεχόμενοι αὐτοὺς ὡς μάρτυρας, χαί-
ροντες ὅτι κοινωνοὶ αὐτῶν τοῦ διωγμοῦ γεγένησθε, * γι-
νώσκοντες αὐτοὺς ὑπὸ * κυρίου μεμακαρίσθαι. φησὶ γὰρ
αὐτὸς Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν
καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνε-
κεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πο-
λὺς ἐν τῷ οὐρανῷ· οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας
τοὺς πρὸ ὑμῶν. καὶ πάλιν Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώ-
ξουσιν. καὶ ἑξῆς Ἐὰν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ,
φεύγετε εἰς τὴν ἑτέραν· ὅτι ἐν τῷ κόσμῳ τούτῳ θλίψιν ἔχετε·
* παραδώσουσι γὰρ ὑμᾶς εἰς συναγωγάς *, καὶ ἐπὶ ἡγεμόνας
καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς·
καὶ ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ὁ γὰρ διω-
χθεὶς ἕνεκεν τῆς πίστεως καὶ μαρτυρήσας περὶ αὐτοῦ καὶ
ὑπομείνας, οὗτος ἀληθῶς ἄνθρωπος θεοῦ. | ὁ δὲ ἀρνησά- 4
μενος ἑαυτὸν χριστοῦ εἶναι διὰ τὸ μὴ μισεῖσθαι ὑπὸ ἀν-

11 Matth 5, 11. 12 | 15 Ioh 15, 20 | 16 Matth 10, 23 | 17 Ioh 16, 33 | 18 Matth 10, 17. 18. 22 | 22 Tim α 6, 11

2 καὶ ἀλεξάνδρου + xt | 2 πληγαῖς z | 3 ἐξίειμεν w, ἐξίημεν xt | 4 ταῦτα πάσχοντες χαίρετε w | 4 χάρητε ταῦτα x, οὖν χάριτι διὰ θεὸν yz [nisi quod οὖν > z] | 4 ὅτι > yz | 5 γενήσεσθαι W | 6 εἰς + yz | 9 τοῦ διωγμοῦ αὐτῶν yz | 9 γεγένεισθε W, ἐγένεσθαι margo w | 9 καὶ + yz | 10 τοῦ + yzt | 10 μεμακαρεῖσθαι wx, μεμακαρῆσθαι t | 10. 11 φησὶ ... αὐτὸς wxt [φησὶν x], ἐν οἷς φησίν yz | 11 ὀνειδήσωσιν x | 11 διώξουσιν w, διώξωσι yzt | 12 εἴπωσιν x | 13 χαίρεται x | 14 τοῖς οὐρανοῖς wt | 14 οὕτω yzt | 15 πρὸς z | 15 ἡμῶν t | 15. 16 διώξουσι yzt | 16 ἑξῆς wxt, πάλιν yz | 16 ἐκ τῆς πόλεως ταύτης yz | 17 ἑτέραν wx, ἄλλην yzt | 17 ὅτι .... ἔχετε > Yz, sed in z lacuna quinque literarum capax | 17 τούτῳ > yt | 18 καὶ πάλιν + yz | 18 παραδώσουσιν x | 18 αὐτῶν + yz | 20 καὶ ὁ wxt, ὁ δὲ yz | 20 οὗτως z | 21 ἕνεκα yz | 23 θεοῦ z, sed θ minio in margine (i. e. serius) scriptum: scriba igitur loco χ male θ scripsit | 23 μὴ μισεῖσθαι xyzt, μϊμησείσθαι w | 23 ὑπ' yz

θρώπων, φιλήσας τὴν ἑαυτοῦ ψυχὴν μᾶλλον ἢ τὸν κύριον, οὗ ἡ πνοὴ αὐτοῦ ἐν * χειρὶ αὐτοῦ, οὗτος ἐλεεινός, * ἄθλιος, * ὡς ἐναγὴς καὶ βδελυκτός, φίλος μὲν ἀνθρώπων θελήσας εἶναι, ἐχθρὸς δὲ τοῦ θεοῦ, μερίδα λαβὼν οὐκέτι μετὰ τῶν ἁγίων, ἀλλὰ μετὰ τῶν κατηραμένων, * ἀντὶ βασιλείας εὐλογημένων ποθήσας τὸ * πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, οὐχ ὑπὸ ἀνθρώπων ἔτι μισούμενος, ἀλλ' ὑπὸ * θεοῦ || ἀπωσμένος καὶ ἀπὸ τοῦ προσώπου αὐτοῦ ἐκβεβλημένος. περὶ γὰρ τούτου ἀπεφήνατο * ὁ κύριος λέγων Ὅστις ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων καὶ * ἐπαισχυνθῇ τὸ ὄνομά μου, ἀρνήσομαι αὐτὸν κἀγὼ καὶ * ἐπαισχυνθήσομαι ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν λέγει τοῖς μαθηταῖς αὐτοῦ, ἡμῖν αὐτοῖς, οὕτως Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· * ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ * εὑρήσει αὐτήν. τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; καὶ ἑξῆς Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνά-

2 Dan 5, 23 | 6 Matth 25, 41 | 10 Matth 10, 33 | 14 Matth 10, 37 —39 | 18 Matth 16, 26 | 20 Matth 10, 28

2 αὐτοῦ prius > yz | 2 τῇ + yz | 2 ἐλεηνὸς wY | 2 καὶ + w | 2 ἄθλος Y | 3 φευκτὸς + yz | 3 ὡς > w | 3 βδελλυκτὸς w | 4 οὐκέτι wxt, οὐ yz | 5 καὶ + yz | 5.6 εὐλογημένων xyzt, αἰωνίου καὶ χαρᾶς w | 6 ἡτοιμασμένον + w | 6 τὸ secundum .. ἡτοιμασμένον > w | 7 ὑπ' yzt | 8 τοῦ + t | 8 ἀποσμένος z | 9 γὰρ > yz | 9 που καὶ + yz | 10 ἀρνήσεταί yzt | 10 με ἀρνήσηται w | 11 καὶ ... μου > yz | 11 καγὼ αὐτὸν yz | 12 καὶ ἐπαισχυνθήσομαι > yz | 12 ut 11 rasura trium literarum capax in w | 13 τοῖς prius > yzt | 13 καὶ .... 14 οὕτως wxt [αὐτοῖς > w], καὶ πρὸς ἡμᾶς δὲ τοὺς μαθητὰς αὐτοῦ εἶπεν yz | 15 ἔστιν x | 16 ἔστιν x | 16 καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου οὐκ ἔστι μου ἄξιος καὶ + yzt [καὶ ultimum > t] | 16 ἀπωλέσει w | 17 καὶ ὁ wxt, ὁ δὲ yz | 17 ἀπωλέσας w | 17 τὴν ψυχὴν αὐτοῦ wxt, αὐτὴν yz | 17 οὗτος + w | 17. 18 εὑρήσει xyzt, σώσει w | 18 ὀφελήσει w, ὠφελεῖται yz, ὀφελεῖται t | 20 ἑξῆς wxt, πάλιν yz | 21 ἀποκτενόντων wyzt | 22 ἀποκτεῖνε z

μενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. | πᾶς οὖν 5
ὁ μανθάνων τέχνην τινά, βλέπων τὸν διδάσκαλον αὐτοῦ διὰ τῆς ἐνεργείας καὶ ἐμπειρίας ἀπαρτίζοντα τὴν τέχνην αὐτοῦ, καὶ αὐτὸς ζηλοῖ ὅμοιον αὐτῷ ποιήσασθαι τὸ ἐγχειρισθέν· ἐὰν δὲ μὴ ἐξισχύσῃ, οὐκ ἔστι τετελειωμένος ἐν τῷ ἔργῳ. καὶ ἡμεῖς οὖν, ἔχοντες διδάσκαλον τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν χριστόν, διὰ τί οὐ μιμούμεθα τὴν αὐτοῦ διδαχήν; ὅτι ἐκεῖνος μὲν * ἀπετάξατο ἀνέσει, τρυφῇ, δόξῃ, πλούτῳ, τύφῳ, δυνάμει ἀμυντικῇ, μητρὶ καὶ ἀδελφοῖς, ἤδη δὲ καὶ τῇ οἰκείᾳ ζωῇ διὰ τὴν πρὸς τὸν θεὸν εὐσέβειαν καὶ τὴν εἰς ἡμᾶς φιλανθρωπίαν, ὑπομείνας οὐ μόνον διωγμὸν καὶ μάστιγας, ὀνειδισμὸν καὶ ἐμπαιγμόν, ἀλλ' ἤδη καὶ τὴν πρὸς τὸν σταυρὸν πρόσπηξιν, ὅπως Ἰουδαίους καὶ Ἕλληνας μετανοήσαντας σώσῃ. εἰ οὖν αὐτὸς δι' ἡμᾶς ἀπετάξατο ἅμα πᾶσι, μὴ ἐπαισχυνθεὶς σταυρὸν μηδὲ ἀδοξήσας τὸν θάνατον, τίνος ἕνεκεν ἡμεῖς οὐ μιμούμεθα αὐτοῦ τὰ πάθη, καὶ ἀποτασσόμεθα ὑπὲρ αὐτοῦ καὶ αὐτῇ τῇ ζωῇ ἡμῶν, διδόντος αὐτοῦ ἡμῖν τὴν ὑπομονήν; ἐκεῖνος μὲν γὰρ δι' ἡμᾶς *, ἡμεῖς δὲ δι' ἑαυτούς· οὐ γὰρ χρῄζει ἡμῶν αὐτός, ἡμεῖς δὲ * τοῦ ἐλέους αὐτοῦ *. μόνον δὲ τὸ τῆς πίστεως ἡμῶν γνήσιον ἐπιζητεῖ καὶ αὐθαίρετον, ὥς φησιν ἡ γραφὴ Εἰ δίκαιος εἶ, τί δώσεις αὐτῷ ἢ τί ἐκ χειρός σου λήψεται; ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ εὐσέβειά σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου.
| ἀποταξώμεθα οὖν καὶ γονεῦσι καὶ συγγενέσιν καὶ φίλοις 6

14 Luc 14, 33 | 19 Sirach 15, 13 | 21 Iob 35, 7. 8

1 ἀπωλέσαι w | 2 βλέπον Z | 3 δι' yz | 3 τῆς ἐνεργείας καὶ > yz | 3 ἐμπηρείας w, ἐμπειρήας X? | 3 τὴν τέχνην wxt, τὸ ἔργον yz | 4 ζηλοῖ wxt, σπουδάζει yz | 4 αὐτῷ > yz | 4. 5 ἐνχειρισθέν x | 5 δὲ > t | 5 μὴ xyzt, οὐκ w | 5 ἔστιν x | 8 ὅτι > yz | 8 γὰρ + y | 8 ἀπεστάξατο habere *videtur* z | 8 δόξει X | 10 τὸν > w | 10 θεὸν εὐσέβειαν wx, πατέρα ὑπακοὴν yz, πατέρα εὐσέβειαν t | 11 διωγμὸν καὶ > yz | 12 ἐμπαιγμὸν καὶ ὀνειδισμὸν w | 13 τὸ ξύλον ἀνάρτησιν yz, τὸ ξῦλον πρόσπηξιν t | 14 σώσει w | 14. 15 ἅμα πᾶσι wx [πᾶσιν x], ἀναπαύσει yzt | 15 ἐπαισχυνθῆς x | 15 μηδὲ wxyz, μὴ t | 15 ἀδοξήσας wxt, ἀδοξίαν νομίσας yz [νομήσας z] | 16 ἡμεῖς > yz | 18 τὴν > yz | 18 γὰρ wxt, οὖν yz | 18 ἀπετάξατο + yz | 19 χρήζομεν + w | 20 δεόμεθα + yz | 21 αὐθαίρετον wxt, εἰλικρινὲς yz, καὶ αυθέρετον margo y tamquam post εἰλικρινὲς inserendum | 23 ἀσέβειά yzt | 24 γονεῦσιν x | 24 συγγενεῦσιν x, συγγενέσι yzt

καὶ γυναικὶ καὶ τέκνοις καὶ κτήμασι καὶ σύμπαντι τῷ βίῳ, ὅταν ᾖ τι τούτων κώλυμα πρὸς εὐσέβειαν. δεῖ γὰρ προσεύχεσθαι μὲν ἡμᾶς ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν, ἐὰν δὲ κληθῶμεν εἰς μαρτύριον, μετὰ ἐνστάσεως ὁμολογεῖν τὸ τίμιον ὄνομα. καὶ ἐὰν τούτου χάριν κολασθῶμεν, χαίρωμεν ὡς ἐπὶ ἀθανασίαν σπεύδοντες. διωκόμενοι μὴ ξενιζώμεθα μηδὲ ἀγαπήσωμεν τὸν νῦν αἰῶνα μηδὲ τοὺς παρὰ ἀνθρώπων ἐπαίνους μηδὲ τὴν τῶν ἀρχόντων δόξαν καὶ τιμήν, καθάπερ καὶ τινὲς τῶν Ἰουδαίων, θαυμάζοντες τοῦ κυρίου τὰς ἐνεργείας, οὐκ ἐπίστευον εἰς αὐτὸν φόβῳ τω πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς λοιποὺς τῶν ἀρχόντων· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ. ὁμολογήσαντες δὲ τὴν καλὴν ὁμολογίαν, οὐ μόνον ἑαυτοὺς σώζομεν, ἀλλὰ καὶ τοὺς νεοφωτίστους βεβαιοῦμεν καὶ τοὺς κατηχουμένους πιστοποιούμεθα. εἰ δὲ καθυφῶμέν τι τῆς ὁμολογίας, ἐξαρνησάμενοι τὴν εὐσέβειαν διὰ γνώμης χαυνότητα καὶ φόβον βραχυτάτης τιμωρίας, οὐ μόνον ἑαυτοὺς ἀποστεροῦμεν τῆς αἰωνίου δόξης, ἀλλ' ἤδη καὶ ἑτέροις αἴτιοι ἀπωλείας γενησόμεθα καὶ διπλοτέραν ὑποίσομεν τὴν τίσιν, ὡς ὑποψίαν δώσαντες διὰ τῆς ἀρνήσεως, πλάνης διδαχὴν εἶναι τὴν ποτὲ ὑφ' ἡμῶν δοξαζομένην ἀλήθειαν. διὸ μήτε πρόχειροι ὦμεν καὶ ῥιψοκίνδυνοι· λέγει γὰρ ὁ κύριος Προσεύχεσθε μὴ ἐμπεσεῖν εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σάρξ ἀσθενής· μήτε μήν, ἐμπεσόντες δειλίᾳ, καταισχύνωμεν τὴν ὁμολογίαν. εἰ γὰρ ἀρνησάμενός τις τὴν ἑαυτοῦ ἐλπίδα, ὅς ἐστιν Ἰησοῦς ὁ τοῦ θεοῦ υἱός, ἀπολυθῇ τοῦ προσκαίρου θανάτου, αὔριον δὲ ἐπὶ κλίνης νόσῳ περιπέσῃ ὀξυτάτῃ κοιλίας ἢ στομάχου ἢ κεφαλῆς ἤ τινι

3 Matth 6, 13 | 11 Ioh 12, 43 | 13 Tim α 6, 12 | 22 Matth 26, 41

1 κτήμασιν x | 1 πάντα τὸν βίον w | 4 ὁμολογήσωμεν yz | 6 ἐπ' yz | 6 σπεύδοντες wxt, καλούμενοι yz | 7 μηδὲ prius wx, μὴ yzt | 8 δόξαν καὶ > y | 10 τω indefinite L | 14 νεοφοτίστους y | 15 καθυφῶμέν τι yzt, > w, καθύμῶν μέντι x | 15. 16 τῆς ὁμολογίας xyzt, διὰ φόβον w | 19 ἀπολείας wz | 19 διπλασίονα yz | 19 ὑποίσομεν τὴν τίσιν wxt [ὑποίσωμεν w, ὑποίσυμεν t], τὴν δίκην ὑποίσωμεν yz | 20 δώσαντες w, δώσοντες x, δόντες yz [δώντες Z?], γρφ δόσοντες margo y, δόσαντες t | 21 ὑμῶν y | 22. 23 προσεύχεσθαι z | 23 ἐμπεσεῖν wxt, εἰσελθεῖν yz | 24 μηδὲ t | 24 διλία W | 27 δ' t | 28 περιπέσει x | 28 p 130, 1 πάθη τινὶ w

πάθει τῶν ἀνιάτων, σήψεως ἢ γαγγραίνης ἢ ἀποστάσεως ἢ ἰλεοῦ ἢ ὑδέρου ἢ κόλου, ταχεῖαν ποιήσηται τὴν καταστροφὴν καὶ τοῦ ζῆν ὑπεξέλθοι, οὐχὶ καὶ τῶν ἐνταῦθα ἐστερήθη καὶ τῶν αἰωνίων ἐκπέπτωκε, * μᾶλλον δὲ τῆς ἀιδίου κολάσεως ἐντὸς κατέστη, πορευθεὶς εἰς τὸ σκότος τὸ ἐξώτερον, οὗ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων; ὁ δὲ ἀξιωθεὶς μαρτυρίου χαιρέτω τὴν ἐν κυρίῳ χαράν, ὡς τηλικούτου ἐπιτυχὼν στεφάνου καὶ δι' ὁμολογίας ποιούμενος τὴν ἔξοδον τοῦ βίου. καὶ ἐὰν κατηχούμενος ᾖ, ἄλυπος ἀπίτω· τὸ γὰρ πάθος τὸ ὑπὲρ χριστοῦ ἔσται αὐτῷ γνησιώτερον βάπτισμα· ὅτι αὐτὸς μὲν πείρᾳ συναποθνήσκει τῷ κυρίῳ, οἱ δὲ λοιποὶ τύπῳ. χαιρέτω οὖν μιμούμενος τὸν διδάσκαλον, ἐπειδὴ καὶ προστέτακται Κατηρτισμένος δὲ πᾶς ἔστω ὡς ὁ διδάσκαλος αὐτοῦ· ὁ δὲ διδάσκαλος * ἡμῶν Ἰησοῦς ὁ κύριος δι' ἡμᾶς ἐπλήγη, βλασφημίας ὑπέμεινε καὶ ὀνειδισμοὺς μακροθύμως, ἐνεπτύσθη, ἐκολαφίσθη, ἐρραπίσθη, σταυρῷ μετὰ τὸ μαστιχθῆναι προσηλώθη, ὄξος καὶ χολὴν ἐποτίσθη, * τελειώσας πάντα τὰ γεγραμμένα εἶπεν τῷ θεῷ καὶ πατρὶ Εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου. διὸ καὶ ὁ εὐχόμενος ἐκείνου μαθητὴς εἶναι ζηλούτω τοὺς αὐτοῦ ἀγῶνας, μιμείσθω τὴν ὑπομονήν, γινώσκων ὅτι κἂν ἐν πυρὶ ὑπὸ ἀνθρώπων καῇ, οὐθὲν πείσεται, ὡς οἱ τρεῖς παῖδες, ἢ εἰ καὶ πάθοι τι, μισθὸν παρὰ θεοῦ λήψεται, πιστεύων τῷ ἑνὶ καὶ μόνῳ ἀληθινῷ θεῷ καὶ πατρὶ διὰ Ἰησοῦ χριστοῦ τοῦ μεγάλου ἀρχιερέως καὶ λυτρωτοῦ τῶν ψυχῶν καὶ μισθαποδότου τῶν ἄθλων, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. | αὐτὸς γὰρ ἡμᾶς ἐγερεῖ ὁ παντοκράτωρ 7
θεὸς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ κατὰ τὴν ἐπαγγε-

5 Matth 22, 13 | 13 Luc 6, 40 | 19 Luc 23, 46

2 εἰλεοῦ x | 2 ποιήσεται yz, ποιήσῃ τε L | 3 ζεὶν x | 4 ἐκπέπτωκεν x | 4 καὶ + w, δὲ + z | 4 ἀιδίου wxt, αἰωνίου yz | 5 πορευθῆς w | 6 κλαθμὸς y | 7 χαρέτω z | 8 ὁμολογίαν x | 9 καὶ ἐὰν wx, κἂν yzt | 10 ἀπείτω x | 13. 14 δὲ πᾶς ἔστω wx, ἔστω πᾶς yzt | 14 αὐτοῦ ... διδάσκαλος > z | 14 αὐτοῦ καὶ + t | 15 ἐπλήγη βλασφημίας > x | 15 ὑπέμεινεν x | 18 καὶ + yz | 18 εἶπε wt | 19 παρατίθημι yzt | 21 ὑπακοήν w | 22 ὑπ' yz | 22 οὐδὲν w | 22 πήσεται W | 23 ἢ > w | 23 εἰ δὲ πάθοι w, εἰ καὶ πάθοι x, καὶ ἐὰν πάθῃ yz, εἰ καὶ πάθῃ t | 23 θεοῦ wx, κυρίου yzt | 26. 27 τὸν αἰῶνα w | 28 χριστοῦ > yz | 28 p 131, 1 ἐπαγγελεῖαν w

λίαν αὐτοῦ τὴν ἀψευδῆ, καὶ ἀναστήσει ἡμᾶς σὺν πᾶσι τοῖς ἀπ' αἰῶνος κοιμηθεῖσιν τοιούτους, ὁποῖοι ὑπάρχομεν ἐν τῇ νῦν μορφῇ, μηδὲν ἐλλιπὲς ἔχοντας ἢ τὴν φθοράν, ἐπείπερ ἄφθαρτοι ἀναστησόμεθα. κἄν τε γὰρ ἐν πελάγει τελευτήσωμεν κἂν ἐν γῇ διασπαρῶμεν κἂν ὑπὸ θηρίων ἢ ὀρνέων διασπασθῶμεν, ἀναστήσει ἡμᾶς τῇ αὐτοῦ δυνάμει· ὅτι ὁ πᾶς κόσμος τῇ τοῦ θεοῦ συνέχεται χειρί. θρὶξ δέ, φησίν, ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. διὸ παραινεῖ λέγων Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. περὶ δὲ τῆς τῶν νεκρῶν ἀναστάσεως καὶ τῆς τῶν μαρτύρων μισθαποδοσίας λέγει Γαβριὴλ τῷ Δανιὴλ Καὶ πολλοὶ τῶν κεκοιμημένων ἐκ γῆς χώματος ἀναστήσονται, οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον· καὶ οἱ συνίοντες ἐκλάμψουσιν ὡς ὁ ἥλιος καὶ ὡς ἡ λαμπρότης τοῦ στερεώματος καὶ ὡς οἱ ἀστέρες. ὡς φωστῆρας τοίνυν ἐκλάμψειν τοὺς ἁγίους προεῖπεν ὁ ἅγιος Γαβριήλ· αὐτὸς γὰρ τὸ συνιέναι τὴν ἀλήθειαν ὁμολογῆσαι ἐμαρτύρησεν καὶ τὸ ἱερὸν αὐτοῦ ὄνομα. * οὐ μόνον δὲ τοῖς μάρτυσιν ἐπήγγελται * τὴν ἀνάστασιν, ἀλλὰ καὶ πᾶσιν * ἀνθρώποις, δικαίοις τε καὶ ἀδίκοις, εὐσεβέσι * καὶ δυσσεβέσιν, ἵν' ἕκαστος τὰ πρὸς ἀξίαν τίσῃ. ἄξει γάρ, φησίν, ὁ θεὸς σύμπαν τὸ ποίημα εἰς κρίσιν ἐν παντὶ παρεωραμένῳ, ἐὰν * ἀγαθὸν καὶ ἐὰν πονηρόν. ταύτην δὲ τὴν ἀνάστασιν μὴ πιστεύοντες * Ἰουδαῖοι τὸ παλαιὸν ἔλεγον Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, διαπεφωνήκαμεν· οἷς ὁ θεὸς ἀποκριθεὶς ἔφη Ἰδοὺ ἐγὼ

7 Luc 21, 18 | 9 Luc 21, 19 | 11 Dan 12, 2. 3 | 21 Eccl 12, 14 | 24 Ezech 37, 11. 12. 14

1 συμπᾶσι ita iunctum wz, συμπᾶσιν x | 2 κοιμηθεῖσι yzt | 3 μηθὲν yzt | 3 ἔλλειπες xt [πὲς t] | 3 ἔχοντες w | 3 ἢ τὴν φθοράν wxt, ἀπὸ τῆς φθορᾶς yz | 4. 5 τετελευτήσωμεν z | 6 ἑαυτοῦ yzt | 7 θρὶξ δὲ wxt, καὶ θρὶξ yz | 8 φησίν > yz | 8 ἀπώληται w | 9 ὑμῶν alterum xyzt, ἡμῶν w | 10 δὲ wxt, γὰρ yz | 14 συνιέντες yzt | 14. 15 ἡ λαμπρότης τοῦ στερεώματος wx, τὸ στερέωμα yzt | 15 ὡς prius > xt | 16 πανάγιος yzt | 17 αὐτὸς ... 18 ὄνομα > w | 17 αὐτοῖς yzt | 17 ὁμολογῆσαι > yzt | 17. 18 ἐμαρτύρησε yzt | 18 καὶ + w | 18 δὲ > w | 19 τὸ ἱερὸν αὐτοῦ ὄνομα + w | 19 πᾶσι w | 19 τοῖς + w | 20 εὐσεβέσιν x | 20 τε + w | 20 ἵνα wt | 21 τὰ wxt, τὸ yz | 21 τίσῃ wxt, λάβῃ yz | 21 ἕξει Y?z | 22 τε + yz | 22. 23 καὶ ἐὰν xt, ἐάν τε yz, ἐὰν w | 23 ταύτῃ τῇ ἀναστάσει yz | 23 δὲ > wyz | 24 οἱ + w | 24 γέγονεν x | 25 διαπεφονήκαμεν yz

ἀνοίγω τοὺς τάφους ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐξ αὐτῶν καὶ δώσω τὸ πνεῦμά μου ἐν ὑμῖν, καὶ ζήσεσθε, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ἐλάλησα * καὶ ποιήσω. καὶ διὰ Ἠσαΐου φησὶν Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ * ἐν τῇ γῇ· ὅτι ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν. πολλὰ μὲν οὖν * περὶ τῆς ἀναστάσεως καὶ ἕτερα εἴρηται καὶ περὶ τῆς τῶν δικαίων ἐν δόξῃ διαμονῆς καὶ περὶ τῆς τῶν ἀσεβῶν τιμωρίας, πτώσεως, ἀποστροφῆς, καταδίκης, ἀδοξίας, πυρὸς αἰωνίου καὶ σκώληκος ἀτελευτήτου. καὶ ὅτι, εἰ ἐβούλετο πάντας ἀνθρώπους εἶναι ἀθανάτους, ἠδύνατο, ἔδειξε, τὸν Ἐνὼχ καὶ τὸν Ἡλίαν μὴ ἐάσας * θανάτου πεῖραν λαβεῖν. εἰ δὲ καὶ κατὰ γενεὰν τοὺς τελευτῶντας ἀνιστᾶν ἤθελεν, καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων ἔπεισεν *, τὸν μὲν υἱὸν τῆς χήρας διὰ Ἡλίου ἀναστήσας καὶ τὸν τῆς Σωμανίτιδος διὰ Ἐλισσαίου. πειθόμεθα δὲ μὴ μισθὸν τιμωρίας εἶναι τὸν θάνατον, ἐξ ὧν αὐτὸν καὶ * ἅγιοι ὑπέστησαν ἢ καὶ αὐτὸς ὁ τῶν ἁγίων κύριος Ἰησοῦς ὁ χριστός, ἡ ζωὴ τῶν πιστῶν καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. διὰ τοῦτο οὖν τέως ὡς * ἐν μεγαλοπόλει πολιτευομένοις μετὰ τοὺς ἄθλους ἐπάγει πρὸς ὀλίγον τὴν διάλυσιν, ἵνα ἀναστήσας ἕκαστον ἢ ἀποκηρύξῃ ἢ στεφανώσῃ. ὁ γὰρ τοῦ Ἀδὰμ τὸ σῶμα ἐκ γῆς * κατασκευάσας αὐτὸς καὶ τῶν λοιπῶν καὶ τοῦ πρώτου μετὰ διάλυσιν τὸ σῶμα ἀναστήσει. * ἀκούσονται γάρ, φησί, πάντες οἱ ἐν τοῖς μνη-

4 Isaj 26, 19 | 18 Ioh 11, 25 | 24 Ioh 5, 25

3 λελάληκα yzt | 3 ὑμῖν + y sed a correctore | 5 ἡσυχάζοντες + yzt | 6 σοὶ w | 6 ἐστι yzt | 6 καὶ ἕτερα + yzt | 7 καὶ ἕτερα > yzt | 11 ἐδύνατο xy | 11 ἔδειξεν x | 11 καὶ > w | 12 αὐτοὺς + w | 13 τελευτόντας w | 13 ἤθελε yzt | 14 ἔπεισε yz, ἔδειξε w, τοῦτο δῆλον ἐποίησε t | 14 τοῦτο + w | 15 ἡλιοῦ wxyz [ἡ yz], Ηλίοῦ t | 15 σουμανίτιδος yz | 16 πειθώμεθα yz | 16 δὲ wxt, τοίνυν yz | 17 οἱ + w | 19 οὖν > yz | 19 ἂν + yzt | 21 ἢ prius > t | 21 ἀποκηρύξει w | 21. 22 στεφανώσει w | 22 καὶ τῶν λοιπῶν + xyz | 22 κατασκευάσας wxyz, ποιήσας t | 22. 23 αὐτὸς > t | 23 τὸ σῶμα > w | 24 διὰ [πρὸς t] τὸ χρεωστεῖσθαι [χρεοστεῖσθαι z] τοῦτο τῇ λογικῇ τῶν ἀνθρώπων φύσει, λέγομεν δὲ [δὴ t] τὸ διαιωνίζειν. ὁ τοίνυν τὴν διάλυσιν ἐπάγων αὐτὸς καὶ τὴν ἀνάστασιν ποιεῖται. [καὶ + t] ὁ εἰπὼν γὰρ [γὰρ > t: Gen 2, 7] ὅτι Ελαβε κύριος χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασε τὸν ἄνθρωπον καὶ ἐνεφύσησεν [ἀνεφύσησεν z] εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ

μείοις τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. πρὸς δὲ τούτοις πιστεύομεν γίνεσθαι τὴν ἀνάστασιν καὶ ἐκ τῆς τοῦ κυρίου ἀναστάσεως· αὐτὸς γὰρ εἶπεν ὁ καὶ * Λάζαρον ἀναστήσας τεταρταῖον καὶ τὴν θυγατέρα Ἰαείρου καὶ τὸν υἱὸν τῆς χήρας, καὶ ἑαυτὸν προστάγματι τοῦ πατρὸς διὰ τριῶν ἡμερῶν ἀνεγείρας, ὁ ἀρραβὼν τῆς ἀναστάσεως ἡμῶν, * ὁ τὸν Ἰωνᾶν * διὰ τριῶν ἡμερῶν ζῶντα καὶ ἀπαθῆ ἐξαγαγὼν ἐκ τῆς κοιλίας τοῦ κήτους, καὶ τοὺς τρεῖς παῖδας ἐκ καμίνου βαβυλωνίας, καὶ τὸν Δανιὴλ ἐκ στόματος λεόντων, οὐκ ἀπορήσει δυνάμεως καὶ ἡμᾶς ἀνεγεῖραι. εἰ δὲ χλευάζουσιν Ἕλληνες ἀπιστοῦντες ταῖς ἡμετέραις γραφαῖς, πιστωσάτω αὐτοὺς κἂν ἡ αὐτῶν προφῆτις Σίβυλλα, οὕτω πως αὐτοῖς λέγουσα κατὰ λέξιν·

ἀλλ' ὁπότ' * ἤδη πάντα τέφρα σποδόεσσα γένηται,
καὶ πῦρ κοιμίσσῃ θεὸς ἄφθιτος, ὅσπερ ἀνῆψεν,
ὀστέα καὶ σποδιὴν αὐτὸς θεὸς ἔμπαλιν ἀνδρῶν
μορφώσει, στήσει δὲ βροτοὺς πάλιν, ὡς πάρος ἦσαν·
καὶ τότε δὴ κρίσις ἔσται, ἐφ' ᾗ δικάσει θεὸς αὐτός,
κρίνων ἔμπαλι κόσμον. ὅσοι δ' ὑπὸ δυσσεβίῃσιν
ἥμαρτον θνητοί, τοὺσδ' αὖ πάλι γαῖα καλύψει·
ὅσσοι δ' εὐσεβέουσι, πάλιν ζήσοντ' ἐνὶ κόσμῳ,
πνεῦμα θεοῦ δόντος ζωήν θ' ἅμα καὶ χάριν αὐτοῖς

ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, καὶ ὁ [ὁ καὶ t] μετὰ τὴν ἀνηκουστίαν ἐπειπὼν [Gen 3, 19] Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, αὐτὸς καὶ εἰς τὰ μετὰ ταῦτα ἐπηγγείλατο ἡμῖν τὴν ἀνάστασιν + yzt, sed lunulis inclusit y: in margine yz: [σημ praemittit y] ταῦτα ἐν τοῖς ἄλλοις οὐχ εὗρον | p 132,24 φη̅ w, φησιν x | p 132, 24 et p 133, 1 μνημίοις w | 2. 3 τὴν ἀνάστασιν γίνεσθαι t | 3 εἶπε w, ἐστιν yzt | 4 τὸν + super versum y | 5 ἰαΐρου Wx | 6 ἀναγείρας z | 7 ἐγὼ γάρ, φησίν, εἰμὶ ἡ ἀνάστασις καὶ ἡ ζωὴ + ex Iohanne 11, 25 yzt | 7 οὖν + y | 8 ἀπαθῆι w | 9 ἐκαμίνου ita contractum y | 10. 11 ἀναγεῖραι z | 12 κἂν > Yz | 12 προφήτης w | 13 καταλλέξιν ita iunctum w | 14 ὅτ' w | 14 ἂν + x | 14 σποδὸς ἐσσὰ w | 15 κοιμίσει xyz, κοιμίσῃ t | 15 ὅπερ wy, ὥσπερ x | 16 σποδὴν w | 16 fin ἀνδ' ἄρα t | 17 μορφώσῃ t | 17 στήσῃ t | 17 βρωτοὺς w | 17 ὡς πάρος xyzt, ὥσπερ w | 18 ἰδικάσει w | 19 ἔμπαλιν w [sed ut videtur a correctore] xyz | 19 κόσμον ὅσοι δ'] ὃς μόνος οἶδ' x | 19 δυσσεβιῆς x | 20 πάλιν wxyz | 20 γε ἀποκαλύψει x | 21 ὅσοι wxy | 21 εὐσεβέσι w, εὐσεβέουσιν x | 21 ζήσονται x | 21 ἐν yz, ἐνὶ wx | 22 διδόντος w | 22 θ' xyt, τ' Yz, > w | 22 αὖ τοῖς x

εὐσεβέσιν· * πάντες δὲ τότ' εἰσόψονται ἑαυτούς. εἰ τοίνυν καὶ αὕτη τὴν ἀνάστασιν ὁμολογεῖ καὶ τὴν παλιγγενεσίαν οὐκ ἀρνεῖται, διακρίνει δὲ τοὺς εὐσεβεῖς ἐκ τῶν ἀσεβῶν, μάτην ἄρα τοῖς ἡμετέροις ἀπιστοῦσι *. καίτοι φασὶ καὶ εἰκῇ δείκνυσι τὴν ἀνάστασιν, μὴ πιστεύοντες οἷς αὐτοὶ διηγοῦνται. φασὶ γὰρ * ὄρνεόν τι μονογενὲς ὑπάρχειν, πλουσίαν τῆς ἀναστάσεως παρέχον τὴν ἀπόδειξιν, ὃ λέγουσιν ἄζυγον ὑπάρχειν καὶ μόνον ἐν δημιουργίᾳ (φοίνικα δὲ αὐτὸ προσαγορεύουσιν), ὃ καὶ ἱστοροῦσι κατὰ πεντακόσια ἔτη || ἔρχεσθαι εἰς Αἴγυπτον ἐπὶ τὸν λεγόμενον ἡλίου βωμόν, φέροντα πλῆθος κινναμώμου κασσίας τε καὶ ξυλοβαλσάμου, καὶ στὰν κατὰ ἀνατολάς, ὡς αὐτοί φασι, τῷ ἡλίῳ * προσευξάμενον αὐτομάτως φλεχθῆναι καὶ γενέσθαι κόνιν, ἐκ δὲ τῆς σποδοῦ σκώληκα ἀναφυῆναι, καὶ τοῦτον θερμανθέντα μορφωθῆναι εἰς ἀρτιγενῆ φοίνικα καὶ πτηνὸν γενόμενον ἐπ' Ἀραβίαν στέλλεσθαι, ἥπερ ἐστὶ περαιτέρω τοῦ αἰγυπτιακοῦ νομοῦ. εἰ τοίνυν, ὡς καὶ αὐτοί φασι, διὰ τοῦ ἀλόγου ὀρνέου δείκνυται ἡ ἀνάστασις, τί μάτην τὰ ἡμέτερα διαβάλλουσιν, ὅταν ὁμολογῶμεν ὅτι ὁ δυνάμει τὸ μὴ ὂν εἰς τὸ εἶναι παραγαγών, οὗτος ἰσχύει τοῦτο καὶ μετὰ τὴν διάλυσιν εἰς ἀνέγερσιν παραστῆσαι; διὰ γὰρ ταύτην τὴν πληροφορίαν καὶ μάστιγας καὶ διωγμοὺς καὶ θανάτους ὑπομένομεν· ἐπεὶ μάτην τὰ τοιαῦτα κατεδεξάμεθα *, μὴ τούτων ἔχοντες τὴν πληροφορίαν, ὧν κήρυκες ἐπαγγελλόμεθα εἶναι.

19 Rom 4, 17? | 23 Cor α 15, 14?

1 εὐσεβέσι y, εὐσεβεύσει z, οἱ εὐσεβεῖς w | 1 δὲ + w | 1 δὲ > w, τὲ PCz | 1 τότ' > w, τότε x | 1 ὄψονται w, εἰς ὄψονται virgulâ mediâ x | 2 αὐτὴ yzt | 3 ἐκ wxt, ἀπὸ yz | 4 ἀπιστοῦσιν x | 4 λόγοις + yz | 4 καίτοι φασὶ > w | 4 φασὶν x | 5 εἰκῇ δείκνυσι wx [δείκνυσιν x], ἰδικὴν ἄλλοθεν ἔχειν αὐτοὶ δεικνύειν yz, εἰδικὴν δεικνύειν t | 5. 6 οἷς .. διηγοῦνται > w | 6 φασὶν x | 6 οἱ στωϊκοὶ περὶ τοῦ φοίνικος margo y | 6 αὐτοὶ + w | 6 ὑπάρχων X?w, ὑπάρχον x | 7 παρέχων w, παρέχοντα x | 8 αὐτὸν w, τοῦτο yzt | 9 ὃ wxyz, οἳ t | 9 ἱστοροῦσιν x | 9 ἔτι w | 10 λεγόμενον > x | 10. 11 φέρον τι yz | 11 κινναμώμου ... καὶ > w | 11 ξύλον βαλσάμου w | 12 κατὰ wx, πρὸς yzt | 12 φασιν xy | 12 καὶ + yz | 13 κόνην w | 14 σποδιᾶς yzt | 14 ἀναφύναι yz [ῦ z] | 15 ἀρτιγενῆι w | 15 φοίνηκα y | 16 ἀραβείαν w | 16 στείλασθαι yzt | 16 ἐστιν x | 16 περετέρω w | 17 νομοῦ] ἐν ἄλλῳ βωμοῦ margo t | 17 φασιν x | 19 ὧν w | 20 παράγων x | 23 τὰ τοιαῦτα > w, ταῦτα x | 23 ταύτην + w | 24 ἐπαγγελλόμενοι x

ὥσπερ οὖν ἐπείσθημεν Μωσῇ εἰπόντι ὅτι Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ γινώσκομεν ὅτι οὐχ ὕλης ἦν ἐνδεής, ἀλλὰ βουλήσει μόνῃ, ἃ ἠθέλησε χριστός, ταῦτα καὶ παρήγαγεν, λέγομεν δὴ οὐρανόν, γῆν, θάλασσαν, * φωστῆρας, ἄστρα, πετεινά, νηκτά *, τετράποδα, ἑρπετά, φυτά, βοτάνας, τὸν αὐτὸν τρόπον καὶ πάντας ἀναστήσει θελήματι, συνεργείας μὴ δεόμενος. τῆς γὰρ αὐτῆς δυνάμεώς ἐστιν ἔργον * τὸ δημιουργῆσαι κόσμον καὶ τὸ νεκροὺς ἀναστῆσαι. καὶ τότε μὲν μὴ ὄντα τὸν ἄνθρωπον ἐκ διαφόρων ἐποίησε *, δοὺς αὐτῷ τὴν ψυχὴν ἐκ τοῦ μὴ ὄντος, νῦν δὲ ταῖς οὔσαις ψυχαῖς τὰ διαλυθέντα σώματα ἀποτίσει. κειμένων γάρ ἐστιν ἡ ἀνάστασις, οὐχὶ δὲ μὴ ὑπαρχόντων. ὁ οὖν τὰ πρῶτα σώματα ἐκ μὴ ὄντων ποιήσας καὶ ἐξ αὐτῶν διάφορα δημιουργήσας *, αὐτὸς καὶ τοὺς θανόντας ζωοποιήσας ἀναστήσει. ὁ γὰρ ἐν τῇ κοιλίᾳ τὸν ἄνθρωπον ἐκ μικροῦ σπέρματος μορφῶν καὶ ψυχὴν αὐτῷ οὐκ οὖσαν ἐνδημιουργῶν, καθὼς αὐτός που φησὶ τῷ Ἱερεμίᾳ Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ ἀλλαχοῦ Ἐγὼ κύριος στερεῶν οὐρανὸν καὶ θεμελιῶν γῆν καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, αὐτὸς καὶ πάντας ἀνθρώπους ἀναστήσει αὐτοῦ ὄντας ποιήματα· καθὼς καὶ ἡ θεία γραφὴ μαρτυρεῖ λέγοντα τὸν θεὸν τῷ μονογενεῖ χριστῷ Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν· καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. καὶ ὁ θειότατος καὶ καρτερικὸς Ἰώβ, περὶ οὗ φησιν ἡ γραφὴ ὅτι Γέ-

1 Genes 1, 1 | 17 Hierem 1, 5 | 18 Zach 12, 1 | 22 Genes 1, 26. 27 | 26 Iob fin

3 margo y: γρφ ἐκ τοῦ μ. ὄντος πάντα ... γαγεν | 3 ἠθέλησεν x, προσετάγη yzt | 4 παρήγαγε yzt | 4 δὴ xyzt, δεὶ w | 4 θάλασσαν > w | 5 φῶς νύκτα ἡμέραν + yzt | 5 θάλασσαν + w | 7 συνεργίας yz | 8 καὶ + yz | 8 τὸν νεκροὺς z | 10 ἐποίησεν xyzt | 10 ἄνθρωπον + yzt | 11 διαλελυμένα w | 11 ἀποτήσει w | 13 οὖν xyzt, γὰρ w | 14 εἴδη + yz | 14 οὗτος yzt | 17 καθὼς wxyz, καὶ ὡς t | 17 φησὶν x | 17 ἰηρεμία x | 21 ἀναστήσῃ X | 21 ὄντα W?yz | 21 γραφῆι w | 22 λέγοντα wxt, εἰσάγουσα yz | 22 τῶι θεῶι τὸν μονογενῆ χριστόν w: 22 ad χριστῷ adscripsit margo y γρφ υἱῷ | 25 αὐτὸν ... ἐποίησεν > z | 25. 26 θειώτατος y | 26 καὶ καρτερικὸς > Yz

γραπται * αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ἀνίστησιν ὁ κύριος, οὗτός φησι πρὸς τὸν θεὸν * Ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἐτύρωσας δέ με ἴσα τυρῷ; δέρμα καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας, ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοί, ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέ μου τὸ πνεῦμα· ταῦτα ἔχων ἐν ἐμαυτῷ, οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. * λέγει δὲ καὶ ὁ θεοφιλὴς Δαβὶδ τῷ θεῷ Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. καὶ πάλιν Σὺ ἔγνως τὸ πλάσμα ἡμῶν. καὶ ἑξῆς Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν· καὶ αὖθις Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται. ἀλλὰ καὶ ὁ Ἡσαΐας λέγει προσευχόμενος αὐτῷ * Ἡμεῖς ὁ πηλὸς καὶ σὺ ὁ πλάστης ἡμῶν. εἰ τοίνυν αὐτοῦ δημιούργημα ὁ ἄνθρωπος διὰ * χριστοῦ γενόμενος, πάντως ὅτι καὶ θανὼν δι' αὐτοῦ ἀναστήσεται ἐπὶ τῷ ἢ στεφανωθῆναι ἐπὶ τοῖς κατορθώμασιν ἢ κολασθῆναι ἐπὶ τοῖς πλημμελήμασιν. εἰ δὲ δικαιοσύνῃ κρίνει ὡς νομοθέτης, ὥσπερ κολάζει τοὺς ἀσεβεῖς, οὕτως εὐεργετῶν σώζει τοὺς πιστοὺς καὶ τοὺς δι' αὐτὸν σφαγέντας ὑπ' ἀνθρώπων ἁγίους, τοὺς μὲν ὡς ἄστρα φαιδρύνων, τοὺς δὲ ὡς φωστῆρας λαμπρύνων, καθὼς * ὁ Γαβριὴλ τῷ Δανιὴλ ἔλεγεν. μαθηταὶ οὖν || χριστοῦ πάντες ὑπάρχοντες οἱ πιστοί, op
πιστεύωμεν αὐτοῦ ταῖς ἐπαγγελίαις· ἀψευδὴς γὰρ ὁ ἐπαγ-

2 Iob 10, 10—13 | 8 Psalm 119, 73 | 9 Psalm 103, 14 | 9 Psalm 139, 5. 6 | 12 Psalm 139, 16 | 14 Isaj 64, 7 | 21 Dan 12, 3

1 δὲ + x | 1 αὐτὸν ante μεθ' w | 1 πάλιν > yzt | 1. 2 ὁ κύριος ἀνίστησιν yzt | 2 φησὶν x, τοίνυν ταῦτα διαλεγόμενος yz | 2 ἔξεισιν + y, ἔξεσιν + z | 3 ἤλμεξας w | 3 ἐτύρωσας wx, ἔπηξας yzt | 5 ἔλεον yt, ἔλαιον z | 5 ἐφύλαξέν x | 6 ἑαυτῷ w | 7 [διὸ φησὶν praemittit t] καὶ ὁ ἡμέτερος δὲ [δὲ > t] σωτὴρ καὶ διδάσκαλος Ἰησοῦς ὁ [ὁ > z?] χριστὸς ἐν εὐαγγελίοις που ἔφη [ἐν .... ἔφη > t] ὅτι Τὰ παρὰ ἀνθρώποις ἀδύνατα δυνατὰ [τὸ .. ἀδύνατον δυνατὸν t] παρὰ τῷ θεῷ + yzt ex Luc 18, 27, sed lunulis inclusit y; in margine yz: οὐδὲ ταῦτα ἐν τοῖς ἄλλοις εὗρον | 7. 8 τῷ θεῷ > t | 9 σὺ ἔγνως wxt, ὅτι αὐτὸς ἔγνω yz | 9 ἑξῆς wxt, πάλιν yz | 10 ἐθαυστώθη W | 11 ἐκρατεώθη x | 11 δύνομαι w | 11. 12 καὶ αὖθις > yzt | 12 οἶδον z | 14 ὅτι + yzt | 15 ἰησοῦ + yz | 17 στεφθῆναι t | 20. 21 ὑπ' ἀνθρώπων σφαγέντας yzt | 22 καὶ + yz | 23 ἔλεγε yzt | 24 πιστεύομεν wzt

*γειλάμενος. λέγει δὲ καὶ ὁ μακάριος προφήτης Δαβὶδ ὅτι Πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ *. ὁ γὰρ ἐκ παρθένου ἑαυτῷ κατασκευάσας σῶμα, οὗτος καὶ τῶν ἄλλων ἀνθρώπων δημιουργός ἐστιν, καὶ ὁ ἑαυτὸν ἀναστήσας ἐκ τῶν νεκρῶν, αὐτὸς καὶ πάντας τοὺς κειμένους ἀναστήσει. ὁ τὸν πυρὸν ἐξ ἑνὸς κόκκου πολύχουν ἐκ γῆς ἀνιστῶν, ὁ τὸ ἐκκοπὲν δένδρον εἰς ὀρόδαμνον ἀναθάλλων, ὁ τὴν Ἀαρὼν ῥᾶβδον ξηρὰν οὖσαν ἐκφυσήσας εἰς βλαστόν, αὐτὸς καὶ ἡμᾶς ἐγερεῖ ἐν δόξῃ. ὁ τὸν παραλυτικὸν σῶον ἀνεγείρας καὶ τὸν ἐξηραμένην ἔχοντα τὴν χεῖρα ἰασάμενος καὶ τὸ λεῖπον μέρος ἐν τῷ ἐκ γενετῆς πηρῷ ἐκ γῆς καὶ σιέλου ἀποδούς, ὁ αὐτὸς καὶ ἡμᾶς ἀνεγερεῖ. ὁ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων πεντακισχιλίους κορέσας καὶ περισσεύσας δώδεκα κοφίνους, καὶ ἐξ ὕδατος οἶνον μεταποιήσας, καὶ ἐκ στόματος ἰχθύος στατῆρα δι' ἐμοῦ Πέτρου τοῖς ἀπαιτοῦσι κῆνσον ἀποστείλας, ὁ αὐτὸς καὶ τοὺς νεκροὺς ἀνεγερεῖ. ταῦτα γὰρ ἅπαντα ἡμεῖς περὶ αὐτοῦ μαρτυροῦμεν, τὰ δ' ἄλλα οἱ προφῆται. ἡμεῖς * οἱ συμφαγόντες αὐτῷ καὶ συμπιόντες, καὶ θεαταὶ γενόμενοι τῶν αὐτοῦ τεραστίων καὶ τῆς ζωῆς καὶ τῆς πολιτείας καὶ τῶν λόγων καὶ τῶν παθημάτων καὶ τοῦ θανάτου καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως, καὶ συναναστραφέντες αὐτῷ ἡμέρας τεσσαράκοντα μετὰ τὴν ἔγερσιν αὐτοῦ, καὶ λαβόντες ἐντολὴν παρ' αὐτοῦ κηρύξαι τὸ εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη καὶ βαπτίσαι εἰς τὸν αὐτοῦ θάνατον ἐπὶ αὐθεντίᾳ τοῦ θεοῦ τῶν ὅλων, ὅς ἐστιν αὐτοῦ πατήρ, καὶ μαρτυρίᾳ πνεύματος, ὅς ἐστι παράκλητος, διδάσκομεν ὑμᾶς ἅπαντα*

2 Psalm 145, 17 | 23 Marc 16, 15 | 24 Matth 28, 19

1 *λέγει ... ὅτι* wxt [vide mox], *ὥς που καὶ ὁ Δαβὶδ λέγει* yz | 1 *καὶ* > t | 1 *μακάριος* > w | 1 *Δαβὶδ* > x | 2 *καὶ ὅσιος ἐν πᾶσι* [*πάση* z] *τοῖς ἔργοις αὐτοῦ* + yzt | 3 *οὕτως* z | 4 *ἐστι* yzt | 6 *ἀνστῶν* y | 7 *ὀρόδαμνον* x, *ῥάβδον* w, *ῥάδαμνον* yzt | 8 *ξηράνασαν* t | 8 *ἐκφύσας* yzt | 8 *αὐτὸς* wxt, *οὗτος* yz | 9 *ἀναγείρας* z | 10 *ἐξηραμμένην* xt, *ξηραμμένην* y | 11 *ἐν* > yz | 12 *ἐγερεῖ* yz | 13 *περισεύσας* w | 15 *ἰχθείος* z | 15 *ἀπετοῦσι* z | 16 *ὁ αὐτὸς* wx, *οὗτος* yzt | 16 *τοὺς* > w | 16 *ἐγερεῖ* yz | 17 *γὰρ* > yz | 17 *δε* x | 18 *προφῆτε* z | 18 *οὖν* + w | 19 *γενάμενοι* x | 20 *πολτείας* y | 21 *καὶ* secundum .. *ἀναστάσεως* > w | 25 *αὐθεντεία* yz | 26 *μαρτυρίας* w | 27 *ἐστιν* x | 27 *ὑμεῖς* z | 27 *πάντα* yzt

ταῦτα, ἃ διαταξάμενος ἡμῖν ἀνελήφθη ἐπ' ὄψει ἡμῶν εἰς
τὸν οὐρανὸν πρὸς τὸν ἀποστείλαντα αὐτόν. καὶ ἐὰν μὲν
πιστεύσητε, μακάριοι γενήσεσθε, εἰ δὲ ἀπιστήσετε, ἀθῷοι
ἡμεῖς εὑρεθησόμεθα καὶ καθαροὶ τῆς ὑμετέρας δυσπιστίας.
| περὶ δὲ τῶν μαρτύρων λέγομεν ὑμῖν ὅπως * πάσῃ τιμῇ 8
ὦσι παρ' ὑμῖν, ὡς καὶ παρ' ἡμῖν τετίμηνται ὁ μακάριος
Ἰάκωβος ὁ ἐπίσκοπος καὶ ὁ ἅγιος συνδιάκονος ἡμῶν Στέ-
φανος. οὗτοι γάρ εἰσι καὶ ὑπὸ θεοῦ μεμακαρισμένοι καὶ
ὑπὸ ὁσίων ἀνδρῶν τετιμημένοι, καθαροὶ πάσης πλημμελείας,
ἄτρεπτοι πρὸς ἁμαρτίαν, ἀμετάπειστοι τῶν καλῶν, ἀνεν-
δοίαστοι πρὸς ἐγκώμια, περὶ ὧν * ὁ Δαβὶδ ἔλεγε Τίμιος
ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, καὶ ὁ Σολο-
μῶν Μνήμη δικαίων μετ' ἐγκωμίων, περὶ ὧν καὶ ὁ προ-
φήτης * ἔλεγεν Ἄνδρες δίκαιοι αἴρονται. | ταῦτα δὲ περὶ τῶν 9
κατὰ ἀλήθειαν ὑπὲρ τοῦ χριστοῦ μαρτυρησάντων εἴρηται,
ἀλλ' οὐ περὶ τῶν ψευδομαρτύρων, περὶ ὧν τὸ λόγιόν φη-
σιν Ὄνομα δὲ ἀσεβῶν σβέννυται· * μάρτυς γὰρ πιστὸς οὐ
ψεύδεται, ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος. ὁ γὰρ ἐν μαρ-
τυρίῳ ἐξελθὼν ἀψευδῶς ὑπὲρ τῆς ἀληθείας, οὗτος ἀληθι-
νὸς μάρτυς, ἀξιόπιστος ἐν οἷς συνηγωνίσατο τῷ λόγῳ τῆς
εὐσεβείας διὰ τοῦ οἰκείου αἵματος. | παραινοῦμεν δὲ ὑμῖν, 10
ἀδελφοὶ καὶ σύνδουλοι, φεύγειν τὰς ματαιολογίας * καὶ
τὰς εὐτραπελίας, μέθας, λαγνείας, θρύψεις καὶ τὰς ἀμέ-
τρους ὀργὰς σὺν ταῖς μωρολογίαις· ὅτι οὐδὲ ἐν ταῖς
κυριακαῖς ἡμέραις τῶν εὐφροσυνῶν ὑμῶν ἐπιτρέπομεν

1 Act 1, 9 | 11 Psalm 116, 15 | 13 Prov 10, 7 | 14 Isaj 57, 1 | 17 Prov 10, 7 | 17 Prov 14, 5

1 ταῦτα ante πάντα suum p 137, 27 t | 3 γενήσεσθαΐ w | 3 ἀπιστήσητε x, μὴ πιστεύσετε yz, μὴ πιστεύσητε t | 4 εὐερεθησόμεθα z, εὐεργετησόμεθα Z | 5 λέγωμεν w | 5 ἐν + t | 5 πᾶσι w | 6 ὦσιν x | 7 ἰάκοβος z | 7 ἅγιος > yz | 7 ἡμῶν συνδιάκονος t | 8 εἰσιν x | 9 πλημελείας y | 10 ἄτρεπτοι wxt, ἀνένδοτοι yz | 10 ἀμετάπιστοι wt | 10. 11 ἀνενδύαστοι wx | 11 καὶ + yzt | 11 ἔλεγεν x | 12 ὁ alterum > yz | 13 δικαίου yzt | 13 ἐγκωμίου yzt | 13 ὁ > yz | 14 ἄλλος + yz | 14 εἶπεν yz | 14 ἔρονται z | 14 δὲ > yz | 15 κατ' yz | 15 τοῦ > yzt | 16 τῶν > w | 16. 17 φησὶ w | 17 δὲ > yz | 17 καὶ πάλιν + yz | 17 γὰρ > yz | 19. 20 ἀληθηνὸς y | 20 συνηγονίσατο z | 22 καὶ τὰς αἰσχρολογίας + yzt | 23 εὐτραπελείας wzt | 24 ad ὀργὰς margo t: ἐν ἄλλῳ ὁρμὰς | 24 ὅτι wxt, ἀλλ' yz | 25 ἀφροσυνῶν z | 25 ὑμῶν > yzt |

ὑμῖν ἄσεμνόν τι ἢ φθέγγεσθαι ἢ πράττειν· λέγει γάρ
που καὶ ἡ γραφὴ Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλ-
λιᾶσθε αὐτῷ ἐν τρόμῳ. καὶ τὰς ἀγαλλιάσεις οὖν ὑμῶν με-
τὰ φόβου καὶ τρόμου γίνεσθαι χρή. ὁ γάρ τοι χριστιανὸς
καὶ πιστὸς οὐδὲ ᾠδὴν ἐθνικὴν ὀφείλει λέγειν οὔτε ᾆσμα
πορνικόν· ἐπεὶ συμβήσεται αὐτῷ διὰ τῆς ᾠδῆς εἰδώλων
μνημονεύειν ὀνόματα δαιμονικά, καὶ ἀντὶ τοῦ ἁγίου πνεύ-
11 ματος εἰσφρήσει ἑαυτῷ τὸ πονηρόν. | ἀπείρηται δὲ καὶ τὸ
ὀμνύειν ἐν αὐτοῖς καὶ τὸ διὰ στόματος αὐτῶν προφέρειν τὰ
βδελυκτὰ * ὀνόματα, ἢ προσκυνεῖν αὐτοῖς ἢ φοβεῖσθαι αὐ-
τοὺς ὡς θεούς· οὐ γάρ εἰσι θεοί, ἀλλ' ἢ πονηροὶ δαίμονες
ἢ μεμωκημένα ἔργα. λέγει γάρ που ὁ θεὸς περὶ τῶν Ἰ-
σραηλιτῶν Ἐγκατέλιπόν με καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι
θεοῖς· καὶ ἑξῆς Ἐξαρῶ τὰ ὀνόματα τῶν εἰδώλων ἐκ τοῦ
στόματος αὐτῶν· καὶ ἀλλαχοῦ Αὐτοὶ παρεξήλωσάν με ἐπ'
οὐ θεοῖς. παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν, καὶ ἐν
ܦ πάσαις δὲ ταῖς γραφαῖς ἀπηγόρευται ταῦτα ὑπὸ κυρίου τοῦ
12 θεοῦ. | οὐ μόνον δὲ περὶ εἰδώλων ἀπαγορεύουσιν, ἀλλὰ
καὶ περὶ φωστήρων νομοθετοῦντες παραινοῦσι μὴ ὀμνύειν
* ταῦτα μήτε μὴν λατρεύειν αὐτοῖς· φησὶ γὰρ Μή, ἰδὼν τὸν
ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, πλανηθεὶς προ-
σκυνήσῃς αὐτοῖς· καὶ ἀλλαχοῦ Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν
μὴ μανθάνετε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φο-
βεῖσθε. τὰ γὰρ ἄστρα καὶ οἱ φωστῆρες εἰς φαῦσιν ἀνθρώ-
ποις, ἀλλ' οὐκ εἰς προσκύνησιν ἐδόθησαν, εἰ καὶ οἱ Ἰ-
σραηλῖται μοχθηρίᾳ τρόπου προσεκύνουν ἀντὶ τοῦ κτίστου
τὴν κτίσιν, καὶ τὸν μὲν δημιουργὸν καθυβρίσαντες, τὴν δὲ

2 Psalm 2, 11 | 12 Hierem 51, 18 | 13 Hierem 5, 7 | 14 Zach 13, 2 | 15 Deut 32, 21 | 20 Deut 4, 19 | 22 Hierem 10, 2 | 24 Gen 1, 15 | 26 Rom 1, 25

1 φθέγξασθαι w | 1 πράστειν z | 2 καὶ prius > yzt | 3 καὶ > yz | 5 καὶ wx, ὁ yzt | 7 τοῦ > w | 7. 8 πνεύματος ἁγίου w | 8 ἑαυτῷ wx, ἐν αὐτῷ yzt | 9 αὐτῶν > w | 10 αὐτῶν + w | 11 εἰσιν x | 12 γάρ wxt, δέ yz | 13 ἐγκατέλειπον x | 13 ἐμὲ ἐγκατέλιπον yz | 13 ὄμνυον w | 13 μὴ ὦσι w, οὐκοῦσιν x | 14 ἑξῆς wxt, πάλιν yz | 16 παρώργησάν w | 19 παραινοῦσιν x | 19 μήτ' y, μήτε zt | 19 ὠμνύειν w | 20 εἰς + yz | 20 φησὶ ... ἰδὼν [φησὶν x, φασὶ t] wxt, μὴ ἰδὼν φησι yz | 23 μανθάνεται w, πορεύεσθε yz | 24 εἰς > z | 25 οἱ > z | 25. 26 ἰσραηλῆται t | 26 προσεκοίνουν x | 27 καὶ > y

*κτίσιν ἤδη πλεῖον θαυμάσαντες, καὶ ποτὲ μὲν μοσχοποιήσαντες ὡς ἐν ἐρήμῳ, ποτὲ δὲ τὸν Βεελφεγὼρ προσκυνοῦντες, ἄλλοτε * τὸν Βάαλ καὶ τὸν Θαμοὺς καὶ τὴν σιδωνίαν Ἀστάρτην, καὶ πάλιν τὸν Μολὸχ καὶ τὸν Χαμώς, καὶ ἄλλοτε τὸν ἥλιον, ὡς παρὰ τῷ Ἰεζεκιὴλ γέγραπται, ἤδη δὲ καὶ ἄλογα ζῷα, ὡς παρ᾽ Αἰγυπτίοις τὸν Ἄπιν καὶ τὸν μενδήσιον τράγον, καὶ θεοὺς ἀργυροῦς καὶ χρυσοῦς, ὡς ἐν Ἰουδαίᾳ. δι᾽ ἅπερ ἅπαντα ἀπειλῶν αὐτοῖς ἔλεγε διὰ τοῦ προφήτου Μὴ μικρὸν τοῦτο τῷ οἴκῳ Ἰούδα, τοῦ ποιεῖν τὰ βδελύγματα ταῦτα, ἃ ἐποίησαν, ὅτι ἔπλησαν τὴν γῆν ἀνομίας τοῦ παροργίσαι με; καὶ ἰδοὺ αὐτοί εἰσιν ὡς μυκτηρίζοντες, καὶ ἐγὼ ποιήσω * μετὰ θυμοῦ *, οὐ φείσεται ὁ ὀφθαλμός μου οὐδ᾽ οὐ μὴ ἐλεήσω· καὶ κεκράξονται ἐν τοῖς ὠσί μου φωνῇ μεγάλῃ καὶ οὐκ εἰσακούσομαι αὐτῶν. ὁρᾶτε, ἀγαπητοί, ὅσα κατὰ τῶν εἰδωλολατρῶν καὶ τῶν σεβομένων ἥλιον καὶ σελήνην ἀποφαίνεται ὁ κύριος. διὸ χρὴ τὸν * θεοῦ ἄνθρωπον ὡς χριστιανὸν μήτε ἥλιον ὀμνύναι μήτε μὴν σελήνην μήτε ἄστρα μήτε μὴν * οὐρανὸν ἢ γῆν ἤ τι τῶν στοιχείων μικρὸν ἢ μέγα. εἰ γὰρ ὁ διδάσκαλος περὶ τοῦ ὄντος θεοῦ παρήγγειλεν ἡμῖν μὴ ὀμνύειν, ὅπως ὁ λόγος ἡμῶν πιστότερος ᾖ τοῦ ὅρκου, μήτε μὴν τὸν οὐρανὸν αὐτόν (ἑλληνικὸν γὰρ τὸ δυσσέβημα), μήτε μὴν Ἱερουσαλὴμ ἢ τὰ τοῦ θεοῦ ἅγια ἢ τὸ θυσιαστήριον καὶ τὸ δῶρον ἢ τὴν τοῦ ναοῦ χρύσωσιν ἢ τὴν οἰκείαν κεφαλήν (ἰουδαϊκῆς γὰρ παραφορᾶς ἡ συνήθεια, διὸ καὶ ἀπαγορευτέα), εἶναι δὲ τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὒ τοῖς πιστοῖς παρεγγυᾷ, καὶ τὸ τούτων*

5 Ezech 8, 16 | 9 Ezech 8, 17. 18 | 17 Tim α 6, 11 | 20 Matth 5, 34, 35 | 23 Matth 23, 16—22 | 26 Matth 5, 37

1 *ἤδη πλεῖον* wx, *πλεῖον ἢ δεῖ* yzt | 1.2 *μοσχοποιοῦντες* yzt [*μω* Y] | 2 *ὡς* > w in rasura | 2 *τοῦ* y, *τὰ* z | 3 *δὲ* + yzt | 3 *θαμμοὺς* t | 4 *πάλιν* > yz | 4 *τὸν* alterum > t | 5 *ἐζεκιὴλ* yz | 5 *γέγραπται* wxt, *ἐμφέρεται* yz | 6 *καὶ* alterum > w | 7 *καὶ* prius > w | 7 *χρυσιοὺς* w | 8 *ἔλεγεν* x | 10 *ὅτι* xyzt, *καὶ* w | 11. 12 *μυκτειρίζοντες* yz | 12 *καὶ* xyzt, *ἀλλ᾽* w | 12 *ὀργὴν* + w | 12 *εἰς αὐτοὺς καὶ* + w | 12 *φήσεται* X | 13 *οὐδεμὴ* x | 13 *καὶ* > w | 14 *ὠσίν* xt | 16 *ἀπεφείνατο* w | 16 *τοῦ* + yzt | 17 *ὤμνῦναι* w | 18 *μὴν* prius x, *τὴν* w, > yzt | 18 *τὸν* + t | 19 *μέγαν* Y | 20 *ὄντως* xz | 20 *ὠμνύειν* w | 20 *ὅπως* xyzt, *ἵνα* w | 22 *Ἱερουσαλὲμ* t | 25 *παραφθορᾶς* yzt | 25 *ἀπηγόρευται* yzt | 25 *εἶναι* wxt, *κατορθοῦν* yz | 26 *παρενγυᾶ* x

περισσὸν τοῦ πονηροῦ εἶναι λέγει, πόσῳ μᾶλλον ὑπόδικοι
* οἱ τὰ ψευδώνυμα ὡς ὅρκια ἐπομνύμενοι καὶ τὰ νομιζόμενα
ἀντὶ τῶν ἀληθῶν δοξάζοντες; οὓς ὁ θεὸς διὰ μοχθηρίαν
13 παρέδωκεν εἰς ἀβουλίαν, ἐνεργεῖν τὰ μὴ δέοντα. | τὰς ἡμέ-
ρας τῶν ἑορτῶν φυλάσσετε, ἀδελφοί· καὶ πρώτην γε τὴν
γενέθλιον, ἥτις ὑμῖν ἐπιτελείσθω τῇ εἰκάδι πέμπτῃ τοῦ ἐνά-
του μηνός. μεθ' ἣν ἡ ἐπιφάνιος ὑμῖν ἔστω τιμιωτάτη,
καθ' ἣν ὁ κύριος ἀνάδειξιν * τῆς οἰκείας θεότητος ἐποιή-
σατο· γινέσθω δὲ καὶ αὕτη ἕκτῃ τοῦ δεκάτου μηνός. μεθ'
ἣν * φυλακτέα ἡ νηστεία τῆς τεσσαρακοστῆς, μνήμην πε-
ριέχουσα τῆς τοῦ κυρίου πολιτείας τε καὶ νομοθεσίας. ἐπι-
τελείσθω δὲ ἡ νηστεία αὕτη πρὸ τῆς νηστείας τοῦ πάσχα,
ἀρχομένη μὲν ἀπὸ δευτέρας, πληρουμένη δὲ εἰς παρασκευήν.
μεθ' ἃς ἀπονηστεύσαντες ἄρξασθε τῆς ἁγίας τοῦ πάσχα
ἑβδομάδος, νηστεύοντες αὐτὴν πάντες μετὰ φόβου καὶ τρό-
14 μου, προσευχόμενοι ἐν αὐταῖς περὶ τῶν ἀπολλυμένων. | ἤρ-
ξαντο γὰρ τὴν κατὰ τοῦ κυρίου ἐπιβουλὴν ποιεῖσθαι δευ-
τέρᾳ σαββάτων μηνὶ πρώτῳ, ὅς ἐστι Ξανθικός· καὶ τῇ τρίτῃ
τοῦ σαββάτου παρέτεινεν ἡ σκέψις, τῇ δὲ τετράδι ὡρίσαντο
σταυρῷ ἀνελεῖν αὐτόν. καὶ Ἰούδας γνοὺς τοῦτο, ἐκ πολ-
λοῦ μὲν διαστραφείς, τότε δὲ καὶ ὑπ' αὐτοῦ τοῦ διαβόλου
βληθεὶς φιλαργυρίᾳ, καίτοι πάλαι τὸ γλωσσόκομον ἐγκεχει-
ρισμένος καὶ κλέπτων τὰ τῶν πενήτων, οὐκ ἀπεβλήθη ὑπὸ
τοῦ κυρίου διὰ μακροθυμίαν· ἀλλὰ καὶ ποτὲ * ἑστιωμένων
ἡμῶν σὺν αὐτῷ, βουλόμενος καὶ αὐτὸν σωφρονίσαι καὶ
ἡμᾶς παιδεῦσαι τὴν πρόγνωσιν αὐτοῦ, λέγει Ἀμὴν * λέγω
ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με· || καὶ ἑκάστου ἡμῶν λέ-

3 Rom 1, 24? | 26 Ioh 13, 21

1 οἱ πόδικοι x, correxit manus non graeca quam numquam curo | 2 εἰσιν + yz | 2 ἐπομνύοις w, sed ύοις in rasura | 6 ὑμῶν t | 6 τῇ > yzt | 6 κε̅ x | 6 πέμπη y | 6 in margine y τινὲς δὲ δεκάτ nullo signo addito | 6. 7 ἐννάτου w, ἐναύτου z | 7 τιμιωτάτηι w | 8 ἡμῖν + x, ὑμῖν + yzt | 8 οἰκίας w | 9 αὔτηι w, αὐτὴ t | 9 τινὲς δὲ ἐνδεκατ΄ margo y, vide 6 | 10 ἣν wx, ἃς yzt | 10 ὑμῖν + yzt | 11 τε > w | 13 ὑπὸ t | 16 ἀπολλομένων t | 17 βουλὴν yzt | 17. 18 δευτέρου z | 18 ἔστιν x | 19 τετράδηι w | 19 ὡρίσαντο wxyz, ὥρισαν τῷ t | 21 καὶ > Y | 22 γλωσσόκωμον w | 24 ποτε > w | 24 μὲν + t | 25 σωφρονῆσαι w | 26 ἡμᾶς παιδεῦσαι [πεδεῦσαι w] wxt, ἡμῖν δεῖξαι yz | 26 ἀμὴν + yzt | 27 ὅτι > Yz | 27 ὑμῶν t | 27 p 142, 1 λεγόντων w

γοντος Μήτι ἐγώ; καὶ τοῦ κυρίου σιωπῶντος, ἀναστὰς ἐγώ, εἷς * τῶν δώδεκα, * φιλούμενος ὑπ' αὐτοῦ πλεῖον τῶν ἄλλων, ἐνστερνισάμενος αὐτὸν ἱκέτευον * εἰπεῖν τίς ἂν εἴη ὁ παραδώσων αὐτόν· καὶ οὐδ' οὕτως εἴρηκεν ἡμῖν αὐτοῦ τὸ ὄνομα ὁ ἀγαθὸς κύριος, ἀλλὰ δύο σημεῖα τοῦ προδότου ἔδωκεν, ἓν μὲν εἰπὼν Ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ, δεύτερον δέ Ὧι ἐγὼ * βάψας τὸ ψωμίον ἐπιδώσω. καίτοι κἀκείνου λέγοντος Μήτι ἐγώ *, ῥαββί; οὐκ εἶπεν ὁ κύριος ὅτι Ναί, ἀλλ' ὅτι Σὺ εἶπας· καὶ φοβῆσαι αὐτὸν ἐπὶ τούτῳ βουληθείς, φησὶν Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη. * ταῦτα ἀκούσας, ἀπελθὼν εἶπεν τοῖς ἱερεῦσιν Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν αὐτὸν παραδώσω; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. * καὶ τῇ πέμπτῃ φαγόντες παρ' αὐτῷ τὸ πάσχα, βάψαντος ἐκείνου τὴν χεῖρα εἰς τὸ τρυβλίον καὶ τὸ ψωμίον λαβόντος καὶ ἐξελθόντος νυκτός, ἡμῖν εἶπεν ὁ κύριος Ἐλήλυθεν ἡ ὥρα ἵνα σκορπισθῆτε καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ ἑκάστου διισχυριζομένου μὴ ἐγκαταλεῖψαι αὐτόν, ἐμοῦ * Πέτρου ἐπαγγειλαμένου καὶ συναποθανεῖν, εἶπεν Ἀμὴν λέγω σοι, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με. παραδοὺς δὲ ἡμῖν τὰ ἀντίτυπα μυστήρια τοῦ τιμίου σώματος * καὶ αἵματος, Ἰούδα μὴ συμπαρόντος ἡμῖν, ἐξῆλθεν εἰς τὸ ὄρος τῶν ἐλαιῶν πλησίον τοῦ χειμάρρου τῶν κέδρων, οὗ ἦν κῆπος· συνῆμεν δὲ καὶ ἡμεῖς καὶ ὑμνήσαμεν κατὰ τὸ ἔθος. καὶ χωρισθεὶς ἡμῶν

6 Marc 14, 20 | 7 Ioh 13, 26 | 8 Matth 26, 25 | 10 Matth 26, 24 | 12 Matth 26, 15 | 17 Ioh 16, 32 | 20 Matth 26, 34 | 24 Ioh 18, 1

1 σιωπόντος w | 2 ἐκ + zt | 2 ὁ + w | 2 ὑπ' αὐτοῦ post ἄλλων yzt | 3 ἐνστερνισάμενος αὐτὸν wxt, ἐπιπεσὼν τῷ στήθει αὐτοῦ yz | 3 ἱκέτευον ... 4 καὶ > w | 3 ἱκέτεβον y | 3 αὐτὸν + x | 4 ἡμῖν εἴρηκεν yzt | 5 ἔδωκε w | 6 ἐνβαπτόμενος x | 7 ᾧ xyzt, ὃ w | 7 δώσω + w | 7 ἐπιδώσω > w, ἐπιδόσω z | 8 εἰμὶ + t | 9 τοῦτο w | 12 καὶ + yzt | 12 εἶπε wt | 12 ἱερεῦσι yz | 13 καὶ ἐγὼ yzt | 14 καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα [Matth 27, 9. 10] Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν [οἶκον t] τοῦ κεραμέως + yzt | 14 πέμπη y, πέπτη z | 18. 19 ἐγκαταλεῖψω z | 19 δὲ + y super versum | 19 ἐπαγγελλομένου yzt | 20 εἶπε W | 20 ἀλέκτοτορα t | 22 αὐτοῦ + yzt | 24 ὅπου yzt

οὐ πολύ, προσηύχετο τῷ πατρὶ λέγων Πάτερ, παρένεγκαι ἀπ' ἐμοῦ τὸ ποτήριον· πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν. καὶ τοῦτο ποιήσας τρίτον, ἡμῶν ἀπὸ τῆς ἀθυμίας εἰς ὕπνον καταπεσόντων, ἐλθὼν λέγει * Ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. καὶ ἰδοὺ Ἰούδας καὶ μετ' αὐτοῦ ὄχλος ἀσεβῶν· καὶ σημεῖον προδοσίας αὐτοῖς δείκνυσι * δόλιον φίλημα, οἱ δὲ δεξάμενοι τὸ σύνθημα, ἐκράτησαν τὸν κύριον καὶ δέσμιον ποιησάμενοι ἤγαγον εἰς * οἰκίαν Καϊάφα τοῦ ἀρχιερέως, ἐν ᾗ πολὺς συγκεκρότητο οὐ λαός, ἀλλ' ὄχλος, οὐδὲ πρεσβυτέριον ἱερόν, ἀλλὰ συνέδριον παρανόμων καὶ βουλευτήριον ἀσεβῶν· οἳ καὶ πολλὰ ποιησάμενοι κατ' αὐτοῦ πᾶν εἶδος ὕβρεως οὐ παρέλιπον, ἐμπτύοντες, κερτομοῦντες, τύπτοντες, ῥαπίζοντες, λοιδορούμενοι *, πειράζοντες, μαντείας ἐπιζητοῦντες ἀντὶ προφητείας, εἴρωνα, βλάσφημον, Μωσέως παραβάτην, ἱεροῦ καθαιρέτην, θυσιῶν ἀναιρέτην, Ῥωμαίων πολέμιον, Καίσαρος ἐναντίον ἀποκαλοῦντες. καὶ ταῦτα μέχρις ὄρθρου βαθέος ἐμπαροινήσαντες αὐτῷ οἱ ταῦροι καὶ * κύνες ἀπάγουσιν αὐτὸν πρὸς Ἄνναν, ὃς ἦν πενθερὸς τοῦ Καϊάφα· κἀκεῖ τὰ ὅμοια δράσαντες, παρασκευῆς οὔσης, τῷ ἄρχοντι τῶν Ῥωμαίων παρέδωκαν αὐτὸν Πιλάτῳ, κατηγοροῦντες αὐτοῦ * βαρέα, ὧν οὐδὲν ἴσχυον ἀποδεῖξαι· ἐφ' οἷς ὁ ἄρχων δυσανασχετήσας ἔλεγεν Οὐδεμίαν αἰτίαν κατ' αὐτοῦ εὑρίσκω. οἱ δὲ μάρτυρας δύο ψευδεῖς ἀγαγόντες ἐβούλοντο συκοφαντεῖν τὸν κύριον· ἀσυμφώνων δὲ αὐτῶν εὑρεθέντων εἰς καθοσίωσιν ἀνῆγον τὸ πρᾶγμα λέγοντες Οὗτος ἑαυτὸν λέγει βασιλέα εἶναι, καὶ

1 Luc 22, 42 | 4 Matth 26, 45 | 19 Psalm 22, 13. 17 | 24 Ioh 18, 38 | 27 Luc 23, 2

1 οὐ et virg > yzt | 1 *παρένεγκε* yzt | 2 *γινέσθω* yz | 4 *εἶπνον* Z | 4 *ἐλθὼν* > Y | 4 *ἡμῖν* + w et a correctore y | 5 *ὧραι* w | 7 *ἀσεβῶν* wxt, *πολύς* yz | 7 *καὶ* > Yz | 7 *δείκνυσιν* x, *δοὺς* yz | 7 *τὸ* + yz | 7 *φίλιμα* y | 9 *ποιησάμενοι* wxt, *λαβόντες* yz | 9 *τὴν* + yzt | 11 *παράνομον* t | 12 *ποιησάμενοι* wxt, *τολμήσαντες* yz | 13 *πᾶν* wxt, *οὐδὲν* yz | 13 *παρέλειπον* xz | 13 *ἐπτύοντες* z | 14 *ῥαπίζοντες* > x | 14 *λοιδωρούμενοι* w, *λοιδοροῦντες* t | 14 *αὐτὸν* + w | 18 *βαθέως* x, *βαθείας* z | 19 *οἱ* + yzt | 19 *πρὸς Ἄνναν* wxt, *ἄννα* yz | 20 *κακῇ* w | 22 *καὶ* + x, *πολλὰ καὶ* + yzt | 23 *ἀποδεῖξαι* wx, *ἀπελέγξαι* yzt

*φόρους Καίσαρι διδόναι κωλύει. καὶ γίνονται αὐτοὶ κατήγοροι καὶ μάρτυρες καὶ κριταὶ καὶ τῆς ἀποφάσεως ἐξουσιασταί, λέγοντες Σταύρωσον, σταύρωσον αὐτόν· ἵνα πληρωθῇ ὅ,τι γέγραπται περὶ αὐτοῦ ἐν τοῖς προφήταις Συνήχθησαν ἐπ' ἐμὲ μάρτυρες ἄδικοι καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτήν, καὶ πάλιν Περιεκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με, καὶ ἐν ἑτέροις Ἐγένετο ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς. ὁ οὖν Πιλᾶτος ἀνανδρίᾳ καταισχύνας τὴν ἀρχὴν αὐτὸς ἑαυτὸν ἐξελέγχει κακίας, πρὸ τοῦ δικαίου τὰ πλήθη θεραπεύσας, καὶ μαρτυρῶν μὲν αὐτῷ ὡς ἀναιτίῳ, ὡς αἴτιον δὲ τοῦτον κολάσει παραδιδοὺς σταυρῷ, καίτοι Ῥωμαίων νόμους τιθεμένων μηδένα ἀνεξέλεγκτον θνήσκειν. δήμιοι δὲ παραλαβόντες τὸν τῆς δόξης κύριον ξύλῳ προσήλωσαν, ἕκτῃ μὲν ὥρᾳ σταυρώσαντες αὐτόν, τρίτῃ δὲ ὥρᾳ τὴν ἀπόφασιν δεξάμενοι τὴν κατ' αὐτοῦ. ἔπειτα ἔδωκαν αὐτῷ ὄξος πιεῖν μετὰ χολῆς, εἶτα τὰ ἱμάτια αὐτοῦ κλήρῳ διεμερίσαντο, εἶτα δύο κακούργους ἐσταύρωσαν σὺν αὐτῷ ἐξ ἑκατέρου μέρους· ἵνα πληρωθῇ τὸ εἰρημένον Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος, καὶ πάλιν Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, καὶ ἐν ἄλλοις Καὶ μετὰ ἀνόμων ἐλογίσθην. ἔπειτα ἐγένετο τρεῖς ὥρας σκότος, ἀπὸ ἕκτης ἕως ἐνάτης, καὶ πάλιν φῶς πρὸς δείλην· καθὼς γέγραπται * Καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς. * καὶ περὶ τὴν ἐνάτην ὥραν*

4 Psalm 27, 12 | 6 Psalm 22, 17 | 7 Hierem 12, 8 | 19 Psalm 69, 22 | 21 Psalm 22, 19 | 23 Isaj 53, 12 | 25 Zach 14, 7

4 *ὅ,τι γέγραπται* wxt, *τὸ γεγραμμένον* y, *τὸ γεγραμμὲν* z | 5 *ἐψεύσαντο* z | 5 *ἀδικίαι* w | 5 *ἑαυτῇ* t | 8 *μου* > yz | 9 *αὕτη* x | 9 *ἀνανδρείᾳ* w | 10 *κακίας* > Yz | 12 *κολάσει τοῦτον* yzt | 13 *θεμένων* yz | 13 *ἀνεξέλεκτον* wz | 16 *κατ'* wx, *περὶ* yzt | 18 *κλήρῳ* > X | 18 *διεμερήσαντο* w | 18 *ἔπειτα* yzt | 19 *γεγραμμένον* yzt | 20. 21 *ἐπότησάν* w | 22. 23 *καὶ ἐν ἄλλοις* > z | 23 *ἐλογίσθη* wyz | 24 *ἐννάτης* wz | 25 *δήλην* t | 25 *ἐν ἐκείνῃ τῇ ἡμέρα οὐκ ἔσται φῶς, καὶ ψύχος καὶ πάγος ἔσται μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ* + yz, sed nonnisi in margine z, ad *καθὼς* relatum | 26 *ἅπερ ἅπαντα θεασάμενοι οἱ συσταυρωθέντες* [*σταυροθέντες* t] *αὐτῷ κακοῦργοι, ὁ μὲν αὐτὸν* [*αὐτῶν* t] *ἐβλασφήμει ὡσανεὶ δι' ἀσθένειαν μὴ δυνάμενον ἑαυτῷ ἐπα-*

ἀναβοήσας εἶπε τῷ πατρὶ Θεέ μου θεέ μου, ἱνατί με ἐγκατέλιπες; καὶ μετ' ὀλίγον κράξας φωνῇ μεγάλῃ Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν ὃ ποιοῦσι, καὶ ἐπαγαγὼν Εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου, ἀπέπνευσε, καὶ θάπτεται πρὸ ἡλίου δύσεως ἐν μνημείῳ καινῷ. ἐπιφωσκούσης δὲ τῆς μιᾶς σαββάτων, ἀναστὰς ἐκ νεκρῶν ἐπλήρωσεν ἐκεῖνα ἃ καὶ πρὸ τοῦ πάθους ἡμῖν προέλεγεν φάσκων ὅτι Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ποιῆσαι ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. καὶ ἀναστὰς ἐκ νεκρῶν, πρώτῃ μὲν φανεροῦται Μαρίᾳ τῇ μαγδαληνῇ καὶ Μαρίᾳ τῇ * Ἰακώβου, εἶτα Κλεόπᾳ ἐν τῇ ὁδῷ, καὶ μετ' αὐτοῦ ἡμῖν τοῖς μαθηταῖς αὐτοῦ, φεύγουσι μὲν διὰ τὸν φόβον τῶν Ἰουδαίων, λαθραίως δὲ περιεργαζομένοις τὰ κατ' αὐτόν. ταῦτα

15 δὲ καὶ ἐν τῷ εὐαγγελίῳ ἀνεγράφη. | παρήγγειλεν οὖν ἡμῖν αὐτὸς νηστεύειν τὰς ἓξ ἡμέρας ταύτας διὰ τὴν τῶν Ἰουδαίων δυσσέβειαν καὶ παρανομίαν, πενθεῖν αὐτοὺς καὶ ὀδύρεσθαι παρακελευσάμενος ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν· καὶ γὰρ καὶ αὐτὸς αὐτοῖς ἐπεδάκρυσεν, ἀγνοήσασι τὸν καιρὸν τῆς ἐπισκοπῆς αὐτῶν. τετράδα δὲ καὶ παρασκευὴν προσέταξεν ἡμῖν νηστεύειν, τὴν μὲν διὰ τὴν προδοσίαν, τὴν δὲ διὰ τὸ πάθος· ἀπονηστεῦσαι δὲ προσέταξε τῇ ἑβδόμῃ ἡμέρᾳ, ἀλέ-

1 Matth 27, 46 | 2 Luc 23, 34 | 3 Luc 23, 46 | 7 Matth 12, 40 | 18 Luc 19, 41. 44

μύνειν, ὁ δὲ τού⟦τῷ μὲν ἄγνοιαν ἐπετίμα, πρὸς δὲ τὸν κύριον⟧ [uncis duplicatis inclusa > z] στραφεὶς ὡς ἂν φωτισθεὶς ὑπ' αὐτοῦ καὶ γνοὺς ὅστις ὁ πάσχων, ἠξίου μνήμην αὐτοῦ γενέσθαι ἐν τῇ βασιλεία εἰς τὰ μετὰ ταῦτα· ὁ δ' εὐθὺς ἀμνηστίαν αὐτῷ τῶν προγεγονότων χαρισάμενος εἰς παράδεισον εἰσήγαγεν ἀπολαύσοντα τῶν μυστικῶν ἀγαθῶν + yzt, sed uncis inclusit y: in margine καὶ ταῦτα ὁμοίως οὐχ εὗρον ἐν τοῖς ἄλλοις y | p 144,26 ὗς + zt | p 144,26 ἐννάτην wyz | 1 εἶπεν x | 1. 2 ἐγκατέλλιπες w, ἐγκατέλειπες x | 3 οἴδασι t | 3 ὃ wxyz, τί t | 3 ποιοῦσιν x | 3 ἀπαγαγὼν z | 4 παρατίθημι yzt | 4 ἀπέπνευσεν xt | 5 πρὸ xyt, πρὸς wz | 7 προσέλεγε y, προέλεγε zt | 8 καρδία xyzt, κοιλία w | 10 φαίνεται yz | 10 μαγδαλινῆι wxt [ῇ xt, Μ t] | 10 τῇ alterum > w | 10 τοῦ + yzt | 11 κλεώπα wyz | 11 τῇ > yzt | 11 μετὰ τοῦτο yzt | 13 λαθρέως w | 14 ἐγράφη t | 14 παρήγγειλλεν y, παρήγγελεν t | 15 ταύτας > w | 16 αὐτοῖς w, sed post αὐτ rasura quatuor literarum capax | 17 παρακαλεσάμενος z | 17 ἀπολεία z | 18 καὶ > t | 18 ἐπεδάκρυσε W | 18 ἀγνοήσασιν x | 18 τῶν X | 21 προσέταξεν x | 21p 146, 1 ἀλεκτορο φων ↑ ας w, sed W ni fallor ut xyzt

*κτορος φωνήσαντος, αὐτὸ δὲ νηστεῦσαι τὸ σάββατον, οὐχ ὅτι δεῖ τὸ σάββατον νηστεύειν, κατάπαυσιν δημιουργίας ὑπάρχον, ἀλλ᾽ ὅτι ἐκεῖνο μόνον χρὴ νηστεύειν, τοῦ δημιουργοῦ ἔτι ἐν αὐτῷ ὑπὸ γῆν ὄντος. ἐν αὐτῇ γὰρ αὐτῶν τῇ ἑορτῇ * κατέσχον τὸν κύριον, ὅπως πληρωθῇ ἐκεῖνο τὸ φάσκον λόγιον Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν ἐν μέσῳ τῆς ἑορτῆς αὐτῶν. δεῖ οὖν πενθεῖν ὑπὲρ αὐτῶν, ὅτι ἐλθόντος τοῦ κυρίου οὐκ ἐπίστευσαν αὐτῷ, ἀλλ᾽ ἀπεσείσαντο τὴν διδασκαλίαν αὐτοῦ, ἀναξίους κρίναντες ἑαυτοὺς σωτηρίας. ὑμεῖς οὖν μακάριοι *, οἵ ποτε οὐ λαός, νῦν δὲ ἔθνος ἅγιον ῥυσθὲν ἀπὸ πλάνης εἰδώλων, ἀπὸ ἀγνοίας, ἀπὸ δυσσεβείας, οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες διὰ τὴν ὑπακοὴν τῆς καρδίας ὑμῶν. ὑμῖν γὰρ ἠνοίγη ἡ πύλη τῆς ζωῆς τοῖς * ἐξ ἐθνῶν, οἵτινές ποτε οὐκ ἠγαπημένοι, νῦν δὲ πεφιλημένοι, λαὸς εἰς περιποίησιν θεοῦ τεταγμένος τῷ τὰς ἀρετὰς αὐτοῦ ἐξαγγέλλειν· περὶ ὧν εἶπεν ὁ κύριος Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εἶπα Ἰδού εἰμι τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου. μὴ ζητήσαντες γὰρ αὐτόν ποτε ἐπεζητήθητε παρ᾽ αὐτοῦ, καὶ ὑμεῖς πιστεύσαντες εἰς αὐτὸν ὑπηκούσατε τῇ κλήσει αὐτοῦ, καταλείψαντες τὴν πολύθεον μανίαν καὶ τῇ ἀληθεῖ μοναρχίᾳ προσφυγόντες, τῷ παντοκράτορι θεῷ διὰ Ἰησοῦ χριστοῦ, πλήρωμα τοῦ ἀριθμοῦ τῶν σωζομένων γενόμενοι, μύριαι μυριάδες καὶ χίλιαι χιλιάδες, ὡς ἐν τῷ Δαβὶδ γέγραπται *. πρὸς δὲ * Ἰσραὴλ τὸν ἄπιστον λέγει*

6 Psalm 74, 4. 5 | 10 Petr α 2, 10. 9 | 16 Isaj 65, 1 | 24 Psalm 68, 18

1 *νηστεύειν* z | 2 *κατάπαυσις* x | 2 *δημιουγίας* y | 3 *ὑπάρχων* wX | 3. 4 *δημιουργοοῦ* t | 4 *ἐν αὐτῷ ἔτι* yzt | 4 *αὐτῶν* > w | 5 *αὐτὸν* + w, sed *ἑαυτῶν* W? | 5 *ἐκεῖνο* > w | 6 *φάσκων* X | 6 *σημεῖα* alterum expunxit y, > t | 7 *ἐν ... αὐτῶν* > Yz, sed ante *καὶ* 6 inseri iubet margo y, quo loco habet t | 7 *αὐτῶι* W | 7 *δεῖ ... 8 αὐτῶν* > w | 8 fin *αὐτῷ:* W | 10 *ἐστὲ* + w | 11 *ῥυσθέντες* w | 13 *ἠνοίγει* x | 14 *ἐξ ἐθ—* + t | 14 *οἵτινες* wxt, *οἱ* yz | 15 *τῷ* xyzt, *τὸ* w | 16 *κύριος* wx, *σωτὴρ* yzt | 17 *ζητοῦσιν ... 18 μὴ* bis z | 19 *τότε* t | 20 *ὑμεῖς* > Yz | 22 *ἀληθῆι* w | 22 *τοῦ παντοκράτορος θεοῦ* yz: *γρφ καὶ παντοκράτορι θεῷ* margo y | 23 *σωμένων* X, *σωζωμένων* x | 25 *Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου. καὶ πάλιν Τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων* [*εὐθυνούντων* t] [Psalm 91, 7: 68, 18] + y [qui lunulis inclusit] zt: *καὶ ταῦτα ἐν τοῖς λοιποῖς οὐ κεῖται* margo yz | 25 *τὸν* + yzt

Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ἐν ὁδῷ οὐ καλῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν, λαὸν παροξύνοντά με
16 ἐνώπιον ἐμοῦ. | βλέπετε πῶς παρώξυνεν ὁ λαὸς τὸν κύριον,
μὴ πιστεύσας αὐτῷ· διὸ λέγει Παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν. ἀβλεψία γὰρ αὐτοῖς κατεχύθη διὰ τὴν κακόνοιαν αὐτῶν, ὅτι βλέποντες τὸν Ἰησοῦν οὐκ ἐπίστευον αὐτὸν εἶναι τὸν χριστὸν τοῦ θεοῦ, τὸν πρὸ πάντων * υἱὸν μονογενῆ, λόγον θεόν· ὃν οὐκ ἔγνωσαν δι' ἀπιστίαν, οὔτε διὰ τῶν ἐνεργειῶν αὐτοῦ οὔτε μὴν διὰ τῶν περὶ αὐτοῦ γεγραμμένων προφητειῶν. ὅτι γὰρ ἐκ παρθένου γεννηθήσεται, ἀνεγίνωσκον τὸ Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅτι παιδίον ἐγεννήθη *, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρὸς ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὅτι δὲ διὰ κακίαν ὑπερβάλλουσαν ἀπειθήσουσιν αὐτῷ, λέγει Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; καὶ ἑξῆς Ἀκοῇ ἀκούσητε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψητε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου. διὸ ἤρθη ἀπ' αὐτῶν ἡ γνῶσις, ὅτι ἰδόντες παρεῖδον καὶ ἀκούσαντες οὐκ ἤκουσαν, ὑμῖν δὲ τοῖς ἐξ ἐθνῶν ἐδόθη ἡ βασιλεία, ὅτι μὴ γινώσκοντες θεὸν διὰ τοῦ κηρύγματος πιστεύσαντες ἐγνώκατε αὐτόν, μᾶλλον δὲ ἐγνώσθητε ὑπ' αὐτοῦ διὰ Ἰη-

1 Isaj 65, 2. 3 | 5 Isaj 63, 10 | 12 Isaj 7, 14 | 14 Isaj 9, 5 | 19 Isaj 53, 1 | 20 Isaj 6, 9. 10 | 26 Gal 4, 9

1 ὕλην t | 1 ἐξεπέτασα post μου yzt | 1. 2 ἀπειθοῦντι w | 2 τοὺς πορευομένους yz | 4 μου t | 4 ὅπως x | 4 παρώξυνε W | 5 διὸ ... 6 καὶ > z | 8 οὐκ .... θεοῦ > z | 9 ἐξ αὐτοῦ γεννηθέντα + yzt, τῶν αἰώνων post πάντων inseri iubet margo y, αἰώνων inserit t | 9 μονγενῆι w | 9 θεοῦ wz | 9 ἐπέγνωσαν yzt | 10 οὔτε prius xyzt, οὐδὲ w | 11 προφητιῶν w | 12 γενήσεται xt | 12 ἀναγίνωσκον z | 13 τέξεται y | 13 καλέσουσιν x | 14 ἡμῖν + t | 14 ἐδώθη t | 15 ἡμῖν > yz | 17 ἰσχυρὸς > x | 18. 19 ἀπειθήσωσιν x | 19 κύριος cum praecedd iunctum t | 19 ἐπίστευσεν x | 20 ἑξῆς wxt, πάλιν yz | 20. 21 ἀκούσετε yzt | 21 συνεῖτε w | 21 βλέψετε yzt | 22 διὸ xyzt, διὰ τοῦτο w | 23 παρίδον x | 26 init ἔγνωτε yzt

σοῦ τοῦ σωτῆρος καὶ λυτρωτοῦ τῶν ἐλπιζόντων ἐπ' αὐτόν. μεταβάντες γὰρ ἀπὸ τῆς προτέρας ματαιοπόνου συνηθείας καὶ τῶν ἀψύχων εἰδώλων ὑπεριδόντες καὶ τῶν ἐν σκότει δαιμόνων καταφρονήσαντες προσδραμόντες τε τῷ φωτὶ τῷ ἀληθινῷ καὶ ἐπιγνόντες δι' αὐτοῦ τὸν ἕνα καὶ μόνον ἀληθινὸν θεὸν καὶ πατέρα, κληρονόμοι τῆς αὐτοῦ βασιλείας ἀνεφάνητε. βαπτισθέντες γὰρ εἰς τὸν τοῦ κυρίου θάνατον καὶ * τὴν ἀνάστασιν αὐτοῦ, ὡς ἀρτιγέννητα βρέφη ἀνενέργητα πρὸς πᾶσαν ἁμαρτίαν ὀφείλετε εἶναι· οὐ γάρ ἐστὲ ἑαυτῶν, ἀλλὰ τοῦ ἀγοράσαντος ὑμᾶς τῷ ἑαυτοῦ αἵματι. περὶ γὰρ τοῦ ποτὲ Ἰσραὴλ εἶπεν ὁ κύριος * διὰ τὴν ἀπιστίαν αὐτῶν ὅτι Ἀρθήσεται ἀπ' αὐτῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς· δηλαδὴ ὅτι ὑμῖν τοῖς πιστεύουσιν ἀπεξενωμένοις αὐτοῦ * μακρὰν * δοὺς τὴν βασιλείαν, ἐκδέχεται τοὺς καρποὺς τῆς εὐγνωμοσύνης. ὑμεῖς γάρ ἐστε οἱ ποτὲ ἀποσταλέντες εἰς τὸν ἀμπελῶνα καὶ μὴ ὑπακούσαντες, ἐκεῖνοι δὲ οἱ ὑπακούσαντες· ἀλλ' ὑμεῖς μέν, μεταμεληθέντες ἐπὶ τῇ ἀντιλογίᾳ, ἐργάζεσθε ἐν αὐτῷ νῦν, οἱ δέ, δυσχεράναντες ἐπὶ ταῖς ἑαυτῶν συνθήκαις, οὐ μόνον ἀνέργαστον κατέλειψαν τὸν ἀμπελῶνα, ἀλλὰ καὶ τοὺς ἐπιτρόπους τοῦ κυρίου τοῦ ἀμπελῶνος ἀπέκτειναν, ὃν μὲν λίθοις, ὃν δὲ ξίφει, καὶ τὸν μὲν ἔπρισαν, τὸν δὲ ἔνδον ἐν τῷ ναῷ ἀνεῖλον μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου· ὕστερον δὲ καὶ αὐτὸν τὸν κληρονόμον ἔξω τοῦ ἀμπελῶνος βαλόντες ἀπέκτειναν. καὶ παρ' αὐτοῖς ὡς λίθος ἀχρεῖος ἀπεβλήθη, παρ' ὑμῶν δὲ ὡς ἀκρογωνιαῖος ἐδέχθη· διὸ λέγει

5 Ioh 17, 3 | 7 Rom 6, 3 | 8 Petr α 2, 2 | 9 Cor α 6, 19. 20 | 12 Matth 21, 43 | 16 Matth 21, 28. 29 | 21 Matth 21, 35 | 22 Hebr 11, 37 | 23 Matth 23, 35 | 24 Matth 21, 39 | 25 Matth. 21, 42

1 αὐτῶν t | 2 ματαιοπόνου wxt, πατροπαραδότου yz | 3 ἐν σκότει > Yz | 4 προσδραμῶντες w | 4 τε > w | 5 μόνων W? | 7 ἀνεφάνειτε x | 7 γὰρ wxt, οὖν yz | 8 εἰς + yzt | 8 ἀρτιγενῆ yzt | 11 ὅτι + yz | 12 ὅτι > yz | 13 ἔθνη w | 13 δῆλον δὲ yz | 14 πιστεύουσιν wx, ποτε yz, ποτὲ οὖσιν t | 14 καὶ + yz | 14 οὖσι + yz | 15 καρποὺς post εὐγν" yzt | 16 αποσταλθέντες w | 17 ἀλλ' ... 18 ἀντιλογίᾳ xyzt [ἀλλὰ yzt], καὶ μεταμεληθέντες· ὑμεῖς οὖν w | 18. 19 ἐν αὐτῷ νῦν xyzt, αὐτὸν νυνὶ w | 19 δυσχεραίνοντες t | 22 ξίφεσιν w | 22 ἔνδον > w | 23 ναῶι w, ναῶ x, ἱερῶ yzt | 23 ἀνείλων w, ἀνεῖλαν x | 25 ἐκβαλόντες yzt | 25 παρὰ μὲν ἐκείνοις yz | 26 ἀπεδοκιμάσθη yz | 26 ἡμῶν w | 26 ἐδείχθη w

17 περὶ ὑμῶν Λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι *. | δεῖ οὖν
ὑμᾶς, ἀδελφοί, τοὺς τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ ἐξηγο-
ρασμένους *, τὰς ἡμέρας τοῦ πάσχα ἀκριβῶς ποιεῖσθαι με-
τὰ πάσης ἐπιμελείας μετὰ τροπὴν ἰσημερινήν, ὅπως μὴ δὶς
τοῦ ἐνιαυτοῦ ἑνὸς παθήματος μνείαν ποιῆσθε, ἀλλ' ἅπαξ
τοῦ ἔτους τοῦ ἅπαξ ἀποθανόντος, μηκέτι * παρατηρούμενοι
μετὰ Ἰουδαίων ἑορτάζειν. οὐδεμία γὰρ κοινωνία ἡμῖν *
πρὸς αὐτούς· πεπλάνηνται γὰρ καὶ αὐτὴν τὴν ψῆφον, ἣν
νομίζουσιν ἐπιτελεῖν, ὅπως πανταχόθεν ὦσι πεπλανημένοι
καὶ τῆς ἀληθείας ἀπεσχοινισμένοι. ὑμεῖς δὲ φυλάσσεσθε
ἀκριβῶς τὴν ἰσημέριον τροπὴν τῆς ἐαρινῆς ὥρας, ἥτις γί-
νεται εἰκάδι δευτέρᾳ τοῦ δωδεκάτου μηνός, ὅς ἐστι Δύ-
στρος, ἐπιτηροῦντες ἕως εἰκάδι πρώτῃ σελήνης, ὅπως μὴ
ἐν ἑτέρᾳ ἑβδομάδι ἐμπέσοι ἡ τεσσαρεσκαιδεκάτη τῆς σελή-
νης, καὶ πλάνης γενομένης ἀγνοίᾳ δὶς τοῦ ἐνιαυτοῦ ἐπιτε-
λέσωμεν τὸ πάσχα, ἢ ἐν ἄλλῃ ἡμέρᾳ ἑορτάσωμεν τὴν τοῦ
κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ ἀναστάσιμον ἡμέραν, ἀλλ' ἐν
18 κυριακῇ μόνῃ. | ἐν ταῖς ἡμέραις οὖν τοῦ πάσχα νηστεύετε,
ἀρχόμενοι ἀπὸ δευτέρας μέχρι τῆς παρασκευῆς καὶ * σαβ-
βάτου, * μόνῳ χρώμενοι ἄρτῳ καὶ ἅλατι καὶ λαχά-
νοις καὶ ποτῷ ὕδατι, οἴνου δὲ καὶ κρεῶν ἀπέχεσθε ἐν ταύ-
ταις ταῖς ἡμέραις· ἡμέραι γάρ εἰσι πένθους, ἀλλ' οὐχ ἑορ-
τῆς. τὴν μέντοι παρασκευὴν καὶ τὸ σάββατον ὁλόκληρον
νηστεύσατε, οἷς δύναμις πρόσεστι τοιαύτη, μηδενὸς γευό-
μενοι μέχρις ἀλεκτοροφωνίας νυκτός· εἰ δέ τις ἀδυνατεῖ

1 Psalm 18, 44 [45] | 7 Cor β 6, 14?

1 ἐδούλευσέν x | 1 εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου + yzt | 2 ἡμᾶς z, sed η miniatum in margine | 2 τιμίῳ post τοῦ χριστοῦ yzt | 2 αἵματι > yzt | 3 αἵματι + yzt | 3 ποιεῖσθε x | 4 μετὰ τροπὴν ἰσημερινήν > w | 4 μὴ δὶς wxyzt, μηδεὶς W? | 5 ποιεῖσθαι w, ποιεῖσθε xt | 5 ἀλλὰ t | 6 μηκέτι > w | 6 δὲ + t | 7 νῦν + xzt | 8 πεπλάνηντε w | 9 ὅπως xyzt, ἵνα w | 9 ὦσιν x | 10 ἀπεσχυνισμένοι W | 10 φυλάσσεσθαι w | 11 ἥτης w | 12 δευτέρα καὶ εἰκάδι t | 12 τινὲς δὲ ᾱ margo y | 12 ἔστιν x | 12. 13 ad δύστρος adscr μάρτιος margo x | 13 τηροῦντες Yz | 13 εἰκάδος πρώτης yzt | 13 ὅπως .. 14 σελήνης > X | 14 εὐδομάδι y | 14 τεσσαριςκαὶ δ'' x | 15 γινομένης t | 17 χριστοῦ > yzt | 19 ἀπὸ ... 20 χρώμενοι bis z | 19 τοῦ + w | 20 ἓξ ἡμέρας + yzt | 20 χρόμενοι t | 20 ἅλλατι w, ἀλί yzt | 21 κρεῶν xyzt, ὄψων w | 21 ἀπέχεσθαι Z | 22 ταῖς ἡμέραις > yzt | 22 εἰσιν x | 24 πρόέστι w, πρόσεστιν x

τὰς δύο συνάπτειν *, φυλασσέσθω κἂν τὸ σάββατον. λέ-
γει γάρ που αὐτὸς ὁ κύριος περὶ ἑαυτοῦ φάσκων Ὅταν
ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, * νηστεύσουσιν ἐν ἐκείναις
ταῖς ἡμέραις. ἐν ταύταις οὖν ἤρθη ἀφ' ἡμῶν ὑπὸ τῶν
ψευδωνύμων Ἰουδαίων καὶ σταυρῷ προσεπάγη καὶ μετὰ
ἀνόμων ἐλογίσθη. | διὸ παραινοῦμεν καὶ ὑμῖν νηστεύειν ἐν 19
ταύταις, ὡς καὶ ἡμεῖς ἐνηστεύσαμεν ἐν τῷ ἀναληφθῆναι
αὐτὸν ἀφ' ἡμῶν, ἄχρις ἑσπέρας. ἐν δὲ ταῖς λοιπαῖς ταῖς
πρὸ τῆς παρασκευῆς ἐνάτῃ ὥρᾳ ἢ ἑσπέρᾳ ἕκαστος ἐσθιέτω
ἢ ὅπως ἄν τις δύνηται, ἀπὸ δευτέρας μέχρις ἀλεκτοροφωνίας
* ἀπονηστιζόμενος ἐπιφωσκούσης μιᾶς σαββάτων, ἥτις ἐστὶ
κυριακή. * ἀπὸ ἑσπέρας ἕως ἀλεκτοροφωνίας ἀγρυπνοῦν-
τες καὶ ἐπὶ τὸ αὐτὸ ἐν τῇ ἐκκλησίᾳ συναθροιζόμενοι γρηγο-
ρεῖτε, προσευχόμενοι καὶ δεόμενοι τοῦ θεοῦ ἐν τῇ διαννυκτε-
ρεύσει ὑμῶν, ἀναγινώσκοντες τὸν νόμον, τοὺς προφήτας,
τοὺς ψαλμοὺς μέχρις ἀλεκτρυόνων κραυγῆς. καὶ βαπτίσαν-
τες ὑμῶν τοὺς κατηχουμένους καὶ ἀναγνόντες τὸ εὐαγγέλιον
ἐν φόβῳ καὶ ἐν τρόμῳ καὶ προσλαλήσαντες τῷ λαῷ τὰ πρὸς
σωτηρίαν, παύσασθε τοῦ πένθους ὑμῶν καὶ δεήθητε τοῦ
θεοῦ ἐπιστραφῆναι τὸν Ἰσραὴλ καὶ λαβεῖν αὐτὸν τόπον με-
τανοίας καὶ τῆς ἀσεβείας ἄφεσιν· ὅτι ὁ μὲν ἀλλόφυλος κρι-
τὴς νιψάμενος τὰς χεῖρας εἶπεν Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵ-
ματος τοῦ δικαίου τούτου, ὑμεῖς ὄψεσθε, ὁ δὲ Ἰσραὴλ ἐβό-
ησε Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· καὶ *

2 Matth 9, 15 | 5 Isaj 53, 12 = Marc 15, 28 | 20 Hebr 12, 17 | 22 Matth 27, 24. 25

1 ὁμοῦ + yzt | 2 αὐτὸς > yzt | 3 τότε + y in margine | 3 νηστεύσουσιν post 4 ἡμέραις W | 5 ψευδονύμων wt | 6. 7 ἐν ταύταις wx, ταύτας yzt | 7 ληφθῆναι yzt: ἐν ἄλλοις ἀναληφθῆναι margo t | 8 ἄχρι w, μέχρις t | 9 ἐννάτῃ w | 9 ἐνάτην ὥραν t | 9 ἑσπέραν yzt | 10 ἢ ... δύνηται > yz | 10 δύναιτο t | 10 ἐν ἄλλῳ τῷ δὲ σαββάτῳ μέχρις ἀλεκτοροφωνίας παρατείνοντες, ἀπονιστίζεσθε ἐπιφωσκούσης μιᾶς σαββάτων, ἥτις ἐστὶ κυριακή. ἀπὸ ἑσπέρας ἕως ἀλεκτοροφωνίας ἀγρυπνοῦντες καὶ τὰ ἑξῆς margo t | 10 ἀπὸ δευτέρας wx, τῷ δὲ σαββάτῳ yz, ἀπὸ δὲ ἑσπέρας πέμπτης t | 10 μέχρι wz | 10 ἀλεκφωνίας t | 11 καρτεροῦντες + yz, παρατείνοντες + PC | 11 ἀπονηστιζόμενοι w, ἀπονηστίζεσθε yz, ἀπονηστηζόμενοι t | 11 ἐστιν x | 12 κυριακῆι w | 12 ἅπαντες τοίνυν + yz | 12 ἀλεκτοροτοροφωνίας t | 13 ἐκκλησίαι w | 13. 14 γρηγορεῖται w | 18 ἐν alterum > yzt | 21 ἀλλόφιλος z | 22 εἶπε w | 23. 24 ἐβόησεν x, ἐπεβόησε yzt | 24 πάλιν + yz

*Πιλάτου εἰπόντος Τὸν βασιλέα ὑμῶν σταυρώσω; αὐτοὶ ἐπεβόων Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα· καὶ πάλιν ἐπεβόησαν Σταύρωσον, σταύρωσον αὐτόν· πᾶς γὰρ ὁ ποιῶν ἑαυτὸν βασιλέα ἀντιλέγει τῷ Καίσαρι, καὶ ἐὰν * τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. καὶ Πιλᾶτος ὁ * ἡγεμὼν καὶ ὁ βασιλεὺς Ἡρώδης ἐκέλευσαν αὐτὸν σταυρωθῆναι καὶ πληροῦται τὸ φάσκον λόγιον Ἱνατί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ· καὶ ἀπέρριψαν τὸν ἀγαπητὸν ὡσεὶ νεκρὸν ἐβδελυγμένον. καὶ αὐτοῦ σταυρωθέντος τῇ παρασκευῇ καὶ ἀναστάντος ἐπιφωσκούσης τῆς κυριακῆς, ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα Ἀνάστα, ὁ θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι· καὶ πάλιν Νῦν ἀναστήσομαι, λέγει κύριος, θήσομαι ἐν σωτηρίῳ, * καὶ * Σὺ δέ, κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. διὰ τοῦτο οὖν καὶ ὑμεῖς, ἀναστάντος τοῦ κυρίου, προσενέγκατε τὴν θυσίαν ὑμῶν, περὶ ἧς ὑμῖν διετάξατο δι' ἡμῶν λέγων Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· καὶ λοιπὸν ἀπονηστεύετε, εὐφραινόμενοι καὶ ἑορτάζοντες, ὅτι * ἀρραβὼν τῆς ἀναστάσεως ἡμῶν Ἰησοῦς ὁ χριστὸς ἐγήγερται ἐκ νεκρῶν· καὶ τοῦτο ὑμῖν ἔστω νόμιμον αἰώνιον ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἄχρις ἂν ἔλθῃ ὁ κύριος. Ἰουδαίοις γὰρ ὁ κύριος ἔτι τέθνηκεν, χριστιανοῖς δὲ ἐγήγερται, τοῖς μὲν δι' ἀπιστίαν, τοῖς δὲ διὰ πληροφορίαν, ὅτι ἡ εἰς αὐτὸν ἐλπὶς*

1 Ioh 19, 15 | 3 Luc 23, 21 | 3 Ioh 19, 12 | 7 Psalm 2, 1. 2 | 10 Isaj 14, 19 | 13 Psalm 82, 8 | 14 Psalm 12, 6 | 15 Psalm 41, 11 | 19 Luc 22, 19

2 *μὶ* w | 2. 3 *καὶ πάλιν ἐπεβόησαν* > yzt | 3 *γὰρ* > Yz | 4 *καὶ* > z | 4 *οὖν* + z et super versum y | 4. 5 *ἀπολύσις* z | 5 *καὶ* > yz | 5 *Πιλᾶτος* post *ἡγεμὼν* yz | 5 *δὲ* + yz | 6 *ἡρώδης ὁ βασιλεὺς* yzt | 6 *ἐκέλευσεν* yt | 6 *καὶ* wxt, *ἐντεῦθεν* yz | 7 *πεπλήρωται* y, *ἐπλήρωτε* z | 7 *φάσκων* x | 10 *ὡς* yzt | 11 *καὶ αὐτοῦ* wxt, *αὐτοῦ δὲ* yz | 12 *ἐπιφασκούσης* z | 12 *τῆς* > yzt | 13 *κρίνων* yz | 14 *πᾶσιν* x | 14 *ἔθνεσιν* x | 14 *νῦν* > t | 15 *θήσομαι ... σωτηρίῳ* > w | 15 *παρρησιάσομαι ἐν αὐτῷ* + t | 15 *πάλιν* + yz | 16 *αὐτούς* x | 17 *ἡμεῖς* t | 20 *ὁ* + wyz | 21 *ὑμῶν* yzt | 22 *καὶ τοῦτο* wxt, *τοῦτο τοίνυν* yz | 22 *συντελίας* t | 23 *μέχρις* yzt | 23. 24 *ἔτι τέθνηκεν ὁ κύριος* w | 24 *τέθνηκε* yzt | 24 *ἐγήγερτε* z | 25 *ἡ ... ἐλπὶς* xyzt, *εἰησαυτὸν* **** *σ* sed *ἐλπὶ* superscriptum rasurae manu recenti w

ἀθάνατος καὶ ζωὴ αἰώνιος. μετὰ δὲ * ὀκτὼ ἡμέρας ἔστω
ὑμῖν πάλιν ἑορτὴ τιμία αὕτη ἡ ὀγδόη, ἐν ῇ δυσπιστοῦντα
ἐμὲ Θωμᾶν ἐπὶ τῇ ἀναστάσει ἐπληροφόρησε, δείξας μοι τοὺς
τύπους τῶν ἥλων καὶ τῆς λόγχης ἐν τῇ πλευρᾷ τὴν τρῶ-
σιν. καὶ πάλιν ἀπὸ τῆς πρώτης κυριακῆς ἀριθμήσαντες
τεσσαράκοντα ἡμέρας, ἀπὸ κυριακῆς ἄχρι πέμπτης ἑορτά-
ζετε τὴν ἑορτὴν τῆς ἀναλήψεως τοῦ κυρίου, καθ' ἣν πλη-
ρώσας πᾶσαν οἰκονομίαν καὶ διάταξιν, ἀνῆλθε πρὸς τὸν
ἀποστείλαντα αὐτὸν θεὸν * καὶ πατέρα, καθίσας ἐκ δε-
ξιῶν τῆς δυνάμεως καὶ περιμένων ἄχρι τεθῶσιν οἱ ἐχθροὶ
αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. ὃς καὶ ἐλεύσεται ἐπὶ συντε-
λείᾳ τοῦ αἰῶνος μετὰ δυνάμεως καὶ δόξης πολλῆς, κρῖναι
ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι * ἑκάστῳ κατὰ τὰ * ἔργα
αὐτοῦ· καὶ τότε ὄψονται τὸν ἀγαπητὸν * τοῦ θεοῦ, ὃν
ἐξεκέντησαν, καὶ ἐπιγνόντες αὐτὸν κόψονται ἐφ' ἑαυτούς,
φυλὴ κατὰ φυλήν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' ἰδίαν. | καὶ 20
γὰρ καὶ νῦν δεκάτῃ τοῦ * μηνὸς Γορπιαίου συναθροιζόμενοι
τοὺς θρήνους Ἱερεμίου ἀναγινώσκουσιν, ἐν οἷς εἴρηται Πνεῦμα
πρὸ προσώπου ἡμῶν χριστὸς κύριος συνελήφθη ἐν ταῖς
διαφθοραῖς αὐτῶν, καὶ τὸν Βαρούχ, ἐν ᾧ γέγραπται Οὗτος
ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε
πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ
αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· * μετὰ ταῦτα
ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ
ὅταν * ἀναγνῶσιν, κόπτονται καὶ θρηνοῦσιν, ὡς μὲν αὐτοὶ
νομίζουσι, τὴν ἐρημίαν τὴν ὑπὸ Ναβουχοδονόσωρ γενομένην *,
ὡς δὲ ἡ ἀλήθεια ἔχει, προοίμια ποιοῦνται * ἄκοντες τοῦ μέλ-

13 Rom 2, 6 | 14 Zach 12, 10 | 18 Thren 4, 20 | 20 Baruch 3, 36—38

1 ζωὴ καὶ yzt | 1 τὰς + yz | 2 τιμίαι w | 2 αὐτὴ yzt | 3 ἐπληροφόρησεν x | 6 μέχρι t | 6 πέμπης y, πέπτης z | 6. 7 ἑορτάσατε yzt | 8 ἀνῆλθεν x, ἀπῆλθε Z | 9 αὐτοῦ + super versum y | 9. 10 ἐν δεξιᾶι w | 10 ἄχρι wx, ἕως ἂν yzt | 13 ἑνὸς + z | 13 ἑκάστου z | 13 ἴδια + x | 14 αὐτοῦ > x | 14 υἱὸν + yzt | 15 ἑαυτοῖς yzt | 16 αἱ > x | 17 καὶ νῦν xyzt, τῆι w | 17 ἐνάτου + y super versum | 18 ἱηρεμίου x | 21 λογησθήσεται Z | 21 ἐξεῦρεν x | 22 ἔδωκεν wxy, ἔδειξεν zt | 23 ὑπ' αὐτῶι w | 23 καὶ + w | 23 τοῦτο yzt | 24 γῆς super versum w, > W | 25 ὅτε w | 25 ταῦτα + w | 25 ἀναγνῶσωσιν w, ἀναγνῶσι yzt | 25 θρηνοῦσι w | 26 νομίζουσιν x | 26 ναβουχοδονόσορ zt, corr x? | 26 θρηνοῦσι + w | 27 ποιοῦσιν w, ποιοῦντες x | 27 ἑαυτοῖς + w

λοντος αὐτοὺς καταλαμβάνειν πένθους. μετὰ δὲ δέκα ἡμέρας τῆς ἀναλήψεως, ἥτις ἀπὸ τῆς πρώτης κυριακῆς πεντηκοστὴ γίνεται, ἑορτὴ μεγάλη ὑμῖν ἔστω· ἐν αὐτῇ γὰρ ὥρᾳ τρίτῃ ἀπέστειλεν εἰς ἡμᾶς ὁ κύριος Ἰησοῦς τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, καὶ ἐπλήσθημεν αὐτοῦ τῆς ἐνεργείας καὶ γλώσσαις καιναῖς ἐλαλήσαμεν, καθὼς ἐκεῖνο ὑπήχει ἐν ἡμῖν, καὶ ἐκηρύξαμεν Ἰουδαίοις τε καὶ ἔθνεσιν αὐτὸν εἶναι τὸν χριστὸν τοῦ θεοῦ τὸν ὡρισμένον ὑπ' αὐτοῦ κριτὴν εἶναι ζώντων καὶ νεκρῶν. τοῦτον Μωσῆς μαρτυρῶν ἔλεγεν Ἔλαβε κύριος παρὰ κυρίου πῦρ καὶ ἔβρεξε· τοῦτον εἶδεν Ἰακὼβ ὡς ἄνθρωπον καὶ εἶπεν Εἶδον θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή· τοῦτον Ἀβραὰμ ξενοδοχήσας κριτὴν ὡμολόγει καὶ ἑαυτοῦ κύριον· τοῦτον Μωσῆς ἐπὶ τῆς βάτου τεθέαται· περὶ τούτου ἐν * δευτερονομίῳ ἔλεγε Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς· ἔσται δὲ πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. τοῦτον εἶδεν Ἰησοῦς ὁ τοῦ Ναυῆ στρατιάρχην τῆς δυνάμεως κυρίου, καθωπλισμένον σύμμαχον εἰς Ἱεριχώ, ᾧ καὶ πεσὼν προσεκύνησεν, ὡς δοῦλος δεσπότῃ· τοῦτον Σαμουὴλ ἰδὼν χριστὸν θεοῦ τοὺς ἱερεῖς καὶ τοὺς βασιλεῖς χριστοὺς ὠνόμαζεν· τοῦτον Δαβὶδ εἰδὼς ἔψαλλε τὴν ὑπὲρ αὐτοῦ ᾠδὴν λέγων Ὠιδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ, καὶ ἐπιφέρων εἰς πρόσωπον αὐτοῦ ἔφασκε Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔν-

9 Gen 19, 24 | 11 Gen 32, 31 | 14 Deut 18, 15. 19 | 19 Iosue 5, 14 | 21 Reg α 12, 3? | 24 Psalm 45, 1. 4—8

1 δὲ > z | 2 ....ύψεως z, videtur in Z μεταλύψεως fuisse | 2 ἥτης w | 4 ἀπέστειλε w | 4 εἰς xyzt, πρὸς w | 5 τῆς ἐνεργείας αὐτοῦ w | 6 ἐκεῖνος w | 6 ἐπέχεεν w, ἐπήχει z | 6 ἐν > w | 8 ὁρισμένον wx | 8 εἶναι > yzt | 9 τούτω yzt | 9 μωϋσῆς w | 9 ἔλεγε w | 9 ἔλαβεν x | 10 πῦρ παρὰ κυρίου t | 10 ἔβρεξεν x | 11 ἴδον yz | 14 θεασάμενος w | 14 τῷ + w | 14 ἔλεγεν x | 16 λαλήσει w | 17 πάσῃ x | 17 ἂν wxt, ἐὰν yz | 19 οἶδεν y | 19 ναυῒ w | 19 στρατάρχην yzt | 20 καθοπλισμένον wx | 20 ὦ xyzt, ὃ w | 21 δεσπότην t | 21 εἰδὼς yzt | 22 ὀνόμαζε w, ὠνόμαζε yzt | 23 εἰδὼς δᾱδ yzt | 23 ἔψαλλεν x | 25 ἔφασκεν xZt | 26 καὶ τὸ κάλλει z | 26 p 154, 1 ἔντειναι w

τεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου· τὰ βέλη σου ἠκονημένα, δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως· * διὰ τοῦτο ἔχρισέ σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. περὶ αὐτοῦ καὶ * Σολομὼν ἔλεγεν ὡς ἐκ προσώπου αὐτοῦ Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με· καὶ πάλιν Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον. περὶ αὐτοῦ * Ἡσαΐας ἔλεγεν Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι· Ζαχαρίας δὲ Χαῖρε σφόδρα, θύγατερ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται δίκαιος καὶ σῴζων αὐτός, * καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. τοῦτον Δανιὴλ υἱὸν ἀνθρώπου λέγει * ἐρχόμενον πρὸς τὸν πατέρα, καὶ πᾶσαν τὴν κρίσιν καὶ τὴν τιμὴν παρ᾽ ἐκείνου ὑποδεχόμενον, καὶ λίθον ἀπὸ ὄρους ἄνευ χειρῶν τμηθέντα καὶ γενόμενον εἰς ὄρος μέγα καὶ πληρώσαντα πᾶσαν τὴν γῆν, συντρίβοντα πολυαρχίαν τοπαρχιῶν καὶ πολυθεΐαν ἀθέων, κηρύσσοντα δὲ τὸν ἕνα θεὸν καὶ χειροτονοῦντα τὴν Ῥωμαίων μοναρχίαν. περὶ τούτου καὶ Ἱερεμίας προφητεύων ἔλεγε Πνεῦμα πρὸ προσώπου ἡμῶν χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, * οὗ εἴπομεν Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσι· καὶ Ἰεζεκιὴλ δὲ καὶ οἱ καθεξῆς προφῆται πανταχοῦ, τοῦτον * εἶναι χριστόν, κύριον, βασιλέα, κριτήν, νομοθέτην, ἄγγελον τοῦ πατρός, μονογενῆ θεόν. τοῦ-

7 Prov 8, 22—25 | 11 Prov 9, 1 | 12 Isaj 11, 1. 10 | 15 Zach 9, 9 | 18 Dan 7, 13 | 20 Dan 2, 34 | 25 Thren 4, 20

1 ἕνεκεν ... 6 σου > w substituens καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ | 4 καὶ ἑξῆς + x | 5 ἔχρισέν x | 6 ὁ + t | 7 ἔκτισέν x | 8 ἐθεμελίωσέν x | 9 ἐλθεῖν t | 10 ὄρει w | 12 καὶ + t | 12 ἔλεγε w | 13 καὶ ... ἀναβήσεται > w | 15 ἐλπιοῦσιν x | 15 χαῖρε ... Σιών > yzt | 16 αὐτός > w | 16 πρᾶος + yzt | 18 εἶναι + yzt | 18 ἐρχόμενος z | 22 ἀθέων wx, θεῶν yzt, γρφ καὶ ἀθέων margo y | 24 ἱηρεμίας x | 24 ἔλεγεν x | 25 ἐν ... 26 εἴπομεν > z | 27 ἔθνεσιν x | 28 κηρύττουσιν + yz

τον οὖν καὶ ἡμεῖς κηρύττομεν ὑμῖν καὶ εὐαγγελιζόμεθα θεὸν λόγον, ὑπηρετούμενον τῷ θεῷ αὐτοῦ καὶ πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν· τούτῳ πιστεύοντες ζήσεσθε, ἀπιστοῦντες δὲ * κολασθήσεσθε. ὁ γὰρ ἀπιστῶν τῷ υἱῷ οὐκ ὄψεται τὴν ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ' αὐτόν. μετὰ οὖν τὸ ἑορτάσαι ὑμᾶς τὴν πεντηκοστὴν ἑορτάσατε μίαν ἑβδομάδα, καὶ μετ' ἐκείνην νηστεύσατε μίαν· δίκαιον γὰρ καὶ εὐφρανθῆναι ἐπὶ τῇ ἐκ θεοῦ δωρεᾷ καὶ νηστεῦσαι μετὰ τὴν ἄνεσιν. καὶ γὰρ καὶ Μωσῆς καὶ Ἡλίας ἐνήστευσαν τεσσαράκοντα ἡμέρας· καὶ Δανιὴλ τρεῖς ἑβδομάδας ἡμερῶν ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγεν, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ· καὶ ἡ μακαρία Ἄννα αἰτουμένη τὸν Σαμουὴλ λέγει Οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχεῶ τὴν ψυχήν μου ἐνώπιον κυρίου· καὶ Νινευῖται * νηστεύσαντες τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας τῆς ὀργῆς τὴν πεῖραν ἀπέφυγον, καὶ Ἐσθὴρ καὶ Μαρδοχαῖος καὶ Ἰουδὶθ τὴν τῶν ἀσεβῶν ἐπανάστασιν νηστεύσαντες ἀπέφυγον Ὀλοφέρνου καὶ Ἀμάν· καὶ Δαβὶδ λέγει Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. καὶ ὑμεῖς οὖν νηστεύσαντες αἰτεῖσθε παρὰ τοῦ θεοῦ τὰ αἰτήματα ὑμῶν. μετὰ δὲ τὴν ἑβδόμαδα τῆς νηστείας πᾶσαν τετράδα καὶ πᾶσαν παρασκευὴν προστάσσομεν ὑμῖν νηστεύειν καὶ τὴν περισσείαν ὑμῶν τῆς νηστείας πένησιν ἐπιχορηγεῖν. πᾶν μέντοι σάββατον ἄνευ τοῦ ἑνὸς καὶ πᾶσαν κυριακὴν ἐπιτελοῦντες συνόδους εὐφραίνεσθε. ἔνοχος γὰρ ἁμαρτίας ἔσται ὁ τὴν κυριακὴν νηστεύων, ἡμέραν ἀναστάσεως οὖσαν, * ἢ τὴν πεντηκοστήν, ἢ ὅλως * ἡμέ-

4 Ioh 3, 36 | 9 Reg γ 19, 8 | 10 Dan 10, 3 | 13 Reg α 1, 15 | 14 Ionas 3, 7 | 16 Esth 4, 16 | 17 Iudith 8, 6 | 18 Psalm 109, 24

1 κηρύσσομεν yzt | 2 ὑπηρετούμενον ... 3 δημιουργίαν > w in rasura | 4 ἀπηστοῦντες w | 4 καὶ + t | 4 ἀπειθῶν yzt | 5 ὄψετε z | 5 μένει t | 7 ἑβδομάδα μίαν w | 8 ἐκ xyzt, τοῦ w | 9 μωϋσῆς w | 11 ἔφαγε yzt | 11 κρέα w | 13 τὸν] τοῦ z | 13 μέθυσμα xyzt, σίκερα w | 13. 14 πέποκα wx | 14 ἐκχεῶι w | 14 μου > t | 14 καὶ > yz | 14. 15 νηνευῖται wx | 15 δὲ + yz | 17 Ιουδὴθ t | 17 νηστεύσαντες ante τὴν w | 19 ἠλοιώθη w | 20 ἔλεον yt | 20 νηστεύοντες yzt | 20 αἰτεῖσθαι wz | 20 τοῦ > w | 21 τὴν ἑβδομάδα > X | 22 τετράδαν Z | 22 πᾶσαν alterum > t | 23 περίσσιαν w | 24 χορηγεῖν x | 26 ἐστὶν w | 26 τῇ κυριακη w, ν bis eraso | 27 καὶ + W | 27 ἑορτῆς + x

ραν ἑορτῆς κυρίου κατηφῶν· εὐφρανθῆναι γὰρ δεῖ ἐν ταύταις, ἀλλ' οὐ πενθῆσαι.

S

Πρὸ πάντων φυλάσσεσθε, ὦ ἐπίσκοποι, τὰς δεινὰς καὶ χαλεπὰς καὶ ἀθεμίτους αἱρέσεις, φεύγοντες αὐτὰς ὡς πῦρ φλέγον τοὺς αὐτῷ πλησιάζοντας. φεύγετε δὲ καὶ τὰ σχίσματα. οὔτε γὰρ πρὸς ἀνοσίους αἱρέσεις θεμιτὸν ἐκκλῖναι τὸν νοῦν οὔτε τῶν ὁμογνωμόνων χωρίζεσθαι θεμιτὸν διὰ φιλαρχίαν. ταῦτα γὰρ καὶ τὸ παλαιόν τινες τολμήσαντες ἐπιχειρῆσαι οὐ διέφυγον τὴν τιμωρίαν. Δαθὰν γὰρ καὶ Ἀβειρὼν ἀντιπρόσωποι γενόμενοι Μωσεῖ κατεπόθησαν εἰς * γῆν, Κορὲ δὲ καὶ οἱ μετ' αὐτοῦ διακόσιοι πεντήκοντα * διαστασιάσαντες πυρὸς παρανάλωμα γεγόνασι, Μαρία δὲ * ὀνειδίσασα Μωσῆν ἔξω τῆς παρεμβολῆς ἀπεβλήθη ἑπτὰ ἡμέρας· εἶπε γὰρ ὅτι γυναῖκα Μωϋσῆς Αἰθιόπισσαν ἔλαβεν. οὐ μὴν δὲ ἀλλὰ καὶ Ἀζαρίας * καὶ Ὀζίας (οὗτος δὲ ἦν βασιλεὺς τοῦ Ἰούδα) κατατολμήσας τῆς ἱερωσύνης καὶ θυμιάσαι βουληθεὶς τὸ θυμίαμα, ὃ οὐ προσῆκον ἦν αὐτῷ, κωλυόμενος * ὑπὸ Ἀζαρίου τοῦ ἱερέως καὶ τῶν ὀγδοήκοντα ἱερέων καὶ μὴ ὑπακούσας, ἐξανέτειλε λέπραν ἐν τῷ μετώπῳ * καὶ ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν ὁ κύριος. | 2 προσέχωμεν οὖν, ἀγαπητοί, τί τὸ κλέος τῶν * στασιαστῶν καὶ ποταπὴ ἡ ἀπόφασις αὐτῶν. εἰ γὰρ ὁ βασιλεῦσιν ἐπεγειρόμενος κολάσεως ἄξιος, κἂν υἱὸς ᾖ κἂν φίλος, πόσῳ μᾶλ-

1 ἑορτῆς > x | 1 κατηφιῶν w | 1. 2 αὐταῖς yzt | 3 φυλάττεσθε x, φυλάσεσθε z | 4 ἀθεμίτους wxyz, ἀθεωτάτους t | 4 ὥσπερ yzt | 5 αὐτὸ w | 6 θεμητὸν x | 10 ἀβηρῶν w | 10 ἀντιπρόσωπον x | 19 μωσῆ γενόμενοι w | 10 μωσῆ yz | 10 τὴν + yz | 11 πεντίκοντα w | 11 τῶ Ἀαρὼν + yzt [ά yz] | 12 γεγόνασιν x | 12 ἐν ἄλλοις ὡς ἐλληνοκοίτην margo t | 13 ὠνειδήσασα x | 13 μωϋσῆν w, μωϋσεῖ y, μωϋσῆ z, μωσῆ t | 14 εἶπεν x, ἔλεγε yzt | 14 μωσῆς x | 14 αἰθιόπισσαν μωϋσῆς w | 14 αἰθεόπισσαν z, αἰθιόπισαν t | 15 ὁ + yz | 16 ἱεροσύνης w | 17 ἦν > t | 18 δὲ + w | 18 ἀζαρία xyz | 18 ἀρχιερέως yzt | 19 ἐξανέτειλεν x | 19 λέπρα w | 19 μετόπω w | 20 αὐτοῦ + w | 20. 21 προσέχωμεν wxt, ἴδωμεν yz, γρφ καὶ προσεχωμεν οὖν ἀγαπητοὶ τί τὸ κλέος margo y | 21 οὖν > yz | 21 κλέος wxt, τέλος yz | 21 litera erasa w | 21 στασιασάντων yz | 22. 23 ἐπεγειρόμενος wxt et margo y, ἐπισυνιστάμενος yz

*λον ὁ ἱερεῦσιν ἐπανιστάμενος; ὅσῳ γὰρ ἱερωσύνη βασιλείας ἀμείνων, περὶ ψυχῆς ἔχουσα τὸν ἀγῶνα, τοσούτῳ καὶ βαρυτέραν ἔχει τὴν τιμωρίαν ὁ ταύτῃ τολμήσας ἀντομματεῖν ἤπερ ὁ τῇ βασιλείᾳ. καίτοιγε οὐδὲ εἷς ἀτιμώρητος· οὔτε γὰρ ὁ Ἀβεσσαλὼμ καὶ Ἀβεδδαδὰν ἔμειναν ἀτιμώρητοι, οὔτε Κορὲ καὶ Δαθάν. οἱ μὲν γὰρ τῷ Δαβὶδ περὶ βασιλείας, οἱ δὲ τῷ Μωσεῖ περὶ * πρωτείων ἐπανέστησαν * ἁμιλλώμενοι· καὶ ἐκακολόγουν ὁ μὲν Ἀβεσσαλὼμ Δαβὶδ τὸν πατέρα * ὡς ἄδικον κριτήν, λέγων ἑκάστῳ Οἱ λόγοι σου * καλοί, καὶ οὐκ ἔστιν ὁ ἀκουσόμενός σου καὶ δικαιώσας σε· τίς με ποιήσει ἄρχοντα; ὁ δὲ Ἀβεδδαδὰν Οὐκ ἔστι μοι, φησί, μερὶς ἐν Δαβὶδ οὐδὲ κληρονομία ἐν υἱῷ Ἰεσσαί, δῆλον ὡς ἀναξιοπαθῶν ἄρχεσθαι ὑπὸ Δαβίδ, * περὶ οὗ εἶπεν ὁ θεὸς ὅτι Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου· ὁ δὲ Δαθὰν καὶ Ἀβειρὼν καὶ οἱ Κορεῖται λέγοντες * Μὴ μικρὸν ὅτι ἀνήγαγες ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ἐκ γῆς ῥεούσης μέλι καὶ γάλα; καὶ τί ὅτι ἐξέκοψας τοὺς ὀφθαλμοὺς ἡμῶν; καὶ σὺ ἄρχεις ἡμῶν; καὶ ἐπισυνέστησαν ἐπ' αὐτὸν ἐκκλησίαν μεγάλην· καὶ οἱ Κορεῖται Μὴ Μωσῇ λελάληκε μόνῳ ὁ θεός; * ὅτι τῷ Ἀαρὼν δέδωκε τὴν ἀρχιερωσύνην μόνῳ; οὐχὶ πᾶσα ἡ συναγωγὴ κυρίου ἁγία; καὶ τί ὅτι Ἀαρὼν ἱερατεύει μόνος; καὶ πρὸ τού-*

9 Reg β 15, 3. 4 | 11 Reg β 20, 1 | 13 Act 13, 22 | 16 Num 16, 13. 14 | 20 Num 12, 2 | 21 Num 16, 3

1 *ἱρεῦσιν* x | 2 *ἄμεινον* w | 2 *τοσοῦτον* w | 3 *ἔχει* Wxyzt, *ἔχειν* w | 3 *τὴν* > w | 3 *ὁ* Wxyzt, *τὸν* w | 3 *ταύτην* w | 3 *τολμήσαντα* w | 3 *ἀντομματεῖν* xt, *ἀντοφθαλμεῖν* yz, *τολμιτήν* w, sed *ι* in rasura | 4 *ἤπερ ... βασιλείᾳ* > w | 4 *ὁ τῇ*] *ὅτι* xyt | 5 *ὁ* > yzt | 5 *ἀβεσαλὼμ* y | 5 *Ἀβεδαδὰν* t | 5 *οὐδὲ* yzt | 7 *τῷ Μωσεῖ* > w | 7 *μωσῇ* yz, *Μωυσεῖ* t | 7 *τῶν* + w | 7 *τῶι μωυσῆι* + w | 8 *κακολογοῦντες* w | 8 *αὐτοῦ* + w | 9 *ἑκάστῳ* > yz | 9 *οὐ* manu recenti + super versum w | 10 *ἔστι* W | 10 *δικαιώσον* w | 11 *βεδδαδὰν* x, *Αβδαδὰν* t | 11 *ἔστιν* x | 11 *φησὶ* > Y, *φησὶν* x | 11 *μέρος* t | 12 *δῆλον ὡς* wxt, *τοῦτο δὲ ἔλεγεν* yz [*ἔλεγε* z] | 13 post rasuram sex literarum capacem + *ϊεσσαὶ* x | 13 *ὅτι* > w | 16 *κορεῖτε* w, *κορῖται* xy, quid subsit loco correcto in z nescio | 16 *μωσῇ* + yz, *Μωσεῖ* + t | 17 *τί* > x | 18 *ἄρχει* W | 19 *ἐπεσυνέστησαν* x | 19. 20 *κορῖται* xyz | 20 *μὴ μωσῆι μόνωι λελάληκεν ὁ θεὸς* w, *μὴ μωσῇ λελάληκεν ὁ θεὸς μόνῳ;* > x in textu, habet pr. m. in margine | 20 *Μωσεῖ* t | 20 *τί* + yzt | 20. 21 *δέδωκεν* x | 21 *ἀρχιεροσύνην* x

των ἄλλος τις ἔλεγε Τίς σε κατέστησεν ἄρχοντα καὶ δικα-
στὴν ἐφ' ἡμῶν; | καὶ ἐπανέστησαν Μωσεῖ τῷ τοῦ θεοῦ 3
θεράποντι, τῷ παρὰ πάντας πραοτάτῳ καὶ πιστῷ· * τὸν
τοιαῦτα παρὰ θεοῦ σημεῖα καὶ τέρατα τῷ λαῷ πεποιηκότα,
τὸν τὰ ἔνδοξά τε καὶ θαυμαστὰ ἔργα εἰς εὐεργεσίαν αὐτῶν τε-
τελεκότα, * τὸν τὴν ἐρυθρὰν θάλασσαν διῃρηκότα καὶ ὡς
τεῖχος τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν διαστήσαντα καὶ ὡς δι
ἐρήμου || ξηρᾶς τὸν λαὸν ἡγηοχότα καὶ βυθίσαντα Φαραὼ καὶ 4
τοὺς Αἰγυπτίους καὶ πάντας τοὺς παρ' αὐτῶν μετ' αὐτῶν,
τὸν γλυκάναντα πηγὴν αὐτοῖς μετὰ ξύλου καὶ ἐκ πέτρας
ἀκροτόμου προαγαγόντα αὐτοῖς ὕδωρ διψῶσι, τὸν ἐξ οὐρα-
νοῦ μαννοδοτήσαντα αὐτοῖς καὶ ἐξ ἀέρος κρεοδοτήσαντα *,
τὸν στῦλον πυρὸς ἐν νυκτὶ εἰς φωτισμὸν καὶ ὁδηγίαν παρε-
χόμενον αὐτοῖς καὶ στῦλον νεφέλης εἰς σκιασμὸν ἡμέρας διὰ
τὸν ἐξ ἡλίου φλογμόν, τὸν νόμον θεοῦ ἐκ στόματος καὶ χει-
ρὸς καὶ γραφῆς θεοῦ ἐν πλαξὶ λιθίναις κεκολαμμένον πα-
ρασχόμενον αὐτοῖς τελείου ἀριθμοῦ δεκάλογον, ᾧ ὁ θεὸς

1 Exod 2, 14

1 ἔλεγεν x | 2 ἡμᾶς wyz, γρφ καὶ ἐφ' ἡμῶν margo y | 2 μωϋσῆι w, μωσῆ yz | 3 καὶ ἠτίμασαν [ἠτίμησαν t] τὸν τηλικοῦτον ἄνδρα οἱ ἀχαριστότατοι [ὡ y] τὸν νομοθέτην, τὸν φύλακα, τὸν ἀρχιερέα καὶ βασιλέα, τὸν μύστην τῶν θείων, τὸν ὡς δημιουργὸν τὰς τοῦ δημιουργοῦ ἐπιδειξάμενον [ἐπιδειξάμενοι z] ἐνεργείας, τὸν πραότατον [ὡ y], τὸν ἀτυφώτατον [ὁ z], τὸν καρτερικόν, τὸν φιλανθρωπότατον [ὡ y], τὸν πολλῶν κινδύνων αὐτοὺς ἀπαλλάξαντα καὶ διαφόρων θανάτων [αὐτοὺς + t] ῥυσάμενον τῇ παρ' ἑαυτοῦ ὁσιότητι + yzt, sed lunulis inclusa y, addunt in margine adnotationem οὐδὲ ταῦτα κεῖται ἐν τοῖς λοιποῖς yz | 3 τὸν xyzt, τῶι w | 4 τοσαῦτα yzt | 4 πεποιηκότι w | 5 τὸν τὰ > x, τῶι τὰ w | 5 τε > yzt | 5. 6 τετελεκότι w | 6 τὸν ἐπ' αἰγυπτίους τὴν δεκάπληγον τοῦ θεοῦ ὀργὴν ἐπαγαγόντα + yz, τὸν ἐπ' αἰγυπτίους δεκάπληγον πεπληροκότα + t | 6 τὸν xyzt, τῶι w | 6 διηρηκότι w | 7 διαστήσαντι w | 8 ἡγηοχότι w, ἡγιοχότα x, ἀγηοχότα yzt, ἀγιοχότα Z | 8 βυθίσαντι w | 9 παρ' αὐτοῖς yz | 10 τῶι γλυκάναντι w | 10 μετὰ wx, διὰ yzt | 11 προαγαγόντι w | 11 αὐτοῖς προαγαγόντα yzt | 11 διψῶσιν τῶι w | 12 μανναδοτήσαντι w, μανοδοτήσαντα xt | 12 κρεοδοτήσαντι w, κρεωδοτήσαντα y, κρεδοτήσαντα z, κρεωλογήσαντα t, ἐν ἄλλοις κρεωδοτήσαντα margo t | 12 αὐτοῖς + Z | 13 τὸν xyzt, ὁ w | 13. 14 παρεχομένωι w | 14 σκιὰν yz | 15 τὸν xyzt, ὁ w | 16 πλαξὶν x | 16 κεκολλαμμένον w, κεκολαμμένων x | 16. 17 παρασχομένωι w | 17 ᾧ xyt, ὃ w, ὡς z

ἐνώπιος ἐνωπίῳ ὡμίλει, ὡσεί τις λαλήσει πρὸς τὸν ἑαυτοῦ
φίλον, περὶ οὗ εἶπε Καὶ οὐκ ἀνέστη προφήτης ὡς Μωσῆς,
τούτῳ ἐπανέστησαν οἱ Κορεῖται καὶ οἱ Ῥουβηλῖται, καὶ λίθους
ἔβαλον κατ' αὐτοῦ, Μωσέως προσευχομένου καὶ λέγοντος
Μὴ πρόσχῃς * εἰς τὴν θυσίαν αὐτῶν· καὶ ὀφθεῖσα ἡ δόξα
τοῦ θεοῦ τοὺς μὲν εἰς γῆν κατήνεγκε, τοὺς δὲ πυρὶ κατέ-
φλεξε, καὶ οὕτως τοὺς ἀρχηγοὺς τῆς πλάνης τοῦ σχίσματος
λέγοντας Δῶμεν ἀρχηγὸν ἑαυτοῖς, ἤνοιξεν ἡ γῆ τὸ στόμα
αὐτῆς καὶ κατέπιεν αὐτοὺς καὶ τὰς σκηνὰς αὐτῶν καὶ τὴν
ἀποσκευὴν αὐτῶν, καὶ κατήλθοσαν εἰς ᾅδου ζῶντες, τοὺς δὲ
4 Κορείτας ἀπώλεσεν διὰ πυρός. | εἰ οὖν τοῖς διὰ φιλαρχίαν
ἀποσχίσασιν παραυτίκα θεὸς ἐπήγαγε τὴν τιμωρίαν, πόσῳ
μᾶλλον τοῖς αἱρέσεων ἀσεβῶν καθηγησαμένοις; οὐ σφοδρο-
τέραν ἐπάξει τὴν τίσιν βλασφημοῦσιν αὐτοῦ τὴν πρόνοιαν
ἢ τὴν δημιουργίαν; ἀλλ' ὑμεῖς, ἀδελφοί, ἐκ τῆς γραφῆς
παιδευόμενοι, φυλάσσεσθε μὴ ποιεῖν τὰ σχίσματα τῆς γνώ-
μης μήτε μὴν τῆς ἑνώσεως αὐτῶν· ὅτι σκοποὶ ἀπωλείας οἱ
δόξης ἀθεμίτου ἄρξαντες καθίστανται τοῖς λαοῖς. ὁμοίως
καὶ οἱ λαϊκοί, τοῖς τῇ γνώμῃ τοῦ θεοῦ ἐναντία δογματίσασι
μὴ πλησιάζετε μηδὲ κοινωνοὶ τῆς ἀσεβείας αὐτῶν γίνεσθε·
λέγει γὰρ καὶ ὁ θεὸς Ἀποσχίσθητε ἐκ μέσου τῶν ἀνδρῶν
τούτων, ἵνα μὴ συναπόλησθε αὐτοῖς· καὶ πάλιν Ἐξέλθετε
ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, * καὶ ἀκαθάρτου μὴ
5 ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς. | φευκτέοι γάρ εἰσιν ὡς
ἀληθῶς οἱ βλασφημοῦντες θεόν· οἱ μὲν γὰρ πλεῖστοι τῶν

2 Deut 34, 10 | 5 Num 16, 15 | 8 Num 14, 4 | 21 Num 16, 26 | 22 Cor β 6, 17

1 ὁμειλη w, ὁμίλει t | 1 λαλῆσαι yzt [ή zt] | 1 τὸν > yzt | 2 εἶπεν xyt | 2 καὶ wxt, ὅτι yz | 3 κορῖται xyz | 3 ρουβιλῖται w | 4 ἔβαλλον zt | 4 κατ' αὐτοῦ wxyz, κατὰ τοῦ t deleta virgula sequenti | 4 μωϋσέως w | 5 πρόσσχῃς yz | 5 κύριε + w | 5 ὠφθεῖσα w | 6 κατήνεγκεν x | 6. 7 κατέφλεξεν x | 7 οὕτω yzt | 8 ἤνυξεν w | 10 κατῆλθον yzt | 11 κορίτας xyz | 11 ἀπόλεσεν w, ἀπώλεσε yt, ἀπόλεσε z | 12 ἀποσχίσασι yz | 12 ἐπήγαγεν x | 14 βλασφημούσαις x | 16 μὴ > w | 16 τὰς z | 16 τῆς ... 17 μὴν > yz | 17 αὐτῶν wx, ὑμῶν yzt | 17 ἀπολείας W | 19 δογματίσασιν x | 20 ἀσεβείας xyzt, ἀπωλείας w | 21 καὶ wx, > t, που περὶ αὐτῶν yz | 23 καὶ prius > t | 23 λέγει κύριος + yzt | 24 ἅπτεσθαι w | 24 φευκταίοι wt [ὶ t] | 24 γάρ .. 25 ἀληθῶς wxt, οὖν ἔστωσαν πᾶσιν yz | 25 πλήστοι w

ἀσεβῶν ἄγνοιαν ἔχουσι θεοῦ, οὗτοι δὲ κακόνοιαν ὡς θεομάχοι νοσοῦσιν· ἐκ γὰρ τῆς κακίας τῶν αἱρεσιωτῶν ἐξῆλθε μόλυσμα ἐπὶ πᾶσαν τὴν γῆν, ὥς φησιν Ἱερεμίας ὁ προφήτης. ἀποβληθείσης γὰρ τῆς συναγωγῆς τῆς πονηρᾶς ὑπὸ κυρίου τοῦ θεοῦ καὶ τοῦ οἴκου ἀπορριφέντος ὑπ' αὐτοῦ, καθώς * που φησὶν Ἐγκαταλέλοιπα τὸν οἶκόν μου καὶ * τὴν κληρονομίαν μου· καὶ πάλιν * Ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ οὐδ' οὐ μὴ σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι ὑετὸν εἰς αὐτόν. ἐγκαταλιπὼν οὖν τὸν λαὸν * ὡς σκηνὴν ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, * ὡς πόλιν πολιορκουμένην, περιελὼν δὲ * αὐτῶν καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ τὸν προφητικὸν ὑετόν, ἐπλήρωσε τὴν αὐτοῦ ἐκκλησίαν πνευματικῆς χάριτος ὡς ποταμὸν Αἰγύπτου ἐν ἡμέραις νέων, καὶ ὕψωσεν αὐτὴν ὡς οἶκον ἐπ' ὄρους ἢ ὡς ὄρος ὑπερφερὲς, ὡς ὄρος τετυρωμένον καὶ * ὄρος πῖον *, ἐν ᾧ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος. καὶ ἐν τῷ Ἱερεμίᾳ λέγει Θρόνος δόξης ὑψωμένος ἁγίασμα ἡμῶν, καὶ ἐν * Ἡσαΐᾳ λέγει * Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρου τῶν ὀρέων, καὶ ὑψωθήσεται ἐπάνω τῶν βουνῶν. ἐπεὶ οὖν καὶ τὸν λαὸν ἐγκατέλιπε καὶ τὸν ναὸν ἀφῆκεν ἔρημον, σχίσας τὸ καταπέτασμα * καὶ λαβὼν ἀπ' αὐτῶν τὸ πνεῦμα τὸ ἅγιον·

2 Hierem 23, 15 | 6 Hierem 12, 7 | 7 Isaj 5, 6 | 11 Isaj 1, 8 | 14 apocryphum | 16 Psalm 68, 16. 17 | 19 Hierem 17, 12 | 20 Isaj 2, 1. 2 | 23 Matth 27, 51

1 ἔχουσιν x | 2 νοσοῦσι w | 2 γὰρ > yz | 2 ἐξῆλθεν x | 3 ἱηρεμίας x | 6 αὐτός + yz | 6 ἐγκαταλέλυπα w | 6 καὶ > yzt | 6 ἀφῆκα + yzt | 7 Ἡσαίας + t | 8 οὐδεμὴ x, οὐδὲ μὴ yz | 9 ἀκάνθες w | 10 βρέξε z | 10 εἰς αὐτὸν ὑετὸν yzt | 10 ἐγκαταλίπω w, ἐγκαταλειπὼν x, ἐγκαταλειπῶν z | 11 μου + w | 11 ὠποροφυλάκιον x, ὀποροφυλάκιον y | 12 συκυηλάτωι w, σικυηράτω z, συκηλάτω t | 12 καὶ + t | 12 ἀπ' + yzt | 13 καὶ alterum > yz | 14 ἐπλήρωσεν x | 15 ὕψωσεν wxYz, ὕψωσε W, ὑπερύψωσεν yt | 17 ὡς + x | 17 ὄρος + yz | 18 καὶ ... τέλος > Yz | 19 ἱηρεμία x | 19 θρόνος ... 20 λέγει > Yz | 19 ὑψώμενος w, accentu caret y | 20 τῶι + w | 20 καὶ + t | 21 ὄρις t | 21 ἄκρον yz, ἄκρων t | 22 ὑπεράνω yzt | 23 ἐγκαταλέλειπεν x, ἐγκατέλειπε yz | 23 ἀφῆκε W | 24 τοῦ ναοῦ + yzt

*Ἰδοὺ γάρ, φησίν, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, καὶ δοὺς ἐφ' ὑμᾶς τοὺς ἐξ ἐθνῶν τὴν πνευματικὴν χάριν, ὡς λέγει διὰ Ἰωὴλ Καὶ ἔσται μετὰ ταῦτα, λέγει ὁ θεός, καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. πᾶσαν γὰρ δύναμιν λόγου καὶ ἐνέργειαν καὶ τὴν τοιάνδε ἐπισκοπὴν ἀπάρας ὁ θεὸς ἐκ τοῦ λαοῦ, εἰς ὑμᾶς τοὺς ἐξ ἐθνῶν ἔθετο· διὰ γὰρ τοῦτο ζηλώσας καὶ ὁ διάβολος τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν μετέστη εἰς ὑμᾶς, ἐπεγείρας ὑμῖν θλίψεις, διωγμούς, ἀκαταστασίας, βλασφημίας, σχίσματα, αἱρέσεις. ἐκεῖνον γὰρ τὸν λαὸν διὰ τῆς χριστοκτονίας εἰς ἑαυτὸν ὑπηγάγετο, ὑμᾶς δὲ ἀποστάντας αὐτοῦ τῆς ματαιότητος ἄλλοτε ἄλλως πειράζει, ὡς καὶ τὸν μακάριον Ἰώβ. καὶ γὰρ καὶ τῷ μεγάλῳ ἀρχιερεῖ Ἰησοῦ τῷ τοῦ Ἰωσεδὲκ ἀντέκειτο, καὶ ἡμᾶς πολλάκις ἐξῃτήσατο ἐξυδαρωθῆναι, ὅπως ἐκλείπῃ ἡ πίστις ἡμῶν· ἀλλ' ὁ ἡμέτερος κύριος καὶ διδάσκαλος, ἐν δίκῃ καταστήσας αὐτόν, ἔλεγεν αὐτῷ Ἐπιτιμήσαι κύριός * σοι, διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο τὸ ἐξεσπασμένον ὡς δαλός; καὶ ὁ εἰπὼν τότε τοῖς παρεστῶσι τῷ ἀρχιερεῖ Περιέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ, καὶ ἐπειπὼν Ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου ἀπὸ σοῦ, οὗτος ἐρεῖ καὶ νῦν, ὡς καὶ πάλαι, συνηθροισμένων ἡμῶν, ἔλεγε περὶ ἡμῶν ὅτι*
*6 Ἐδεήθην ἵνα μὴ ἐκλίπῃ ἡ πίστις ὑμῶν. | εἶχε μὲν οὖν καὶ*
*ὁ ἰουδαϊκὸς ὄχλος αἱρέσεις κακίας· καὶ γὰρ καὶ Σαδδουκαῖοι*

1 Matth 23, 38 | 3 Ioel 3, 1 | 18 Zach 3, 2 | 22 Zach 3, 4 | 25 Luc 22, 32

1 *ὑμῖν* > wyz | 2 *καὶ δοὺς* wxt, *ἔπεμψεν* yz | 2 *ἡμᾶς* w | 3 *ἰωήν* z | 3 *λέγει* alterum ... 4 *ἐπὶ* > z | 3 *καὶ* alterum > wy | 4 *ἐκχεῶι* w | 5 *θυγατέραις* x | 6 *ἐνύπνια* > x | 7 *γὰρ* > w, *οὖν* yz | 7. 8 *τοιάδε* w | 8 *ἄρας* Yz | 9 *ζηλώσας* ... 10 *θεοῦ* > z | 12 *γὰρ* wxt, *μὲν οὖν* yz | 13 *ἑαυτὸν* > y, idem in margine *εἰς ἑαυτὸν* [sic] | 15 *καὶ* > yzt | 15 *ἐν ἄλλῳ βραχὺ ἀντέκειτο* margo t | 16 *ἐξῃτήσατος* z | 16 *ἐξυδαρωθῆναι* wxt, *σινιάσαι* yz | 16 *ὅπως* .... 17 *ἡμῶν* > yz | 17 *ἐκλίπῃ* t | 19 *σοι κύριος* w | 19 *ἐν* + yzt | 20 *τὸ* > yzt | 20 *ἐξεσπαμένον* w | 21 *παρεστῶσιν* x | 22 *περίελε* w | 23 *ἀφείρηκα* w | 23 *σου* prius > W | 23 *οὕτως* w | 24 *ἔλεγεν* xt | 25 *ἐκλείπῃ* x | 25 *εἶχεν* x | 26 *κακίας* > Y

ἐξ αὐτῶν οἱ μὴ ὁμολογοῦντες νεκρῶν ἀνάστασιν, καὶ Φαρι-
σαῖοι οἱ τύχῃ καὶ εἱμαρμένῃ ἐπιγράφοντες τὴν τῶν ἁμαρ-
τανόντων πρᾶξιν, καὶ Μασβωθαῖοι οἱ πρόνοιαν ἀρνούμενοι,
* ἐξ αὐτομάτου δὲ φορᾶς λέγοντες τὰ ὄντα συνεστάναι καὶ
ψυχῆς τὴν ἀθανασίαν περικόπτοντες, καὶ ἡμεροβαπτισταί,
οἵτινες, καθ' ἑκάστην ἡμέραν ἐὰν μὴ βαπτίσωνται, οὐκ
ἐσθίουσιν, ἀλλὰ καὶ τὰς κλίνας καὶ τοὺς πίνακας ἤτοι κρα-
τῆρας καὶ ποτήρια καὶ καθίσματα ἐὰν μὴ καθάρωσιν ὕδατι,
οὐδενὶ χρῶνται, καὶ οἱ ἐφ' ἡμῶν νῦν φανέντες Ἐβιωναῖοι,
* τὸν υἱὸν τοῦ θεοῦ ψιλὸν ἄνθρωπον εἶναι βουλόμενοι, ἐξ
ἡδονῆς ἀνδρὸς καὶ συμπλοκῆς Ἰωσὴφ καὶ Μαρίας αὐτὸν
γεννῶντες· οἱ δὲ τούτων πάντων ἑαυτοὺς χωρίσαντες καὶ
τὰ πάτρια φυλάσσοντές εἰσιν Ἐσσαῖοι. ταῦτα μὲν οὖν ἐν
τῷ προτέρῳ λαῷ, καὶ νῦν * ὁ πονηρός, σοφὸς ὢν τοῦ κακο-
ποιῆσαι καὶ τὸ καλὸν ὅ,τι ποτέ ἐστιν ἀγνοῶν, ἐξ ἡμῶν τι-
νας ἐκβαλὼν ἐνήργησεν ἐν αὐτοῖς αἱρέσεις καὶ σχίσματα.
| ἡ δὲ καταρχὴ τῶν νέων αἱρέσεων γέγονεν οὕτως. Σίμωνά 7
τινα ἀπὸ Γιτθῶν οὕτω καλουμένης κώμης Σαμαρέα, τὴν
τέχνην μάγον, ἐνδυσάμενος * ὁ διάβολος ὑπηρέτην αὐτοῦ τῆς
μοχθηρᾶς γνώμης ἐποιήσατο· ἡνίκα δὲ Φίλιππος ὁ συνα-
πόστολος ἡμῶν τῇ τοῦ κυρίου δόσει καὶ τῇ τοῦ πνεύμα-
τος αὐτοῦ ἐνεργείᾳ δυνάμεις * ἐπετέλει ἐν Σαμαρείᾳ, ὡς
καταπλαγέντας τοὺς Σαμαρεῖς εἰς πίστιν ἐλθεῖν τοῦ τῶν
ὅλων θεοῦ καὶ τοῦ κυρίου Ἰησοῦ * καὶ βαπτίσασθαι εἰς τὸ
ὄνομα αὐτοῦ, ἤδη δὲ καὶ αὐτοῦ τοῦ Σίμωνος σημεῖα καὶ
τέρατα θεασαμένου ἄνευ μαγγανείας τινὸς γοητικῆς ἐπιτε-

1. 2 φαρισσαῖοι y | 2 τύχῃ καὶ εἱμαρμένῃ > w | 3 Μασβωθαῖοι L Cotelerium sequutus: vide Buxtorf lex chald 2324: βασμοθέοι w, βασμοθαῖοι x, βαςμόθεοι yz [σ z], Βασμώθεοι t | 4 καὶ + yz | 4 δὲ > yz | 5 ψυχ ς duabus literis erasis W | 5 περιγράφοντες yz | 6 βαπτίσονται wx | 9 ἐβϊαιναῖοι Z, ω superscripsit z | 10 οἱ + y super versum | 11 αὐτῶν x | 12 χωρήσαντες w | 13 φυλάττοντες x | 13 αἰσσαίοι x | 14 δὲ + wyz | 15 ἐστιν > X | 17 οὕτω yz | 17. 18 σίμωνατινάτινα X | 18 γιθῶν w, γιθθῶν x | 18 κόμης w | 18. 19 τῇ τέχνῃ yzt | 19 μάγος w, μάγων y | 19 οὖν αὐτὸν + w | 19 ἑαυτοῦ x | 19. 20 τῆς μοχθηρᾶς αὐτοῦ w | 20 super μοχθηρᾶς scr ἑαυτοῦ y | 20 δὲ > w | 20 φίλιπτος w | 21 δώσει xy | 21 τῇ alterum > W | 22 ἰαμάτων + yzt | 24 χριστοῦ + y | 25 ἤδη ... Σίμωνος wxt, ἀλλὰ καὶ αὐτὸν τὸν σίμωνα yz | 26 θεασάμενον yz | 26 μαγγανίας wx

*λούμενα καὶ εἰς θαῦμα καταπεσόντος καὶ πιστεύσαντος καὶ βαπτισθέντος καὶ προσκαρτεροῦντος τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, ἀκούσαντες * ἡμεῖς τὴν χάριν τοῦ θεοῦ τὴν ὑπάρξασαν * Σαμαρεῦσιν διὰ Φιλίππου, παρεγενόμεθα πρὸς αὐτοὺς καὶ πολὺ συμβαλλόμενοι τῷ λόγῳ τῆς διδασκαλίας, πᾶσι τοῖς βεβαπτισμένοις ἐπιθέντες τὰς χεῖρας εὐχαῖς τὴν τοῦ πνεύματος μετουσίαν ἐδωρούμεθα. ἰδὼν δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἡμῶν δίδοται τὸ πνεῦμα τοῖς πιστεύουσι, λαβὼν χρήματα προσήνεγκεν ἡμῖν λέγων Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα κἀγὼ ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ πνεῦμα ἅγιον, βουλόμενος, ὡς τὸν Ἀδὰμ τῇ γεύσει τοῦ ξύλου τῆς κατ' ἐπαγγελίαν ἀθανασίας ἐστέρησεν *, οὕτως καὶ ἡμᾶς τῇ λήψει τῶν χρημάτων θέλξας τῆς δόσεως τοῦ θεοῦ περιγράψαι, * ὅπως * ἀντικαταλλαξάμενοι * ἀποδώμεθα αὐτῷ χρημάτων τὴν ἀτίμητον τοῦ πνεύματος δωρεάν. πάντων δὲ ἡμῶν ἐπὶ τούτῳ ταραχθέντων, ἀτενίσας ἐγὼ Πέτρος εἰς τὸν ἐν αὐτῷ κακοῦργον ὄφιν εἶπον τῷ Σίμωνι Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστι σοι μερὶς ἐν τῷ λόγῳ τούτῳ οὐδὲ κλῆρος ἐν τῇ πίστει ταύτῃ, ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ· μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης καὶ δεήθητι τοῦ θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου·*

9 Act 8, 19 | 18 Act 8, 20—23

1 *καὶ* primum > yz | 1 *καταπεσόντος* ... 2 *καὶ* prius wxt, *ἐλθεῖν καὶ πιστεῦσαι καὶ βαπτισθῆναι καὶ δέξασθαι* yz [*δέξασθε* z] | 2. 3 *προσευχῇ* xyzt, *δεήσει* w | 3 *οὖν* + yz | 4 *τοῖς* + w | 4 *σαμαρεῦσι* yzt | 5 *πολλὺ* t | 5 *πᾶσιν* x | 6 *ἐπιτιθέντες* yzt | 7 *μετουσίαν* wxt, *χάριν* yz | 7 *ὁ* > Yzt | 8. 9 *πιστεύουσιν* x | 10 *ἂν* wxYz, *ἐὰν* y | 10 *τὴν χεῖρα* yzt | 11 *λαμβάνει* wx | 11. 12 *ἡ γεῦσις* w | 12 *ὁ διάβολος* + yzt | 13 *οὗτως* W? *οὗτος* w, *οὕτω* yzt | 13 *λείψει* Z | 13 *θέλξας* wxt, *ἀπατήσας* Y, *ἀπατήσῃ* y, *ἐπατήσας* z | 14 *περιγράψαι* xt, *περιδράξεται* w, sed *δράξε* in rasura manu recenti, *στερῆσαι* yz | 14 *ὑπὸ τοῦ διαβόλου τοίνυν καὶ ὁ σίμων κινηθεὶς προσήνεγκε τὰ χρήματα* + yz, sed y lunulis inclusit | 14 *ἀπατηθέντες* + yz | 14 *ἀνταλλαξώμεθα* y, *ἀντικαταλλαξώμεθα* z | 14 *καὶ* + yz | 14. 15 *ἀποδόμεθα* xyz | 15 *χρημάτων αὐτῷ* yz | 15 *χρημάτων* > w | 16 *ἐπὶ τούτῳ* > w | 16 *τοῦτο* yz | 17 *ἐν* > z | 19 *ἐνόμησας* w | 19 *ἔστιν* x | 23 *θεοῦ* wx, *κυρίου* yt, de z nihil notavi

εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.
ἀλλὰ τότε μὲν ὁ Σίμων ἔμφοβος γενόμενός φησι Παρακαλῶ *,
δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν κύριον, ὅπως μηδὲν ἐπέλθῃ
ἐπ' ἐμὲ ὧν εἰρήκατε, | ἡνίκα δὲ ἐξήλθομεν ἐν τοῖς ἔθνεσι 8
κηρύσσειν εἰς τὸν κόσμον τὸν λόγον τῆς ζωῆς, τότε ἐνήρ-
γησεν ὁ διάβολος εἰς τὸν λαόν, ἀποστεῖλαι ὀπίσω ἡμῶν ψευ- 10
δαποστόλους εἰς βεβήλωσιν τοῦ λόγου· καὶ προεβάλοντο Κλεό-
βιόν τινα καὶ παρέζευξαν τῷ Σίμωνι· οὗτοι δὲ μαθητεύουσι
Δοσιθέῳ τινί, ὃν * παρευδοκιμήσαντες ἐξώσαντο τῆς ἀρχῆς·
εἶτα καὶ ἕτεροι ἑτέρων κατῆρξαν ἐκτόπων δογμάτων, Κήριν-
θος καὶ Μάρκος καὶ Μένανδρος καὶ Βασιλείδης καὶ Σατορ-
νῖλος. τούτων οἱ μὲν πολλοὺς θεούς, οἱ δὲ τρεῖς ἐναντίους,
ἀνάρχους, ἀεὶ συνόντας ἑαυτοῖς, οἱ δὲ ἀπείρους καὶ ἀγνώ-
στους δοξάζουσι· καὶ οἱ μὲν τὸν γάμον ἀθετοῦσιν, οὐκ εἶναι
τοῦ θεοῦ ἔργον δοξάζοντες, ἄλλοι δέ τινα τῶν βρωμάτων
βδελύσσονται καὶ ἀναίδην ἐκπορνεύουσιν, οἷοι * οἱ νῦν ψευ-
δώνυμοι Νικολαῖται. ὁ μὲν οὖν Σίμων ἐμοὶ Πέτρῳ πρῶτον μὲν
ἐν Καισαρείᾳ τῇ Στράτωνος, ἔνθα Κορνήλιος ὁ πιστὸς ἐπί-
στευσεν ὢν ἐθνικὸς ἐπὶ τὸν κύριον Ἰησοῦν δι' ἐμοῦ, συντυχών
μοι ἐπειρᾶτο διαστρέφειν τὸν λόγον τοῦ θεοῦ, συμπαρόν-
των μοι * τῶν ἱερῶν * τέκνων, Ζακχαίου τοῦ ποτε τελώνου καὶ
Βαρνάβα καὶ Νικήτου καὶ Ἀκύλα ἀδελφῶν Κλήμεντος τοῦ
Ῥωμαίου ἐπισκόπου τε καὶ πολίτου, μαθητεύσαντι δὲ καὶ
Παύλῳ τῷ συναποστόλῳ ἡμῶν καὶ συνεργῷ ἐν τῷ εὐαγγε-
λίῳ· καὶ τρίτον * ἐπ' αὐτῶν διαλεχθεὶς αὐτῷ εἰς τὸν περὶ

2 Act 8, 24

1 ὁρῶ wx, θεωρῶ yzt | 2 $\overline{\varphi\eta}$ w, φησίν x, εἶπεν yz | 2 παρακαλῶ > Yz | 2 οὖν ὑμᾶς + w | 3 ἐμοῦ ... ἐπέλθῃ > z | 4 ἔθνεσιν x | 5 κηρύσσει z | 5 εἰς τὸν κόσμον > yzt | 7 προέβαλλοντο w | 7. 8 κλέοβιν yz | 8 μαθητεύουσιν xt | 9 καὶ + yzt | 11 καὶ quater > yz | 11. 12 ἐν ἄλλῳ στρατόνικος margo t | 14 δοξάζουσιν x | 14 ἀθετοῦσι w | 14 οὐκ xyzt, μὴ w | 15 δοξάζοντες > w | 16 βδελλύσσονται w | 16 καὶ wx, οἱ δὲ yzt | 16 ἀναιδῶς w | 16 ἐκπορεύουσιν W, πορνεύουσιν yz | 16 οἷοι] οἱ z | 16 εἰσὶν + w | 16. 17 ψευδώνοιμοι w | 17 κολαῖται Y | 17 μὲν οὖν wx, μέντοι yzt | 17 μὲν fin > Yzt | 18 τῆς wyz | 18 ὁ πιστὸς > w | 18. 19 ἐπίστευεν z | 19 ἐθνηκὸς ὢν w, ὁ ἐθνικὸς y, ὡς ἐθνικὸς z | 19 συντοιχῶν x | 21 καὶ + w | 21 μου + w | 21 ζακχαίος ὁ w | 21 τελώνης w | 22 βαρνάβας w | 22 νικήτις w | 22 ἀκύλα Wxyzt, ἀκύλας w | 22 ἀδελφοὶ w | 23 ῥωμαίων yzt | 23 μαθητευθέντος yzt: margo y γρφ καὶ μαθητευθέντι | 23 καὶ alterum > w | 25 καὶ > yz | 25 οὖν + yz

προφήτου λόγον καὶ περὶ θεοῦ μοναρχίας, ἡττήσας αὐτὸν
δυνάμει τοῦ κυρίου καὶ εἰς ἀφωνίαν καταβαλὼν φυγάδα
9 κατέστησα εἰς τὴν Ἰταλίαν. | * γενόμενος δὲ ἐν Ῥώμῃ *
πολὺ τὴν ἐκκλησίαν ἔσκυλε, πολλοὺς ἀνατρέπων καὶ ἑαυτῷ
περιποιούμενος, τά τε ἔθνη ἐξιστῶν μαγικῇ τέχνῃ καὶ δαιμό-
νων ἐνεργείᾳ, ὡς καὶ ποτὲ μέσης ἡμέρας προελθὼν εἰς τὸ
θέατρον αὐτῶν, κελεύσας τοῖς δήμοις ἁρπαγῆναι κἀμέ, ἐν τῷ
θεάτρῳ ἐπηγγέλλετο * πτῆναι δι' ἀέρος. πάντων δὲ ἐπὶ τού-
τῳ μετεώρων τυγχανόντων, ἐγὼ προσηυχόμην καθ' ἑαυτόν·
καὶ δὴ μετεωρισθεὶς ὑπὸ δαιμόνων ἵπτατο μετάρσιος εἰς ἀέρα,
λέγων εἰς οὐρανοὺς ἀνιέναι κἀκεῖθεν αὐτοῖς τὰ ἀγαθὰ ἐπι-
χορηγεῖν· τῶν δὲ δήμων ἐπευφημούντων * ὡς θεόν, ἐκτεί-
νας ἐγὼ τὰς χεῖρας εἰς οὐρανὸν ἐν αὐτῇ διανοίᾳ * ἱκέτευον
τὸν θεὸν διὰ Ἰησοῦ τοῦ κυρίου ῥῆξαι τὸν λυμεῶνα καὶ τὴν
ἰσχὺν τῶν δαιμόνων περικόψαι ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ τῶν
ἀνθρώπων κεχρημένων αὐτήν, ῥίψαντα δὲ μὴ θανατῶσαι,
ἀλλὰ * συντρίψαι. καὶ ὑπολαβών, ἀτενίσας εἶπον τῷ Σίμωνι Εἰ
θεοῦ ἄνθρωπος ἐγώ, ἀπόστολος δὲ Ἰησοῦ χριστοῦ ἀληθὴς
καὶ διδάσκαλος εὐσεβείας ἀλλ' οὐ πλάνης, οἷος * σὺ Σίμων,
προστάσσω * ταῖς πονηραῖς δυνάμεσιν τοῦ τῆς εὐσεβείας ἀπο-
στάτου, ἐφ' αἷς ὀχεῖται Σίμων ὁ μάγος, ἀφεῖναι τῆς κρα-

18 Tim α 6, 11

2 καὶ ... καταβαλὼν > Yz | 3 κατέστησεν Yz | 3 wxy exhibent rubricam, qua haec a Clemente Hegesippo Iustino Irenaeo narrari dicuntur | 3 ἐκεῖνος + yz | 3 δὲ γενόμενος yz | 3 ὁ σίμων + w | 4 ἔσκυλεν x, ἔσκυλλε y, ἔσκυλλες z | 4 ἀνατρέπων πολλοὺς w | 5 τε wx, δὲ yzt | 5 ἐξιστάνων w, ἐκστάνων x, γρ καὶ ἐκστάν... margo y | 5 τέχνῃ ... 6 ἐνεργείᾳ wx, ἐμπειρία yzt | 6 τὸ > w | 7 θέατρων W? | 7 κελεῦσαι yz | 7 ἁρπαγῆναι wxt, ἑλκυσθῆναι yz | 8 γὰρ + yz | 8. 9 ἐπὶ τούτω xyzt [sed x post μετεώρων], ἐπὶ τοαυτὸ w | 9 μετεώρων τυγχανόντῳν xyzt, συνελθόν των tribus literis erasis w | 9 προσευχόμην Z | 9 κατ' ἐμαυτὸν yz | 11. 12 ἐπιχορηγήσειν yzt | 12 του δὲ δῆμου w | 12 εὐφημούντων w | 12 αὐτὸν + w | 13 εἰς οὐρανὸν > X | 13 οὐρανοὺς w | 13 ἐν αυτῆ x, ἐν τῆι w, σὺν αὐτῆ yzt | 13 μου + w | 13 ἱκέτευων w | 14 ῥάξαι y, ῥύξαι z | 15 ἐπὶ yz | 15 τῶν alterum > yzt | 16 αὐτῆ yzt | 16 ῥίψαντα w, ρίψαν x, ῥάξαντα yt, ῥύξαντα z, ἐν ἄλλω ρήξαντα margo t | 17 μόνον + w | 17 τῷ Σίμωνι > w | 19 πλάνος yz | 19 ἦν + w | 19 σὺ erasum in w, > Yz | 20 προστάσω W | 20 ἐνονόματι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὑμῖν + w, sed ὑμῖν super versum | 20 δυνάμεσι yzt | 21 ἐπ W | 21 ἀφῆναι w, ἀφ W

τήσεως *, ὅπως ἐξ ὕψους κατενεχθῇ * εἰς γέλωτα * τῶν ἀπατηθέντων ὑπ᾽ αὐτοῦ. καὶ εἰπόντος μου ταῦτα, περικοπεὶς τῶν * δυνάμεων ὁ Σίμων κατηνέχθη μετὰ μεγάλου ἤχου καὶ ῥαγεὶς ἐξαίσιον συντρίβεται τὸ ἰσχίον καὶ τῶν ποδῶν τοὺς ταρσούς. καὶ φωνὴ τῶν ὄχλων λέγουσα Εἷς * θεός, ὃν Πέτρος δικαίως καταγγέλλει τῇ ἀληθείᾳ μόνον· καὶ πολλοὶ ἀπέστησαν ἀπ᾽ αὐτοῦ, τινὲς δὲ ἄξιοι τῆς ἀπωλείας αὐτοῦ ὄντες παρέμειναν αὐτοῦ τῇ μοχθηρᾷ διδασκαλίᾳ. καὶ οὕτως πρώτη ἐπάγη ἡ τῶν Σιμωνιανῶν ἀθεωτάτη αἵρεσις ἐν Ῥώμῃ, καὶ διὰ τῶν λοιπῶν * ψευδαποστόλων ἐνήργει ὁ διάβολος. | 10 τούτοις δὲ πᾶσιν ἐπ᾽ ἴσης σκοπὸς ἦν εἷς καὶ ὁ αὐτὸς ἀθεότητος, τὸν μὲν παντοκράτορα θεὸν βλασφημεῖν, ἄγνωστον δοξάζειν καὶ μὴ εἶναι πατέρα * χριστοῦ μήτε τοῦ κόσμου * δημιουργόν, ἀλλ᾽ ἄλεκτον, ἄρρητον, ἀκατονόμαστον, αὐτογένεθλον· νόμῳ καὶ προφήταις μὴ χρᾶσθαι· πρόνοιαν μὴ εἶναι, ἀνάστασιν μὴ πιστεύειν, κρίσιν μὴ εἶναι καὶ ἀνταπόδοσιν, ψυχὴν ἀθάνατον μὴ ὑπάρχειν· ἡδονῇ χαίρειν μόνῃ καὶ πρὸς πᾶσαν θρησκείαν ἀδιαφόρως ἐκκλίνειν. οἱ μὲν γὰρ πλείους θεοὺς εἶναι λέγουσιν, οἱ δὲ τρεῖς ἀνάρχους, οἱ δὲ δύο ἀγεννήτους, οἱ δὲ αἰῶνας ἀπείρους· καὶ οἱ μὲν αὐτῶν ἀγαμίαν διδάσκουσι καὶ κρεῶν ἀποχὴν καὶ οἴνου, βδελυκτὰ εἶναι λέγοντες * καὶ γάμον καὶ παίδων γέννησιν καὶ βρωμάτων μετάληψιν, ἵνα ὡς σεμνοί τινες τὴν πονηρὰν αὐτῶν γνώμην

1 αὐτὸν + w | 1 ἐνώπιον πάντων + w | 1 καὶ ὀνειδισμὸν + w | 2 περικοπεὶς wxt, ἐναφεθεὶς yz | 3 πονηρῶν + w | 3 ἤχους x | 3 ῥαγεὶς w | 4 ἐν ἄλλω πτῶμα ἐξαίσιον margo t | 4 ἐξέσιον w | 4 συνετρίβη w | 4 τὸ ... ποδῶν xyzt, τοὺς πόδας καὶ τῶν χειρῶν w | 5 καὶ ... θεός wxt [v mox], εὐθὺς οὖν φωνὴ αἴρεται ἐκ τῶν ὄχλων εἷς θεὸς λέγουσα yz | 5 τοῦ ὄχλου w | 5 ὁ + t | 6 καταγγέλλη w | 6 μόνον > w, μόνος yz | 7 τινὲς wxt, οἱ yz | 8 οὕτω yzt | 8 πρῶτον yz | 9 ἀθεοτάτη w | 10 δὲ + yz | 11 ὁ > w | 11 ἀθεότατος correxit manus recentissima in w | 13 τοῦ + yzt | 13 μηδὲ yzt | 13 δοξάζειν + Y | 14 ἄλλεκτον y | 16 ἀνάστασιν ... ἀνταπόδοσιν vide mox] μηδὲ ἀνάστασιν πιστεύειν [πιστ″ in margine y] κρίσιν μὴ εἶναι [μὴ εἶναι in margine y] καὶ ἀνταπόδοσιν μὴ κεῖσθαι yz, sed z non habet quae y in margine scripta exhibet | 16 πιστεύειν wt, ὁμολογεῖν x | 16 κρίσιν ... ἀνταπόδοσιν > w, μὴ εἶναι post ἀνταπόδοσιν x | 18 γὰρ wxt, οὖν yz | 19 εἶναι θεοὺς t | 19 λέγουσι W | 19. 20 ἀγενήτους x | 21 διδάσκουσιν x | 21 βδελλυκτὰ wz | 21. 22 λέγοντες εἶναι yzt [εἶνε z] | 22 ταῦτα + yz | 22 γάμων Xyz | 22 γένεσιν yzt | 23 ἵν᾽ yzt

ὡς ἀξιόπιστον παραδεχθῆναι ποιήσωσιν· τινὲς δὲ ἐξ αὐτῶν νομοθετοῦσι κρεῶν ἀπέχεσθαι οὐχ ὡς ἀλόγων ζώων, ἀλλ' ὡς λογικὴν ἐχόντων ψυχὴν καὶ φόνου δίκην εἰσπράσσεσθαι μελλόντων τοὺς ταῦτα κατατολμῶντας σφάζειν. ἕτεροι δὲ ἐξ αὐτῶν ἔλεγον (μόνον δεῖν. φάσκοντες ἀπέχεσθαι χοιρείου, τὰ δὲ κατὰ νόμον καθαρὰ ἐσθίειν) καὶ περιτέμνεσθαι νομίμως, πιστεύειν δὲ εἰς Ἰησοῦν ὡς εἰς ὅσιον ἄνδρα καὶ προφήτην· ἄλλοι δὲ ἀναίδην ἐκπορνεύειν καὶ παραχρᾶσθαι τῇ σαρκὶ ἐδίδασκον καὶ διὰ πάσης ἀνοσιουργίας ἰέναι, ὡς οὕτω καὶ μόνως ἐκφεύξεσθαι τὴν ψυχὴν τοὺς κοσμικοὺς ἄρχοντας. οὗτοι δὲ πάντες τοῦ διαβόλου ὄργανα τυγχάνουσι καὶ υἱοὶ
11 ὀργῆς. | ἡμεῖς δὲ τέκνα θεοῦ καὶ υἱοὶ εἰρήνης ὄντες, τὸν ἱερὸν καὶ εὐθῆ λόγον κηρύσσοντες τῆς εὐσεβείας, ἕνα μόνον θεὸν καταγγέλλομεν, νόμου καὶ προφητῶν κύριον, τῶν ὄντων δημιουργόν, τοῦ χριστοῦ πατέρα, οὐκ αὐταίτιον καὶ αὐτογένεθλον, ὡς ἐκεῖνοι οἴονται, ἀλλ' ἀίδιον καὶ ἄναρχον καὶ φῶς οἰκοῦντα ἀπρόσιτον, οὐ δεύτερον ὄντα καὶ τρίτον ἢ πολλοστόν, ἀλλὰ μόνον ἀιδίως, οὐκ ἄγνωστον ἢ ἄλεκτον, ἀλλὰ διὰ νόμου καὶ προφητῶν κηρυσσόμενον, παντοκράτορα, παντάρχην, παντεξούσιον, θεὸν καὶ πατέρα τοῦ μονογενοῦς καὶ πρωτοτόκου πάσης κτίσεως, ἕνα θεὸν * ἑνὸς υἱοῦ πατέρα, οὐ πλειόνων, * ἑνὸς παρακλήτου διὰ χριστοῦ *, τῶν δὲ ἄλλων ταγμάτων ποιητήν, ἕνα δημιουργὸν διαφόρου κτίσεως διὰ χριστοῦ ποιητήν, τὸν αὐτὸν προνοητήν, νομοθέτην δι' αὐτοῦ, ἀναστάσεως αἴτιον καὶ κρίσεως καὶ ἀνταποδόσεως δι' αὐτοῦ γινόμενον, τὸν αὐτὸν εὐδοκήσαντα καὶ ἄνθρωπον γενέ-

16 Tim α 6, 16 | 20 Col 1, 15

1 ἀξιώπιστον w | 1 ποιήσωσι yzt | 2 νομοθετοῦσιν x | 3 φώνου w | 3 εἰσπράσεσθαι w | 3. 4 μέλλοντας w | 4 τοὺς wx, τῶν yzt | 4 κατατολμώντων yt, κατατολμώντα z | 4 ἕτερα Y? | 4. 5 ἐξ αὐτῶν ἔλεγον > w | 5 χοιρέου w | 5 χοιρείου ἀπέχεσθαι yzt | 5 τὰ wxt, ταῦτα yz | 8 ἀναιδῶς w | 8 ἐκπορνεύειν yzt, πορεύεσθαι w, ἐκπορνεύουσιν x | 9 ἐδίδασκων w | 9 ὡς ... 10 ἄρχοντας > w | 9 οὕτως x | 10 ἐκφεύξασθαι Y | 11 τυγχάνουσιν x | 12 ὄντες > yzt | 13 κηρύσσομεν w | 14 καταγγέλοντες w | 15 πατέρα τοῦ χριστοῦ yz, sed Z=wxt | 17 καὶ wx, ἢ yzt | 18 ἄλλεκτον y | 20 καὶ alterum > x | 21 κτίσεως wx, δημιουργίας yzt | 21 καὶ + z | 22 καὶ + yz | 22 προβολέα + yz | 22 δὲ > yzt | 24 ποιητήν > Yz | 24 δι' αὐτοῦ > Yz | 25 ἀνταποδώσεως t | 26 γενόμενον w, γινομένων yzt | 26 τὸν wx, τοῦτον yzt | 26 καὶ ἄνθρωπον εὐδοκήσαντα yzt

*σθαι καὶ πολιτευσάμενον ἄνευ ἁμαρτίας καὶ παθόντα καὶ ἀναστάντα ἐκ νεκρῶν καὶ ἀνελθόντα πρὸς τὸν ἀποστείλαντα. * πᾶν κτίσμα θεοῦ καλόν φαμεν καὶ οὐδὲν * βδελυκτόν, πᾶν * τὸ πρὸς σύστασιν * μεταλαμβανόμενον ἄριστον· πάντα γὰρ κατὰ τὴν γραφὴν καλὰ λίαν. γάμον νόμιμον καὶ παίδων γένεσιν τίμιον καὶ ἀμόλυντον * πιστεύομεν· ἐπ' αὐξήσει γὰρ τοῦ γένους τῶν ἀνθρώπων διαφορὰ σχημάτων διεπλάσθη ἐν τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ. ψυχὴν ἀσώματον ἐν ἡμῖν καὶ ἀθάνατον ὁμολογοῦμεν, ἀλλ' οὐ φθαρτὴν ὡς τὰ σώματα, ἀλλ' ἀθάνατον ὡς λογικὴν καὶ αὐτεξούσιον. πᾶσαν μίξιν παράνομον * καὶ τὴν παρὰ φύσιν γινομένην ὑπό τινων * βδελυσσόμεθα ὡς ἀθέμιτον καὶ ἀνόσιον. ἀνάστασιν γίνεσθαι ὁμολογοῦμεν δικαίων τε καὶ ἀδίκων, καὶ μισθαποδοσίαν. τὸν χριστὸν οὐ ψιλὸν ἄνθρωπον ὁμολογοῦμεν, ἀλλὰ θεὸν λόγον καὶ ἄνθρωπον, μεσίτην θεοῦ καὶ ἀνθρώπων, ἀρχιερέα τοῦ πατρός· οὔτε μὴν μετὰ Ἰουδαίων περιτεμνόμεθα, εἰδότες ὅτι ἐλήλυθεν ᾧ ἀπέκειτο καὶ δι' ὃν ἐφυλάσσετο τὰ γένη, ἡ προσδοκία τῶν ἐθνῶν, Ἰησοῦς ὁ χριστὸς ὁ ἐξ Ἰούδα ἀνατείλας, * ἐκ βλαστοῦ υἱὸς, τὸ ἐξ Ἰεσσαὶ ἄνθος, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου. | ἀλλ' ἐπεὶ τότε αὕτη ἡ αἵρε- 12
σις ἰσχυροτέρα πρὸς πλάνην ἔδοξεν εἶναι, καὶ τῆς ἐκκλησίας ὅλης κινδυνευούσης, ἡμεῖς οἱ δώδεκα συνελθόντες εἰς Ἱεροσόλυμα (ἀντὶ γὰρ τοῦ προδότου Ματθίας σὺν ἡμῖν κατεψηφίσθη ἀπόστολος εἶναι, λαβὼν τὸν κλῆρον Ἰούδα, ὡς εἴρηται Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος), ἐπεσκεπτόμεθα ἅμα Ἰακώβῳ τῷ τοῦ κυρίου ἀδελφῷ τί γένηται· καὶ ἔδοξεν αὐτῷ * καὶ τοῖς πρεσβυτέροις λόγους διδασκαλίας προσλαλῆσαι τῷ*

5 Gen 1, 31 | 15 Tim α 2, 5 | 17 Gen 49, 10. 9 | 19 Isaj 11, 1 | 20 Isaj 9, 5 | 25 Psalm 109, 8 = Act 1, 20

1 *καὶ παθόντα* wxt, *παθόντα τε* yz | 3 *καὶ* + t, *ἔτι* + yz | 3 *εἶναι* + yz | 3 *βδελλυκτόν* wy | 4 *τε* + yz | 4 *δικαίως* + yzt | 5 *γάμων* Y | 6 *γέννεσιν* w | 6 *τίμια* w, *τιμίαν* x | 6 *ἀμόλυντα* w | 6 *εἶναι* + t, *ὑπάρχει* + Yz, *ὑπάρχειν* + y | 10 *ἀλλὰ* yz | 11 *ἀλλὰ* + yz | 12 *βδελλυσσόμεθα* y | 12 *ἀνοσίαν* yzt | 14 *ἄνθρωπον* bis Y | 17 *ὧ* xyzt, *ὃ* w | 18 *τῶν ἐθνῶν* > w | 19 *ὁ* + yzt | 21 *ἔδειξεν* w | 21 *ἐκλησίας* z | 22. 23 *ἱερουσαλὴμ* yzt [*I* t] | 23. 24 *σὺν ἡμῖν κατεψηφίσθη* wxt, *ἡμῖν συγκατεψηφίσθη* yz | 24 *εἶναι* > Yz | 24. 25 *εἴρηται* xyzt, *φησὶν ὁ ψαλμοδὸς καὶ* w | 25 *διεσκοπούμεθα* yz | 27 *τε* + yzt

*λαῷ. καὶ γὰρ * τινὲς κατελθόντες ἀπὸ τῆς Ἰουδαίας εἰς Ἀντιόχειαν ἐδίδασκον * ἐκεῖ ἀδελφούς, λέγοντες ὅτι Ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωσέως καὶ τοῖς ἄλλοις ἅπασιν οἷς διετάξατο * περιπατῆτε, οὐ δύνασθε σωθῆναι. γενομένης οὖν συστάσεως καὶ ζητήσεως οὐκ ὀλίγης, οἱ ἐν Ἀντιοχείᾳ ἀδελφοί, γνόντες ὅτι συνεληλύθαμεν πάντες περὶ τούτου ζητήσοντες, || ἐξαπέστειλαν πρὸς ἡμᾶς ἄνδρας πιστοὺς καὶ τῶν γραφῶν εἰδήμονας, μαθεῖν περὶ τοῦ ζητήματος * τούτου· οἱ δέ, παραγενόμενοι εἰς Ἱεροσόλυμα, ἀνήγγειλαν ἡμῖν τὰ ζητηθέντα καὶ ἐν τῇ Ἀντιοχέων ἐκκλησίᾳ, ὡς ὅτι τινὲς ἔλεγον ὅτι δεῖ περιτέμνεσθαι καὶ τὰς ἄλλας πάσας ἁγνείας φυλάττειν. ἄλλων δὲ ἄλλο τι λεγόντων, ἐγὼ Πέτρος ἀναστὰς εἶπον πρὸς αὐτοὺς Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ἐξελέξατο ὁ θεὸς διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι· καὶ ὁ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς *. Κορνηλίῳ γάρ ποτε ἑκατοντάρχῃ ῥωμαϊκῆς ἀρχῆς ὤφθη ἄγγελος κυρίου καὶ περὶ ἐμοῦ εἶπεν αὐτῷ, ὅπως μεταστείληταί με καὶ ἀκούσῃ ῥήματα ζωῆς ἐκ τοῦ στόματός μου· ὁ δὲ μετεπέμψατό με ἀπὸ Ἰόπης εἰς Καισάρειαν τὴν Στράτωνος. ὁπότε δὲ ἔμελλον πρὸς αὐτὸν ἐκπορεύεσθαι, ἠβουλήθην τροφῆς μεταλαβεῖν· καὶ παρασκευαζόντων, ἤμην ἐν τῷ ὑπερῴῳ προσευχόμενος, καὶ θεωρῶ τὸν οὐρανὸν ἀνεῳγότα καὶ τέσσαρσιν ἀρχαῖς δεδεμένον σκεῦός τι ὡς ὀθόνην λαμπρὰν καὶ καθιέμενον ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα καὶ τὰ ἑρπετὰ τῆς γῆς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ· καὶ ἐγένετο φωνὴ ἐκ τοῦ*

2 Act 15, 1 | 4 Act 15, 7 | 12 Act 15, 7. 8 | 16 Act 10, 22 | 21 Act 10, 10–20

1 *καὶ* + yzt | 2 *τοὺς* + yzt | 3 *περιτμηθῆτε* yzt | 3 *μωϋσέως* yzt [*Μωυ″* t] | 3 *ἅπασιν* wx, *ἔθεσιν* yzt | 4 *μὴ* + yz | 4 *περιπατεῖτε* wx | 5 *στάσεως* yzt | 6 *ζητήσαντες* t | 8 *ἐπιστήμονας* w | 8 *θέλοντες* + yz | 9 *ἱερουσαλὴμ* yzt [*I* t] | 9 *καὶ* > Yz | 10 *ὡς ὅτι* wxt, *καὶ ὡς* yz | 11 *πάσας* > yzt | 11 *παραφυλάττειν* yzt | 12 *ἄλλ ὅτι* x, *ἄλλο τι* yzt, *ἄλλα* w | 14 *ἡμῖν* w | 16 rasura quatuor literarum capax in w | 16 *γάρ* > W | 18 *ἀκοῦσαι* wy | 18 *ῥῆμα* t | 19 *μεταπέμψατό* z | 19. 20 *ἰόπης* wt [*I* t] | 20 *τῆς* x | 20. 21 *πρὸς αὐτὸν* > Yz, sed in margine *ἔμελλον π... αὐτὸν* [sic] y | 21 *ἐβουλήθην* yzt | 22 *παρασκευαζόντων* xyzt, *ὡς* w | 22 *καὶ* > w | 23 *θεορῶ* w | 23 *τέσαρσιν* x | 24 *σκεῦός τι* > w | 25 *ὑπῆρχον* w, *ὑπῆρχεν* x | 25 *τὰ* alterum > yzt

*οὐρανοῦ πρὸς μὲ λέγουσα Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε· κἀγὼ εἶπον Μηδαμῶς, κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον· καὶ ἐγένετο πάλιν φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα Ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου· τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. ὡς δὲ διηπόρουν τὸ τί ἂν εἴη τὸ ὅραμα, εἶπέ μοι τὸ πνεῦμα Ἰδοὺ ἄνδρες ζητοῦσί σε· ἀλλὰ ἀναστὰς πορεύθητι σὺν αὐτοῖς μηδὲν διακρινόμενος, ὅτι ἐγὼ ἀπέστειλα αὐτούς· αὐτοὶ δὲ ἦσαν οἱ παρὰ τοῦ ἑκατοντάρχου. καὶ οὕτως ἀναλογισάμενος ἔγνων τὸ ῥῆμα κυρίου τὸ γεγραμμένον ὅτι Πᾶς ὃς ἂν ἐπικαλέσηται * τὸ ὄνομα κυρίου, σωθήσεται, καὶ πάλιν Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. καὶ ὡς πανταχοῦ περὶ τῆς κλήσεως τῶν ἐθνῶν εἴρηται ἐννοήσας, ἀναστὰς ἐπορεύθην σὺν αὐτοῖς καὶ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ ἀνδρός· καὶ ἔτι μου διαγγέλλοντος τὸν λόγον, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὸν καὶ ἐπὶ τοὺς συμπαρόντας αὐτῷ, καθὼς * ἐφ' ἡμᾶς ἐν ἀρχῇ, καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσαν τὰς καρδίας αὐτῶν. καὶ ἔγνων ἐγὼ ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν· ἐξέστησαν δὲ ἐπὶ τούτῳ καὶ οἱ ἐκ περιτομῆς πιστοί. * νῦν οὖν τί πειράζετε τὸν θεόν, ἐπιθεῖναι ζυγὸν βαρὺν ἐπὶ τὸν τράχηλον τῶν*

10 Ioel 3, 5 | 11 Psalm 22, 28. 29 | 17 Act 10, 44 + 11, 15 | 19 Act 15, 9 | 21 Act 10, 34. 35. 45 | 24 Act 15, 10. 11

3 *πάλιν φωνὴ* wx, *ἐκ δευτέρου φωνὴ* yz, *φωνὴ ἐκ δευτέρου* t | 3 *ἐκ τοῦ οὐρανοῦ* > yzt | 4 *ἐκαθαίρισε* w, *ἐκαθάρισεν* x | 5 *τρεῖς* xz | 5 *ἀνελύφθη* t | 6 *τὸ* primum > yzt | 6 *ὄρομα* z | 6 *εἶπέν* x, *εἶπεν* y | 6 *ζητοῦσίν* x | 8 *διότι* yzt | 8 *οὗτοι* yzt | 9 *ἑκαντοτάρχου* z | 9 *ἀναλογησάμενσο* w | 10 *κυρίου* > Yz | 10 *ὅτι* > Yz | 10 *ἐπικαλέσητε* z | 10 *λέγον* + Y | 11 *πάλην* x, *τὸ διὰ δᾱδ εἰρημένον* yz | 11 *μνησθήσεται* t | 12 *ἐπιστραφήσοντε* z, *ἐπιστραφήσεται* t | 17 *διαγγέλοντος* w, *διαγγέλλωντος* Y? | 18 *ἐπέπεσεν* x, *ἔπεσε* t | 18. 19 *παρόντας σὺν αὐτῷ* yzt | 19 *καὶ* + yzt | 19 *οὐθὲν* yzt | 19. 20 *διέκρινεν* x | 20 *καθαρίσας* yzt | 21 *ἐγὼ* wxt, *λοιπὸν* yz | 21 *ἔστιν* x | 22 *ἔθνη* wx | 23 *ἔσται* t | 24 *τοῦτο* w | 24 *καὶ* + w | 24. 25 *πειράζεται* w | 25 *ἐπιθῆναι* w

μαθητῶν, ὃν οὔτε ἡμεῖς οὔτε οἱ πατέρες ἡμῶν ἰσχύσαμεν βαστάσαι; ἀλλ' ἢ διὰ τῆς χάριτος τοῦ κυρίου πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι· ἔλυσε γὰρ ἡμᾶς ὁ κύριος ἐκ τῶν δεσμῶν καὶ ἠλάφρυνε τὸ φορτίον ἡμῶν καὶ τὸν ζυγὸν τοῦ βάρους πραότητι ἔλυσεν ἀφ' ἡμῶν. ταῦτα δέ μου εἰπόντος, ἐσίγησεν ἅπαν τὸ πλῆθος· ἀπεκρίθη δὲ Ἰάκωβος ὁ τοῦ κυρίου ἀδελφὸς λέγων Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ· καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται Μετὰ * ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν, ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος ὁ ποιῶν ταῦτα. γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ θεῷ πάντα τὰ ἔργα αὐτοῦ· διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεόν, ἀλλ' ἢ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν ἐθνῶν, * εἰδωλοθύτου καὶ πορνείας καὶ αἵματος καὶ πνικτοῦ· ἅπερ καὶ τοῖς παλαιοῖς νενομοθέτητο τοῖς πρὸ τοῦ νόμου φυσικοῖς, Ἐνώς *, Ἐνώχ, Νῶε, Μελχισεδέκ, Ἰὼβ καὶ εἴ τις τοιοῦτος ἐγεγόνει τότε. τότε ἔδοξεν * τοῖς ἀποστόλοις καὶ τῷ ἐπισκόπῳ Ἰακώβῳ καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ * αὐτῶν πέμψαι σὺν τοῖς περὶ Βαρνάβαν καὶ Παῦλον τὸν

7 Act 15, 13—20 | 10 Amos 9, 11. 12 | 22 Act 15, 22—29

1 ἴσχυσαν w | 2 ἀλλ' ἢ wx, ἀλλὰ yzt | 2 τοῦ κυρίου > x | 3 ἔλυσεν x | 4 ἠλάφρυνεν x | 7 λέγων xyzt, καὶ εἶπε W, καὶ εἶπεν w | 8 ἐξυγήσατο W? | 9 τούτω xyzt, οὕτως w | 9 σιν οἱ ... 10 γέγραπται > z, adest συμφωνοῦ | 10 δὲ + yz | 10. 11 ἐπιστρέψω w | 11 τὴν σκηνὴν ... 12 τὰ > z | 13 κατάλοι Y | 14. 15 ἐπιβέβληται z | 15 ἐπ' αὐτούς > w | 15. 16 ταύτα [huc aptum] πάντα τὰ ἔργα γνωστά εἰσιν ἀπ' αἰῶνος τῶι θεῶι w | 16 ἐστιν x | 17 κρίνω ἐγὼ w, ἐγὼ κρινῶ x, ἐγὼ ἔκρινα yzt | 17. 18 ἐπιστρέφουσι πρὸς yz | 18 ἀλλ' ... ἀπέχεσθαι xyzt [ἢ > yzt, ἐπιστεῖλε z], εἰ ἀπέχοντε w | 19 τῶν ἐθνῶν xyzt, αὐτῶν w, εἰδώλων margo y | 19 πορνείας λέγω καὶ + w | 19. 20 καὶ πορνείας > w, post πνικτοῦ yzt | 20 πάλαι yzt | 21 ἐνομοθέτητο W, νενομοθέτειτο x | 21 νόμον y | 21 Ἐνώς > z | 21 λέγω + y | 22 εἰ xyzt, ἢ w | 22 τότε prius > yzt | 23 ἔδοξε w | 23 ἡμῖν + yzt | 25 ἡμῶν + yzt

τῶν ἐϑνῶν ἀπόστολον τὸν Ταρσέα, καὶ Ἰούδαν τὸν καλού-
μενον Βαρσαββᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους * ἐν τοῖς
ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε· Οἱ ἀπόστολοι
καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν
καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐϑνῶν χαίρειν.
ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐτάραξαν ὑμᾶς λόγοις,
ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, οἷς οὐ διεστειλάμεϑα, ἔδο-
ξεν ἡμῖν γενομένοις ὁμοϑυμαδόν, ἐκλεξαμένους ἄνδρας ἐκ-
πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ
Παύλῳ, ἀνϑρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ
τοῦ κυρίου * Ἰησοῦ *, δι' ὧν ἐπεστείλατε· ἀπεστάλκα-
μεν δὲ μετ' αὐτῶν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λό-
γου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι
καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίϑεσϑαι ὑμῖν βάρος, πλὴν τού-
των τῶν ἐπάναγκες, ἀπέχεσϑαι εἰδωλοϑύτου καὶ αἵμα-
τος καὶ πνικτοῦ καὶ πορνείας, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς
εὖ πράξετε. ἔρρωσϑε. τὴν μὲν οὖν ἐπιστολὴν ἐξαπεστεί-
λαμεν, αὐτοὶ δὲ ἐν ἱκαναῖς ἡμέραις ἐν Ἱεροσολύμοις ἐπεμεί-
ναμεν ἅμα συζητοῦντες πρὸς τὸ κοινωφελὲς εἰς διόρϑωσιν.
| μετὰ δὲ χρόνον ἱκανὸν ἐπισκεψάμενοι τοὺς ἀδελφοὺς καὶ 13
στηρίξαντες αὐτοὺς * λόγῳ τῆς εὐσεβείας, καὶ παρεγγυησά-
μενοι * φεύγειν αὐτοὺς τοὺς ἐπ' ὀνόματι Ἰησοῦ καὶ Μωσέως
πολεμοῦσι χριστῷ καὶ Μωσεῖ, καὶ ἐν δορᾷ προβάτου τὸν
λύκον κατακρύπτουσιν. οὗτοι γάρ εἰσι ψευδόχριστοι *
ψευδοπροφῆται καὶ ψευδαπόστολοι, πλάνοι καὶ φϑορεῖς, ἀλω-

23 Matth 7, 15 | 25 Psalm 63, 11

1 ἀποστόλων Z, ἀποστόλον z | 1 ταρέσα z | 2 βαρσαβᾶν wy | 2 rasura decem literarum capax w | 6 ἐπειδὴ w in margine, in textu rasura sex literarum capax | 6 med ὑμῶν w | 7 ἡμῶν y | 8 ἐκλέξασϑαι w | 10 παραδεδοκόσιν x | 11 ἡμῶν + yzt | 11 χριστοῦ + yzt | 13 ἀπαγγέλλοντες y | 13 ἔδοξεν x | 14 μηϑὲν yzt | 15 ἐπάναγκαις y, ἐπανάγκες z virgula post ἀπέχεσϑαι posita, ἐπ' ἀνάγκαις t | 15 εἰδωλοϑύτων yzt | 16 καὶ prius > w | 17 πράξατε xt | 19 κοινοφελὲς x | 21 στηρίσαντες xyz | 21 τῷ + zt | 21 τῆς > w | 21 καὶ > w | 21. 22 παρεγγυησάμεϑα wy, παρηγγυησάμεϑα z | 22 αὐτοῖς + yz | 22 αὐτοὺς > yz | 22 ἰησοῦ wx, χριστοῦ yzt | 22 μωϋσέως w | 23 πολεμοῦσιν x, πολεμοῦντας yz | 23 μωσῆι w, μωσῇ y, μωσῆ z | 23 προβάτων yzt | 24 λύγον Y | 24 κατακρύπτοντας yz | 24 εἰσιν x | 24 καὶ + t | 25 καὶ prius > w

*πέκων μερίδες καὶ χαμαιζήλων ἀμπέλων ἀφανισταί· δι'*
*οὓς ψυγήσεται ἡ τῶν πολλῶν ἀγάπη (ὁ δὲ ὑπομείνας εἰς*
*τέλος ἀδιαστρόφως, οὗτος σωθήσεται), περὶ ὧν ἀσφαλιζόμε-*
*νος * ἡμᾶς ὁ κύριος παρήγγειλεν Ἐλεύσονται * πρὸς ὑμᾶς*
*ἄνθρωποι ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι*
*ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· προ-*
*σέχετε ἀπ' αὐτῶν· ἀναστήσονται γὰρ ψευδόχριστοι καὶ ψευ-*
14 *δοπροφῆται καὶ πλανήσουσι πολλούς. | δι' οὓς καὶ ἡμεῖς νῦν*
*ἐπὶ τὸ αὐτὸ γενόμενοι Πέτρος καὶ Ἀνδρέας, Ἰάκωβος καὶ*
*Ἰωάννης υἱοὶ Ζεβεδαίου, Φίλιππος καὶ Βαρθολομαῖος, **
*καὶ Ματθαῖος, * Ἰάκωβος Ἀλφαίου καὶ Λεββαῖος ὁ ἐπι-*
*κληθεὶς Θαδδαῖος καὶ Σίμων ὁ Κανανίτης καὶ Ματθίας ὁ*
*ἀντὶ Ἰούδα καταψηφισθεὶς ἡμῖν, * Ἰάκωβός τε ὁ τοῦ κυ-*
*ρίου ἀδελφὸς καὶ Ἱεροσολύμων ἐπίσκοπος, καὶ Παῦλος ὁ*
*τῶν ἐθνῶν διδάσκαλος, τὸ σκεῦος τῆς ἐκλογῆς· ἅμα πάντες*
** ἐπὶ τὸ αὐτὸ γενόμενοι, ἐγράψαμεν ὑμῖν τὴν καθολικὴν*
*ταύτην διδασκαλίαν εἰς ἐπιστηρισμὸν ὑμῶν τῶν τὴν καθό-*
*λου ἐπισκοπὴν πεπιστευμένων, ἐν ᾗ δηλοῦμεν ὑμῖν, θεὸν*
*παντοκράτορα ἕνα μόνον ὑπάρχειν, παρ' ὃν ἄλλος οὐκ ἔστι,*
*καὶ αὐτὸν σέβειν μόνον καὶ προσκυνεῖν καὶ τὸν κύριον ἡμῶν*
*Ἰησοῦν χριστὸν καὶ τὸ πανάγιον πνεῦμα, καὶ ταῖς ἱεραῖς*
*γραφαῖς χρῆσθαι, νόμῳ καὶ προφήταις, γονεῖς τιμᾶν, ἅπα-*
*σαν ἔκθεσμον πρᾶξιν φεύγειν, ἀνάστασιν πιστεύειν καὶ κρί-*
*σιν καὶ ἀνταπόδοσιν προσδοκᾶν, * τοῖς κτίσμασιν αὐτοῦ*

1 Cant 2, 15 | 2 Matth 24, 12 | 4 Matth 7, 15. 16 | 6 Matth 24, 11. 24 | 15 Act 9, 15

1 *ἀμπελῶν* w, *ἀμπελώνων* yzt | 2 *ψυχθήσεται* t | 3 *ἀδιάστροφος* yzt | 4 *καὶ* + yz | 4 *παρήγγηλεν* w, *παρήγγελλεν* xy, *παρήγγελεν* z | 4 *λέγων* + yzt | 5 *ἐν* > z | 5 *ἐνδύμαισι* z | 5 *εἰσιν* W?x | 6 *καρπὸν* w | 6 *ἐπιγνώσεσθαι* w | 8 *πλανήσουσιν* x | 10 *θωμὰς* + yzt [Θ t] | 11 *καὶ* prius > wz | 11 *καὶ* + w | 11 *ἀλφεοῦ* x | 11 *καὶ* alterum > w | 11 *καὶ* alterum ... 12 *Θαδδαῖος* > X | 11. 12 *ἐπικλιθεὶς* w | 12 *καὶ* prius > xy | 12 *καὶ* alterum > w | 13 *καταψηφηστεὶς* w, *συγκαταψηφισθεὶς* yz | 13 *ἡμῖν*] *ἐν ἄλλω σὺν ἡμῖν* margo t | 13 *καὶ* + w | 13 *τε* > w | 15 *ἐκκλογῆς* z | 16 *καὶ* + t | 17 *ἐπιστηριγμὸν* yzt et corrector non graecus in x | 17. 18 *καθολικὴν* w | 19 *ἔστιν* x | 20 *μόνον σέβειν* yzt | 20 *καὶ τὸν* ...... 21 *πνεῦμα* wx, *διὰ Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν ἐν τῷ παναγίῳ πνεύματι* yzt [ω t] | 22 *χρεῖσθαι* w | 22 *γονὴς* w | 23 *πιστεύειν* wxt, *δέχεσθαι* yz | 23 *καὶ* > w | 24 *προσδοκῶν* z | 24 *καὶ* + yzt

πᾶσιν εὐχαρίστως προσέρχεσθαι, ὡς θεοῦ ἔργοις καὶ μηδὲν ἐν αὐτοῖς ἔχουσι φαῦλον· καὶ γαμεῖν νομίμως, ἄμεμπτος γὰρ ὁ τοιοῦτος γάμος, ὅτι καὶ παρὰ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί, καὶ ὁ κύριος λέγει Ὁ ποιήσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εἶπεν Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. μήτε μὴν μετὰ γάμον * ἐκβάλλειν ἀκατάγνωστον ἐξέστω. φυλάξῃ γάρ, φησί, τῷ πνεύματί σου καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς. * φάσκει γὰρ καὶ ὁ κύριος ὅτι Ἃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· ἡ γὰρ γυνὴ κοινωνός ἐστι βίου, ἑνουμένη εἰς ἓν σῶμα ἐκ δύο ὑπὸ * θεοῦ· ὁ δὲ τὸ ἓν ἀνάπαλιν διαιρῶν εἰς δύο ἐχθρὸς δημιουργίας θεοῦ καὶ προνοίας * ἀντίπαλος, ὡσαύτως ὁ κατέχων μοιχαλίδα τὴν παραφθαρεῖσαν καὶ παραφθείρασαν φύσεως θεσμὸν παράνομος, ἐπείπερ * ὁ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής· Ἀπότεμε γὰρ αὐτήν, φησίν, ἀπὸ τῶν σαρκῶν σου· οὐ γάρ ἐστι βοηθός, ἀλλ' ἐπίβουλος, πρὸς ἄλλον ἀποκλίνασα τὴν διάνοιαν. μήτε δὲ περιτέμνεσθε τὴν σάρκα *, ἀρκεῖσθε δὲ πιστοί *, τὴν τῆς καρδίας περιτομὴν * ἐν

3 Prov 19, 14 | 4 Matth 19, 4. 5 | 9 Malach 2, 14. [15] | 11 Matth 19, 6 | 16 Prov 18, 22 | 17 Sirach 25, 26

1 εὐχάριστοι z | 1 προσέρχεσθε x, χρᾶσθαι yz | 2 ἑαυτοῖς t | 2 καὶ > w | 2 ἄμεπτος z | 4 καὶ ὁ κύριος λέγει wxt, ὡς καὶ ὁ κύριος ἐδίδαξε λέγων yz | 4 ἄῤῥεν yz [ρρ z] | 5 εἶπεν wxt, πάλιν yz | 5 καταλήψει wy | 8 μήτε μὴν wxt, καὶ yz | 8 μὴ + yz | 8. 9 ἀκατάγνωστον ἐξέστω wxt [vide mox], κατεγνωσμένον γὰρ τοῦτο yz | 8. 9 ἔξεστιν w, ἔξεστι corrector x ut videtur non graecus | 9 φυλάξει wZ | 9 γὰρ > Wyz | 9 φησί > w, φησιν x | 9 σου > w | 10 οὐκ ἐγκαταλείψεις yz | 10 ἐγκαταλείπῃς x | 10 ὅτι αὐτὴ κοινωνὸς βίου σου καὶ ὑπόλειμμα πνεύματός σου, καὶ ἐγὼ ἐποίησα καὶ οὐκ ἄλλος + yzt: sed αὕτη yz: ad ὑπόλειμμα margo t ἐν ἄλλῳ λῆμμα | 10 φάσκει γὰρ > yz | 10 καὶ > t | 11 ὅτι > yz | 11 συνέζευξε W, ἔζευξεν t | 12 κοινός W | 12 ἐστιν x | 12 ὑπὸ wx, παρὰ yzt | 13 τοῦ + w | 14 θεοῦ post προνοίας w | 14 θεοῦ + x, τῆς ἐκείνου + yzt | 15 μοιχαλλίδα w, > yzt | 15 παραφθαρεῖσαν καὶ > xyz | 15 καὶ παραφθείρασαν > t | 16 θεσμοῦ t | 16 παρανόμως w | 16 καὶ + yz | 16 μοιχαλλίδα w | 17 ἀπόκοψον w | 17 γὰρ > yz | 17 φησιν αὐτὴν x | 18 ἐστιν x | 19 οὔτε yz | 19 περιτέμνεσθαι yzt | 20 σάρκαν z | 20 χρή ἀλλ' + yz | 20 ἀρκεῖσθαι yt | 20 δὲ > yz | 20 πιστοὶ wx, τοὺς πιστοὺς yz, πιστοῖς t | 20 ὄντες + w | 20 τῇ et περιτομῇ yz [ἡ z] | 20 τῇ + y, τῇ + z

*πνεύματι· Περιτμήθητε γάρ, * τὴν καρδίαν ὑμῶν τῷ θεῷ * καὶ * Περιτέμνεσθε τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν.*

15 | *ὁμοίως καὶ βαπτίσματι ἑνὶ ἀρκεῖσθε μόνῳ τῷ εἰς τὸν θάνατον τοῦ κυρίου δεδομένῳ, οὐ τῷ παρὰ τῶν δυσωνύμων αἱρετικῶν, ἀλλὰ τῷ παρὰ τῶν ἀμέμπτων ἱερέων δεδομένῳ εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. μήτε δὲ τὸ παρὰ τῶν ἀσεβῶν δεκτὸν ὑμῖν ἔστω, μήτε τὸ παρὰ τῶν ὁσίων ἀκυρούσθω διὰ δευτέρου. ὡς γὰρ εἷς ὁ θεὸς καὶ εἷς ὁ χριστὸς καὶ εἷς ὁ παράκλητος, εἷς δὲ καὶ ὁ τοῦ κυρίου ἐν σώματι θάνατος, οὕτως ἓν ἔστω καὶ τὸ εἰς αὐτὸν δεδομένον βάπτισμα· οἱ δὲ παρὰ * ἀσεβῶν δεχόμενοι μόλυσμα κοινωνοὶ τῆς γνώμης αὐτῶν γενήσονται. οὐ γάρ εἰσιν ἐκεῖνοι ἱερεῖς· λέγει γὰρ πρὸς αὐτοὺς ὁ θεὸς Ἐπεὶ καὶ σὺ ἀπώσω γνῶσιν, ἀπώσομαί σε κἀγὼ τοῦ ἱερατεύειν μοι· οὔτε μὴν οἱ βαπτισθέντες ὑπ' αὐτῶν μεμύηνται, ἀλλὰ μεμολυσμένοι ὑπάρχουσιν, οὐκ ἄφεσιν ἁμαρτιῶν λαμβάνοντες, ἀλλὰ δεσμὸν ἀσεβείας. οὐ μὴν δὲ ἀλλὰ καὶ τοὺς μεμυημένους ἐκ δευτέρου * βαπτίζειν πειρώμενοι ἀνασταυροῦσι τὸν κύριον καὶ ἀναιροῦσιν αὐτὸν ἐκ δευτέρου, γελῶσι τὰ θεῖα, μυκτηρίζουσι τὰ ἅγια, ὑβρίζουσι τὸ πνεῦμα τὸ ἅγιον, τὸ αἷμα τὸ τίμιον ὡς κοινὸν ἀτιμάζουσιν, ἀσεβοῦσιν εἰς τὸν ἀποστείλαντα, εἰς τὸν παθόντα, εἰς τὸν μαρτυρήσαντα. ἀλλὰ καὶ οἱ ἐκ καταφρονήσεως μὴ βουλόμενοι βαπτισθῆναι ὡς ἄπιστοι κατακριθήσονται, καὶ ὀνειδισθήσονται ὡς ἀχάριστοι καὶ ἀγνώμονες· λέγει γὰρ ὁ κύριος Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ*

1 Hierem 4, 4 | 2 Deut 10, 16 | 13 Osee 4, 6 | 25 Ioh 3, 5

1 *γὰρ* > y | 1 *φησὶ* + yz, *φησὶν* + t | 1 *τὴν καρδίαν ὑμῶν* > yzt | 1 *ὑμῶν* + yzt | 2 *πάλιν* + yz | 2 *περιτεμεῖσθε* yz | 3 *ἀρκεῖσθαι* t | 3. 4 *τὸν τοῦ κυρίου θάνατον* yzt | 4 *διδομένω* yz | 4 *τῶ* xyzt, > Y, *τὸ* w | 4 *δυσσωνύμων* t | 4. 5 *αἱρετικ..* W | 5 *ἀμέπτων* z | 5 *τῷ* > Y | 5 *παραδεδομένῳ* yz [*ω* z] | 7 *δὲ* wxt, *οὖν* yz | 9 *καὶ* primum > t | 11 *διδόμενον* yzt | 11 *τῶν* + y super versum | 13 *λέγει γὰρ* wxt, *ὥς που φησὶ* yz | 13 *σοὶ* w | 13 *ἀπόσω* w | 15 *μεμολυμένοι* x, *μεμολισμένοι* z?? | 15. 16 *ὑπάρχουσι* w | 16 *δεσμὰ* y | 18 *οἱ* + yz | 18 *καὶ* > yzt | 19 *γελῶσιν* x | 19. 20 *μυκτηρίζουσιν* x | 20 *ὑβρίζουσιν* x | 20 *τὸ ἅγιον* > yzt | 20. 21 *τίμιον* wx, *ἅγιον* yzt | 22 *οἱ* wx, *ὁ* yzt | 22. 23 *καταφρωνήσεως* w | 23 *βουλόμενος* yzt | 23. 24 *ἄπιστος κατακριθήσεται* yzt | 24 *ὠνειδισθήσονται* x, *ὀνειδισθήσεται* yzt | 24 *ἀχάριστος καὶ ἀγνώμων* yzt | 25 *γεννηθῇ* wx [*ὴ* w, *ῆ* x], *βαπτισθῇ* yzt

*πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·*
*καὶ πάλιν Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπι-*
*στήσας κατακριθήσεται. ὁ δὲ λέγων ὅτι Ὅταν τελευτῶ, βα-*
*πτίζομαι, ἵνα μὴ ἁμαρτήσω καὶ ῥυπάνω τὸ βάπτισμα, οὗτος*
*ἄγνοιαν θεοῦ ἔχει καὶ τῆς ἑαυτοῦ φύσεως ἐπιλήσμων τυγ-*
*χάνει· Μὴ ἀναβάλλου γάρ, φησίν, ἐπιστρέψαι πρὸς κύριον·*
*οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. βαπτίζετε δὲ ὑμῶν καὶ*
*τὰ νήπια, καὶ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ θεοῦ·*
** Ἄφετε γάρ, φησί, τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κω-*
*λύετε αὐτά. | ταῦτα πάντα ἐπεστείλαμεν ὑμῖν, ἵνα εἰδέναι* 16
*ἔχοιτε τὴν ἡμετέραν γνώμην ὁποία τις ἐστίν. καὶ τὰ ἐπ' ὀνό-*
*ματι ἡμῶν παρὰ τῶν ἀσεβῶν καττυθέντα βιβλία μὴ παρα-*
*δέχεσθε· οὐ γὰρ τοῖς ὀνόμασι χρὴ ὑμᾶς προσέχειν τῶν ἀπο-*
*στόλων, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων καὶ τῇ γνώμῃ τῇ*
*ἀδιαστρόφῳ. οἴδαμεν γὰρ ὅτι οἱ περὶ Σίμωνα καὶ Κλεό-*
*βιον ἰώδη συντάξαντες βιβλία ἐπ' ὀνόματι * χριστοῦ καὶ τῶν*
*μαθητῶν αὐτοῦ περιφέρουσιν, εἰς ἀπάτην ὑμῶν τῶν πεφι-*
*ληκότων χριστὸν καὶ ἡμᾶς τοὺς αὐτοῦ δούλους. καὶ ἐν τοῖς*
*παλαιοῖς δέ τινες συνέγραψαν βιβλία ἀπόκρυφα Μωσέως καὶ*
*Ἐνὼχ καὶ Ἀδὰμ Ἠσαΐου τε καὶ Δαβὶδ καὶ Ἠλία καὶ τῶν*
*τριῶν πατριαρχῶν, φθοροποιὰ καὶ τῆς ἀληθείας ἐχθρά· τοι-*
*αῦτα καὶ νῦν ἐκύησαν οἱ δυσώνυμοι, διαβάλλοντες δη-*
*μιουργίαν, γάμον, πρόνοιαν, τεκνογονίαν, νόμον, προφήτας·*
*βάρβαρά τινα ὀνόματα ἐγγράφοντες * ὡς αὐτοί φασιν ἀγ-*
*γέλων, τὸ δὲ ἀληθὲς εἰπεῖν δαιμόνων τῶν αὐτοῖς ὑπηχούν-*
*των. ὧν ἀποφεύγετε τὴν διδασκαλίαν, ἵνα μὴ μετάσχητε*

2 Marc 16, 16 | 6 Sirach 5, 7 | 7 Prov 3, 28 | 8 Eph 6, 4 | 9 Matth 19, 14

2 *πώλιν* z | 4 *ἁμάρτω* yz | 4 *ῥυπώσω* yz | 5 *ἔχει θεοῦ* yzt | 5 *ἐπιλήσμον* w | 6 *φησίν* > yzt | 7 *βαπτίζεται* y | 8 *ἐκτρέφεται* y | 8 *θεοῦ* wxt, *κυρίου* yz | 9 *περὶ τούτου καὶ ὁ κύριος ἔφη* + yz | 9 *φη̅* w, *φησιν* x, > yz | 9 *παιδία* xyzt, *νήπια* w | 9. 10 *καὶ μὴ κωλύετε αὐτά* > yz | 11 *ἔχητε* yz | 11 margo t *ἐν ἄλλω ὑμετέραν γνῶσιν* | 11 *ὁποῖα* wx, *οἷα* yzt [*ἵ* t] | 11 *ἐστι* yzt | 12 *κρατυνθέντα* w, *κατ τυθέντα* z, *κρατυθέντα* t | 12. 13 *παραδέχεσθαι* t | 13 *ὀνόμασιν* x | 15. 16 *κλεοβιν* wyz [*έ* yz] | 16 *οιώδη* w, *ἴδια* yz | 16 *βιβλεία* z | 16 *τοῦ* + w | 18 *ἡμᾶς τοὺς αὐτοῦ*] *ὁ ἠσαΐας τοὺς αὐτοὺς* z | 19 *συνέγραψαν*] *γρφ καὶ συνέρραψαν* margo y | 19 *μωϋσέως* w | 22 *ἐκύησαν* wxy, *ἐβόησαν* z, *ἐποίησαν* t | 23 *γάμου* w | 24 *ἐγγκράφοντες* z | 24 *καὶ* + yzt | 25 *δ'* yzt | 26 *ἀποφύγετε* x

τῆς τιμωρίας τῶν αὐτὰ συγγραψαμένων ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ τῶν πιστῶν καὶ ἀμέμπτων τοῦ κυρίου Ἰησοῦ μαθητῶν.

17 | ἐπίσκοπον καὶ πρεσβύτερον καὶ διάκονον εἴπομεν μονογάμους καθίστασθαι, κἂν τε ζῶσιν αὐτῶν αἱ γαμεταὶ κἂν τεθνήξωσι, μὴ ἐξεῖναι δὲ αὐτοῖς μετὰ χειροτονίαν ἢ ἀγάμοις οὖσιν ἔτι ἐπὶ γάμον ἔρχεσθαι ἢ γεγαμηκόσιν ἑτέραις συμπλέκεσθαι, ἀλλ' ἀρκεῖσθαι ᾗ ἔχοντες ἦλθον ἐπὶ τὴν χειροτονίαν. ὑπηρέτας δὲ καὶ ψαλτῳδοὺς καὶ ἀναγνώστας * καὶ πυλωροὺς καὶ αὐτοὺς * μονογάμους εἶναι κελεύομεν· εἰ δὲ πρὸ γάμου εἰς κλῆρον προέλθωσιν, ἐπιτρέπομεν αὐτοῖς γαμεῖν, εἴγε πρὸς τοῦτο πρόθεσιν ἔχουσιν, ἵνα μὴ ἁμαρτήσαντες κολάσεως τύχωσιν. οὐδενὶ δὲ τῶν ἐν τῷ κλήρῳ κελεύομεν ἢ ἑταίραν ἢ οἰκέτιν ἢ χήραν ἢ ἐκβεβλημένην λαμβάνειν, ὡς καὶ ὁ νόμος λέγει. διακόνισσα δὲ γινέσθω παρθένος ἁγνή· εἰ δὲ μήγε, κἂν χήρα μονόγαμος, πιστὴ καὶ τιμία.

18 | τοὺς * μετανοοῦντας προσδέχεσθε, τοῦτο γὰρ θέλημα τοῦ θεοῦ ἐν χριστῷ· τοὺς κατηχουμένους στοιχειώσαντες βαπτίσατε· τοὺς ἀθέους αἱρεσιώτας, ἀμετανοήτως ἔχοντας, διαστείλαντες ἀφορίσατε ἀπὸ τῶν πιστῶν καὶ * τῆς ἐκκλησίας τοῦ θεοῦ ἐκκηρύκτους ποιήσατε, καὶ παραγγείλατε τοῖς πιστοῖς παντοίως αὐτῶν ἀπέχεσθαι καὶ μήτε λόγῳ μήτε προσευχαῖς κοινωνεῖν αὐτοῖς. οὗτοι γάρ εἰσιν ἀντίδικοι καὶ ἐπίβουλοι τῆς ἐκκλησίας, οἱ διαφθείροντες τὸ ποίμνιον καὶ μολύνοντες τὴν κληρονομίαν, οἱ δοξόσοφοι καὶ παμπόνηροι· περὶ ὧν ἔλεγεν Σολομὼν ὁ σοφὸς ὅτι δυσσεβοῦντες ὑποκρίνονται

14 Lev 21, 14 | 16 Thess α 5, 18 | 25 apocryphum

1 ἐπ' > x, ἐπὶ yz | 1. 2 απωλεία καὶ ἀπάτη w | 1. 2 ἀπολεία zt | 2 ἀμέπτων z | 2 fin ἐν ἄλλῳ καὶ υἱῶν καὶ κληρονόμων margo t | 3 εἴπαμεν w | 4 τε ζῶσιν x, τέξωσιν w, ζῶσιν yzt | 4. 5 τεθνήξωσι w, τεθνήκασι xyz [″σιν x], τεθνᾶσι t | 5 ἀξεῖναι z | 5 χειροτονείαν t | 5 ἢ > yzt | 5 γάμοις W | 7 ᾗ xyz, εἰ w, ἢ t | 7. 8 χειτονίαν w | 8 καὶ medium > w | 8 δὲ + w | 9 πυλορούς w | 9 μὲν + yz | 10 γάμων xyz | 10 παρέλθωσιν t | 11 πρόσθεσιν t, πρόθωσιν z | 11 ἔχουσι w | 12 κολάσεως τύχωσιν wxt, κολασθῶσιν yz | 13 ἑτέραν W, $\overline{χο}$: ἑταιρίδα margo w | 13 οἰκέτην wx | 13 ἢ quartum wx, καὶ yzt | 16 δὲ + yzt | 16 προσδέχεσθαι z | 16 τοῦ > yzt | 18 τοὺς erasum w | 19 ἀφορήσατε w | 19 ἐκ + z | 21 λόγοις t | 23 διαφθήροντες w | 25 ἔλεγε yzt | 25 ὁ σοφὸς σολομῶν x | 25 δυσσεβοῦσιν x

εὐσεβεῖν. ἔστι γάρ, φησίν, ὁδός, ἣ δοκεῖ τισιν ὀρθὴ εἶναι, τὰ δὲ τελευταῖα αὐτῆς βλέπει εἰς πυθμένα ᾅδου. οὗτοί εἰσι περὶ ὧν * ὁ κύριος πικρῶς καὶ ἀποτόμως ἀπεφήνατο, λέγων ὅτι εἰσὶ ψευδόχριστοι καὶ ψευδοδιδάσκαλοι, οἱ βλασφημήσαντες τὸ πνεῦμα τῆς χάριτος καὶ ἀποπτύσαντες τὴν παρ' αὐτοῦ * δωρεὰν μετὰ τὴν χάριν, οἷς οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι, οἱ καὶ Ἰουδαίων δυσσεβέστεροι καὶ Ἑλλήνων ἀθεώτεροι, οἱ θεὸν τὸν ἐπὶ πάντων βλασφημοῦντες καὶ τὸν υἱὸν αὐτοῦ καταπατοῦντες καὶ τὴν διδασκαλίαν τοῦ πνεύματος διαπτύοντες, οἱ τοὺς θείους λόγους ἀρνούμενοι ἢ μεθ' ὑποκρίσεως προσποιούμενοι δέχεσθαι, ἐφ' ὕβρει θεοῦ καὶ ἀπάτῃ τῶν προσιόντων αὐτοῖς, οἱ τὰς ἱερὰς γραφὰς ἐνυβρίζοντες καὶ τὴν δικαιοσύνην ὅ, τι ποτὲ ἔστιν ἀγνοοῦντες, οἱ τὴν ἐκκλησίαν τοῦ θεοῦ διαφθείροντες ὡς ἀλώπεκες πικροὶ ἀμπελῶνας καὶ μερίδες ἀλωπέκων γινόμενοι. οὓς φεύγειν ὑμᾶς παρακαλοῦμεν, ἵνα μὴ λάβητε βρόχους * ταῖς ἑαυτῶν ψυχαῖς· ὁ συμπορευόμενος γὰρ * σοφοῖς σοφὸς ἔσται, ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται. οὔτε γὰρ κλέπτῃ δεῖ συντρέχειν, οὔτε μετὰ μοιχοῦ * μερίδα τίθεσθαι· ἐπείπερ καὶ ὁ θεῖος Δαβίδ φησιν * Κύριε, τοὺς μισοῦντάς σε ἐμίσησα καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην, τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι· καὶ τῷ Ἰωσαφὰτ * ὁ θεὸς ὀνειδίζει

1 Prov 14, 12 | 4 Matth 24, 24 | 6 Matth 12, 32 | 15 Cant 2, 15 | 15 Psalm 63, 11 | 17 Prov 13, 20 | 21 Psalm 139, 21. 22

1 ἔστιν yz | 1 γάρ φησι y, > Yz | 1 ἤι w | 1 τισὶ w | 2 δὲ wyzt, μέντοι x | 2 τελευταί w | 2 εἴσιν x | 3 καὶ + yz | 4 εἰσὶν x | 6 rasura trium literarum capax in w | 8 καὶ ... ἀθεώτεροι > x | 8 τῶν xt | 9 καὶ prius ... καταπατοῦντες > w | 10 οἱ ... 12 προσιόντων lunulis inclusit y | 11 προσποιούμενοι δέχεσθαι xyzt, αὐτοὺς δεχόμενοι w | 12 αὐτοῖς προσιόντων yzt | 14 τοῦ θεοῦ wx, θεοῦ t, χριστοῦ yz | 14. 15 διαφθήροντες W | 15 μικροὶ t, > yz | 15 ἀμπελῶνα yzt | 15 καὶ ... 16 γινόμενοι > t | 16 γϊνώμενοι w | 17 ἐν + yz | 17 ἑαυτῶν] ὑμῶν yz | 17 ὁ > z | 18 γὰρ wxyzt, μὲν PC | 18 φ̄η + w, φησι + y super versum | 19 ἄφροσιν x | 19 γὰρ > w | 19 κλέπτ.. W | 20 οὐδὲ yzt | 20 τὴν + yzt | 20 τιθέναι w | 20 ἐπειδήπερ w | 20 καὶ > w | 20 θεῖος wx, ὅσιος t, > yz | 21 φησὶ δα̅δ t, προφήτης λέγει δα̅δ yz | 21 οὐχὶ + w sed χ ut videtur in rasura | 21 κύριε post σε w | 22 τοῖς ἐχθροῖς yz | 22 ἐξετικώμην w | 23 ἐγένετό z | 23 δὲ + yz

*διὰ τὴν πρὸς Ἀχαὰβ φιλίαν καὶ συμμαχίαν * καὶ τὴν πρὸς Ὀχοζίαν, λέγων διὰ Ἰοὺ τοῦ προφήτου Εἰ ἁμαρτωλῷ σὺ φιλιάζεις, εἰ μισουμένῳ ὑπὸ κυρίου * βοηθεῖς; διὰ τοῦτο ἐξαίφνης ὀργὴ κυρίου ἐγένετο ἐπὶ σέ. εἰ μὴ ὅτι εὑρέθη ἡ καρδία σου τελεία πρὸς κύριον, διὰ τοῦτο ἐφείσατό σου κύριος· πλὴν ὅτι διεκόπη τὰ ἔργα σου καὶ συνετρίβησαν αἱ νῆές σου. φεύγετε οὖν τῆς κοινωνίας αὐτῶν, καὶ τῆς πρὸς αὐτοὺς εἰρήνης ἀλλότριοι τυγχάνετε· περὶ αὐτῶν γὰρ * ὁ προφήτης ἀπεφήνατο λέγων ὅτι Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει κύριος. οὗτοι γάρ εἰσιν οἱ κρύφιοι λύκοι, οἱ ἐνεοὶ κύνες *. οὐ δυνάμενοι ὑλακτεῖν, οἳ νῦν μὲν εἰσὶν ὀλίγοι, προκόψαντος δὲ τοῦ χρόνου καὶ τῆς συντελείας ἐγγιζούσης, πλείονες καὶ χαλεπώτεροι ἔσονται, περὶ ὧν ὁ κύριος ἔλεγεν ὅτι Ἆρα ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; καὶ * Διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα * ἐν οὐρανῷ, ὥστε, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτοὺς ἀπατῆσαι, ὧν τῆς ἀπάτης ῥύσεται ἡμᾶς κύριος ὁ θεὸς διὰ Ἰησοῦ χριστοῦ τῆς ἐλπίδος ἡμῶν. καὶ γὰρ καὶ ἡμεῖς, διερχόμενοι τὰ ἔθνη καὶ ἐπιστηρίζοντες τὰς ἐκκλησίας, τοὺς μὲν ἐν πολλῇ νουθεσίᾳ καὶ λόγῳ ἰατικῷ ὑγιάσαντες ἐπανηγάγομεν μέλλοντας ὅσον οὐδέπω θνήσκειν ἀπάτῃ, τοὺς δὲ ἀνιάτως ἔχοντας ἐξεβάλομεν * τῆς ποίμνης, ἵνα μὴ ψωραλέας νόσου μεταδῶσι καὶ τοῖς ὑγιαίνουσιν ἀρνίοις, ἀλλὰ καθαρὰ καὶ ἄχραντα, * ὑγιῆ καὶ ἄσπιλα*

2 Paral β 19, 2. 3 | 6 Paral β 20, 37 | 9 Isaj 57, 20 | 10 Isaj 56, 10 | 14 Luc 18, 8 | 15 Matth 24, 12 | 16 Matth 24, 24 | 19 Tim α 1, 1

1 *συμμαχείαν* t | 1 *ἔτι δὲ* + y | 2 *ἠσαΐον* w, *ἴου* x, *ἰωνᾶ* yzt [*I* t], *ἐν ἄλλω διὰ ἰωὴλ* margo yz, *ἐν ἄλλοις Ἰωὴλ* margo t | 3 *εἰ* wx, *ἢ* yzt | 3 *σὺ* + super versum y | 4 *μι* w | 5 *τελεία* serius scr x, quem apparet autographum quum initio legere non potuisset, postea demum assequutum esse | 6 *νῆες* yzt, *ἐνῆαις* w, *νίαι* x | 7 *τὰς κοινωνίας* yz | 8 *καὶ* + yz | 9 *ὅτι* > yz | 9 *ἔστιν* x | 9 *ἀσεβέσιν* x | 10 *οἱ* alterum erasum in w, > x | 10 *ἐννεοὶ* t | 11 *οἱ* + yzt | 11 *οὐ* > z | 11 *εἰσὶ* W | 13 *ὧν* wxt, *τούτων καὶ* yz | 15 *ὅτι* + yz | 17 *δώσουσιν* x | 17 *σημεῖα* + w | 18 *ἐκκλεκτοὺς* z | 19 *κύριος* > yzt | 21 *θεραπευτικῷ* yz | 22 *οὔπω* w | 23 *ἀνιάταις* z | 23 *ἀπὸ* + yzt | 24 *μεταδῶσουσι* corrector recens in w, *μεταδῶσιν* x | 25 *ἀρνείοις* w | 25 *ἄχραντα* xyzt, *ἄσπιλα* w | 25 *καὶ* + wyz | 25 *ὑγιεῖ* w, *ὑγιᾶ* t | 25 *καὶ ἄσπιλα* > w

*διαμείνῃ κυρίῳ τῷ θεῷ· καὶ ταῦτα κατὰ πόλιν πανταχοῦ εἰς*
*ὅλην τὴν οἰκουμένην τοῦ κόσμου πεποιήκαμεν, καταλιπόν-*
*τες ὑμῖν τοῖς ἐπισκόποις καὶ * λοιποῖς ἱερεῦσιν τήνδε τὴν κα-*
*θολικὴν διδασκαλίαν ἀξίως καὶ δικαίως εἰς μνημόσυνον ἐπι-*
*στηρισμοῦ τοῖς πεπιστευκόσι θεῷ, * διαπεμψάμενοι διὰ τοῦ*
*συλλειτουργοῦ ἡμῶν Κλήμεντος τοῦ πιστοτάτου καὶ ὁμοψύ-*
*χου τέκνου ἡμῶν ἐν κυρίῳ, ἅμα καὶ Βαρνάβᾳ καὶ Τιμοθέῳ*
*τῷ ποθεινοτάτῳ υἱῷ καὶ Μάρκῳ τῷ γνησίῳ, σὺν οἷς καὶ*
*Τίτον ὑμῖν γνωρίζομεν καὶ Λουκᾶν Ἰάσωνά τε καὶ Λούκιον*
*καὶ Σωσίπατρον, δι' ὧν καὶ παρακαλοῦμεν ὑμᾶς ἐν κυρίῳ, ἀπέ-* ܡ
*χεσθαι * παλαιᾶς συνηθείας καὶ δεσμῶν ματαίων, ἀφορισμῶν,*
*παρατηρήσεων, βρωμάτων διορισμοῦ, βαπτισμάτων καθημε-*
*ρινῶν· τὰ ἀρχαῖα γὰρ παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.*
*| γνόντες γὰρ θεὸν διὰ Ἰησοῦ χριστοῦ καὶ τὴν σύμπασαν* 19
*αὐτοῦ οἰκονομίαν ἀρχῆθεν γεγενημένην, ὅτι δέδωκε νόμον*
*ἁπλοῦν εἰς βοήθειαν τοῦ φυσικοῦ, καθαρόν, σωτήριον, ἅγιον,*
*ἐν ᾧ καὶ τὸ ἴδιον ὄνομα ἐγκατέθετο, τέλειον, ἀνελλιπῆ, δέκα*
*λογίων, πλήρη, ἄμωμον, ἐπιστρέφοντα ψυχάς· οὗπερ καὶ ἐπι-*
*λαθομένους Ἑβραίους ὑπομιμνήσκει διὰ Μαλαχίου τοῦ προ-*
*φήτου λέγων Μνήσθητε νόμον Μωσῆ, ἀνθρώπου τοῦ θεοῦ,*
*ὃς ἐνετείλατο ὑμῖν προστάγματα καὶ δικαιώματα. ὃς τοσοῦ-*
*τόν ἐστιν ἅγιος καὶ δίκαιος, ὡς καὶ τὸν σωτῆρά ποτε, θε-*
*ραπεύσαντα λεπρὸν ἕνα καὶ πάλιν ἐννέα, εἰπεῖν τῷ πρώτῳ*
*Πορευθεὶς δεῖξον σεαυτὸν τῷ ἀρχιερεῖ, καὶ προσένεγκε τὸ*
*δῶρον ὃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς, τοῖς δὲ*
*ἐννέα πάλιν Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν·*

13 Cor β 5, 17 | 18 Psalm 19, 8 | 20 Malach 3, 22 | 24 Marc 1, 43 | 26 Luc 17, 14

1 *ταῦτα* wyzt, *τὰ* x | 2 *τοῦ κόσμου* > w | 2. 3 *καταλειπόντες* x | 3 *τοῖς* + w | 3 *λυποῖς* z | 3 *ἱερεῦσι* yzt | 4. 5 *ἐπιστηριγμοῦ* yzt | 5 *πεπενστευκόσι* z | 5 *καὶ* + yz | 6 *λειτουργοῦ* w | 6. 7 *ὁμοψύχῳ* W | 7 *καὶ* prius > w | 8 *ποθηνοτάτωι* w, *ποθεινωτάτω* x | 9 *ἰάσονά* yzt [*Ι* t] | 10 *καὶ* alterum > w | 11 *ὑμᾶς* + x | 11 *καὶ* > Yzt | 11 *ἀφορισμῶν* > yz | 12 *παρατ″* cum *βρωμ″* iungunt wz | 12 *διοριςμῶν* w, *διορισμοὺς* yz cum seqq iunctum | 13 *παρῆλθον* w | 13 *τὰ πάντα καινὰ* yz [*νὰ* z] | 14 *γνόντες γὰρ* wxt, *ἔγνωμεν οὖν* yz | 15 *δέδωκεν* xz | 17 *ἀνελλιπῆι* w, *ἀνελλειπές* x, *ἀνελλειπῆ* t | 20 *μωϋσέως* w, *μωϋσῆ* x | 21 init *ὡς* x | 23 *πρῶτο* z | 24 *προσένεγκαι* w | 25 *προσέταξεν* x | 25 *μωϋσῆς* w

οὐ γάρ που κατέλυσε τὸν νόμον, ὡς Σίμων δοξάζει, ἀλλ' ἐπλήρωσε· λέγει γὰρ * ὅτι Ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν ταῦτα πάντα γένηται· * οὐ γὰρ ἦλθον, φησί, καταλῦσαι τὸν νόμον *, ἀλλὰ πληρῶσαι. καὶ γὰρ καὶ Μωσῆς, * νομοθέτης ὁμοῦ καὶ ἀρχιερεὺς καὶ προφήτης καὶ βασιλεύς, καὶ Ἡλίας ὁ ζηλωτὴς τῶν προφητῶν συνῆσαν ἐν τῇ μεταμορφώσει τοῦ κυρίου ἐν τῷ ὄρει μάρτυρες αὐτοῦ τῆς ἐνανθρωπήσεως καὶ τῶν παθημάτων, ὡς φίλοι χριστοῦ καὶ οἰκεῖοι, ἀλλ' οὐχ ὡς ἐχθροὶ ἢ ἀλλότριοι· ἐξ ὧν δείκνυται ὅτι καὶ ὁ νόμος καλὸς καὶ ἅγιος καὶ οἱ προφῆται.

20 | νόμος δέ ἐστιν ἡ δεκάλογος, ἣν πρὸ τοῦ τὸν λαὸν μοσχοποιῆσαι τὸν παρ' Αἰγυπτίοις Ἄπιν θεὸς αὐτοῖς ἐνομοθέτησεν ἀκουστῇ φωνῇ· οὗτος δὲ δίκαιός ἐστιν, διὸ καὶ * νόμος λέγεται διὰ τὸ φύσει δικαίως τὰς κρίσεις ποιεῖσθαι· ὃν οἱ περὶ Σίμωνα * φαυλίζουσιν οἰόμενοι, μὴ κριθέντες ὑπ' αὐτοῦ, τὴν κόλασιν ἐκφεύγειν. οὗτος ὁ νόμος ἀγαθός, ὅσιος, ἀκαταναγκαστος· φησὶ γὰρ Ἐὰν δὲ ποιῇς μοι θυσιαστήριον, ἐκ γῆς ποιήσεις μοι αὐτό. οὐκ εἶπε Ποίησον, ἀλλ' Ἐὰν ποιῇς· οὐκ ἀνάγκην ἐπέθηκεν, ἀλλὰ τῇ ἐξουσίᾳ ἐπέτρεψεν * ἅτε ἐλευθέρᾳ. οὐ γὰρ θυσιῶν δέεται * θεός, ἀνενδεὴς ὑπάρχων τῇ φύσει· ἀλλὰ γινώσκων, καθάπερ καὶ ἤδη πρότερον τὸν φιλόθεον Ἄβελ καὶ Νῶε καὶ Ἀβραὰμ καὶ τοὺς

2 Matth 5, 18 | 3 Matth 5, 17 | 17 Exod 20, 24. 25

1 που > w | 1 κατέλυσεν x, καταλύσαι w | 1 ὡς ... 2 ἐπλήρωσε xyzt [σήμων x, ἐπλήρωσεν x], ἦλθε [ν + corrector] ὁ κύριος ἀλλὰ πληρῶσαι w | 2 λέγει γὰρ wxt, καθὼς καὶ ὁ χριστὸς λέγει yz | 2 που + w | 2 ὅτι > yzt | 2 κεραίαι w | 3 ἀπὸ xyzt, ἐκ w | 3 ἂν > z | 3 ταῦτα > yzt | 3 καὶ πάλιν + yz | 3 οὐ ... 4 πληρῶσαι > w | 3 οὐ γὰρ xt, οὐκ yz | 4 φησὶν x, > yz | 4 ἢ τοὺς προφήτας + x | 5 ὁ + xy | 5 νοθέτης W | 8 ἐνανθρωπίσεως t | 9 ἀλλ' xyzt, καὶ w | 9 ἀλλότριοι ἢ ἐχθροί w | 10 καὶ primum > w | 11 ἣν xyzt, ὃν w | 12 ἄπιν wx | 12. 13 ἐνομοθέτησε w | 13 ἐστι yzt | 13 ὁ + Y | 14 ὃν .... 16 ἐκφεύγειν > w | 14 οὗ x | 15 τὰς κρίσεις + x | 17 φησὶν x | 17 δὲ > Y | 17 ποιήσῃς yzt | 17. 18 θυσιαστήριον ... 18 μοι > Y, sed μοι et in margine et in textu est | 18 ποιήσῃς xy | 18 εἶπεν xyz | 19 ποιήσῃς yzt | 19 οὐκ wxt, οὐδὲ γὰρ yz | 19 ἐπέθηκε w, περιέθηκεν yzt | 19. 20 ἐπέτρεψε W, ἐπέστρεψεν z | 20 ὡς + w | 20 ὁ + w et super versum y | 21 καθάπερ γινώσκων w | 21 ἤδη wyzt, ᾔδει x | 22 καὶ primum xyzt, τὸν w | 22 καὶ secundum > w

*καθεξῆς οὐκ αἰτηθέντας, 'φυσικῷ δὲ νόμῳ κινηθέντας 'ἀφ' ἑαυτῶν προσενέγκαι θυσίαν θεῷ ἀπὸ γνώμης εὐχαρίστου, ἐπιτρέπει καὶ νῦν Ἑβραίοις, οὐ προστάσσων ἀλλ' (εἰ βουληθῶσι) συγχωρῶν καὶ (εἰ ἀπὸ ὀρθῆς γνώμης προσοίσουσιν) εὐδοκῶν ἐπὶ ταῖς θυσίαις αὐτῶν. διὰ τοῦτό φησιν Εἰ θυσίαν ἐπιθυμεῖς, οὐ δεομένῳ μοι θῦε· οὐδενὸς γὰρ ἐν χρείᾳ καθέστηκα· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. ὁπότε δὲ οἱ τοῦ λαοῦ τούτων ἀμνήμονες ὑπῆρξαν, καὶ μόσχον ἀντὶ θεοῦ θεὸν ἐπεκαλέσαντο καὶ τούτῳ τὴν αἰτίαν τῆς ἐξ Αἰγύπτου πορείας ἐπέγραψαν λέγοντες Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου, καὶ δυσσεβήσαντες εἰς ὁμοίωμα μόσχου ἐσθίοντος χόρτον ἀπηρνήσαντο θεὸν τὸν διὰ Μωσέως ἐπισκεψάμενον αὐτοὺς ἐν τῇ θλίψει αὐτῶν, τὸν τὰ σημεῖα ἐπὶ χειρὸς καὶ ῥάβδου ποιησάμενον, τὸν Αἰγυπτίους δεκαπλήγῳ πατάξαντα, τὸν * ἐρυθρὰν θάλασσαν διελόντα εἰς διαιρέσεις ὑδάτων, τὸν διαγαγόντα αὐτοὺς ἐν μέσῳ ὕδατος ὡς ἵππον ἐν πεδίῳ, τὸν τοὺς ἐχθροὺς αὐτῶν καὶ ἐπιβούλους βυθίσαντα, τὸν εἰς Μερρὰν τὴν πικρὰν πηγὴν γλυκάναντα, τὸν ἐκ πέτρας ἀκροτόμου καταγαγόντα ὕδωρ εἰς πλησμονήν, τὸν στύλῳ νεφέλης καὶ στύλῳ πυρὸς σκιάζοντα αὐτοῖς διὰ θάλπος ἄμετρον καὶ * φωτίζοντα καὶ ὁδηγοῦντα τοὺς οὐκ εἰδότας ὅπου πορευθῶσιν, τὸν ἐξ οὐρανοῦ μαννοδοτήσαντα αὐτοῖς καὶ ἐκ θα-*

7 Psalm 50, 12 | 10 Exod 32, 4 | 12 Psalm 106, 20 | 17 Isaj 63, 13

1 *οὐκ* ... 2 *θεῷ* xyzt, *τοὺς προσενέγκαντας ἀφ' ἑαυτῶν θυσίαν τῶι θεῶι* w | 2 *εὐχαρίσταν* Y? | 3 *ἐπιτρέπει* xyzt, *οὕτως* w | 3 *προστάσων* w | 3. 4 *βουληθῶσιν* x | 4 *συνχωρῶν* x | 4 *γνώμης προσοίσουσι* w, *προσοίσουσι γνώμης* yzt [*προσοίσωσι* t] | 5 *θυσίαν* wx, *θύειν* yzt | 6 *ἐν χρείᾳ*] *χρεῖος* x | 8 *οἱ*] *ἡ* z | 8 *τούτου* t | 10 *πορίας* t | 12. 13 *ἀπηρνήσαντος* z | 13 *μωϋσέως* w | 14 *σημεῖα*] *μεῖα* W | 14 *ἐπὶ* xyzt, *διὰ* w in rasura | 15 *τὸν δεκαπλήγω αἰγυπτίους* w, *καὶ τοὺς αἰγυπτίους δεκαπλήγω* t | 15 *δέκα πληγαῖς* yz | 15 *μαστίξαντα* yz | 15 *τὴν* + yzt | 16 *διελόντα θάλασσαν* yzt | 17 *παιδίω* Z | 18 *βυθήσαντα* wZt | 18 *εἰς* ... 19 *γλυκάναντα* xyzt, *τὴν πηγὴν τὴν πικρὰν εἰς μεράν, γλυκάναντι* w | 20. 21 *στύλωι πυρὸς καὶ στύλωι νεφέλης* w | 21 *καὶ στύλῳ πυρὸς* > Yz | 21 *σκιάζων* w | 22 *στύλῳ πυρὸς* + yz | 22 *φωτίζωντα* x | 22. 23 *πωρευθῶσιν* w, *πορευθῶσι* yzt | 23 *μανναδοτήσαντα* corrector w, *ἄρτον δόντα τὸ μάννα* yz [*μάνα* z] | 23 p 183, 1 *θαλάττης* w

λάσσης * κρεωδοτήσαντα ὀρτυγομήτραν *, τὸν * ἐν τῷ ὄρει νομοθετήσαντα αὐτοῖς, * οὗ τῆς φωνῆς ἠξιώθησαν ἐπακοῦσαι· τοῦτον ἀπηρνήσαντο εἰπόντες τῷ Ἀαρὼν Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν, καὶ ἐμοσχοποίησαν χωνευτὸν καὶ ἔθυσαν τῷ εἰδώλῳ· διὸ ὀργισθεὶς ὁ θεός, ἅτε ἀχαριστηθεὶς ὑπ' αὐτῶν, ἔδησεν αὐτοὺς δεσμοῖς ἀλύτοις, στιβώσει φορτισμοῦ καὶ σκληρότητι κλοιοῦ· καὶ οὐκέτι εἶπεν Ἐὰν δὲ ποιῇς, ἀλλὰ Ποίησον θυσιαστήριον καὶ θῦε διηνεκῶς, ἐπιλήσμων γὰρ τυγχάνεις καὶ ἀχάριστος· ὁλοκαύτει οὖν συνεχῶς, ἵνα ὑπομιμνήσκῃ μου· ἐπειδὴ γὰρ τῇ ἐξουσίᾳ κακῶς ἀπεχρήσω, ἀνάγκην ἐπιτίθημί σοι λοιπὸν καὶ βρωμάτων ἀφιστῶ τοιῶνδε καὶ ζῴων σοι διαφορὰς καθαρῶν καὶ ἀκαθάρτων διαστέλλομαι, καίτοι παντὸς ζῴου καθαροῦ τυγχάνοντος ἅτε ὑπ' ἐμοῦ γενομένου, καὶ ἀφορισμοὺς τοιούσδε σοι προστάσσω, καθαρισμούς, συνεχῆ βαπτίσματα, ῥαντισμούς, ἁγνείας τοιάσδε, ἀργίας διαφόρους, καὶ τούτων ἐφ' ἑκάστῳ, ἐὰν παρακούσῃς, τιμωρίαν ὁρίζω ὡς οἰκέτῃ ἀπειθεῖ, ὅπως πιεζόμενος καὶ ὑπὸ τοῦ κλοιοῦ ἀγχόμενος τῆς πολυθέου πλάνης ἐκστῇς καὶ παρεὶς τὸ Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, ὑπομνησθῇς τὸ Ἄκουε, Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστι, καὶ ἀναδράμῃς ἐπ' ἐκεῖνον τὸν νόμον τὸν ὑπ' ἐμοῦ τῇ φύσει καταβληθέντα * πᾶσιν ἀνθρώποις, * ἕνα μόνον ὑπάρχειν θεὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ τοῦτον ἀγαπᾶν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ἰσχύος καὶ ἐξ ὅλης τῆς διανοίας, καὶ πλὴν αὐτοῦ μὴ φοβεῖσθαι ἄλλον, * μήτε ὄνομα θεῶν ἑτέρων ἐπὶ διανοίας λαμβάνειν μήτε

3 Exod 32, 1 | 7 Deut 28, 48 | 19 Exod 32, 4 | 20 Deut 6, 4 | 23 Deut 6, 5

1 ἐξελθόντες + w | 1 κρεοδοτήσαντα x, εἰς κρεοφαγίαν yz | 1 ἐξαγαγόντα + y, ἐξαγαγόντες + z | 1 λαὸν + y, οὖν + z | 2 καὶ + yz | 3 ἀπηρνή σαντο duabus vel tribus literis erasis w, ἀπηρνήσατο z | 4 καὶ ... χωνευτὸν > W | 4. 5 χονευτὸν x | 5 διὸ wxyz, τότε t | 5 ὠργισθεὶς x | 5. 6 ἀχαριτηθεὶς Yz | 6 ἔδυσεν z | 6 αὐτὸς W | 7 εἶπε W | 9 ὁλοκαύτου Yz | 10 ἵν' yzt | 10 ὑπομιμνήσκει x, ὑπομιμνήσκης t | 11 κακῶς a correctore y, nescio quid lateat | 11 ἐπιτήθημί w, ἐπιτίθημοί t | 12 ἀφιστῶι w | 13 διαστέλομαι w | 13 καθαροῦ wx, καλοῦ yzt | 15 προστάσω W | 15 συνεχῆι w | 15. 16 ῥαντίσματα y | 17 οἰκέτῃ] ἔοικε τῶ t | 19 ἐκστήσι w | 20 τὸ xt, τοῦ wyz | 21 ἔστιν x | 22 τοῖς + t | 22 καὶ εἰδέναι + yz | 26 καὶ + yz | 26. θεον x

*προφέρειν διὰ στόματος γλώσσῃ. διὰ γὰρ τὴν σκληρο-*
*καρδίαν αὐτῶν ἐπέδησεν αὐτούς, ἵνα διὰ τοῦ θύειν καὶ ἀρ-*
*γεῖν καὶ ἁγνίζεσθαι καὶ τὰ τοιάδε παρατηρεῖσθαι εἰς ἔννοιαν*
*ἔλθωσι * θεοῦ τοῦ ταῦτα διαταξαμένου αὐτοῖς. | ὑμῶν δὲ* 21
*τῶν πιστευσάντων εἰς τὸν ἕνα θεὸν οὐκ ἀπὸ ἀνάγκης, ἀλλὰ*
*ἀπὸ γνώμης ὑγιοῦς ὑπακουσάντων τῷ καλέσαντι Μακάριοι*
*οἱ ὀφθαλμοί *, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούου-*
*σιν· ἀνείθητε γὰρ τῶν δεσμῶν καὶ ἠλευθερώθητε δουλείας.*
** οὐκέτι γάρ, φησί, λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους, ὅτι*
*πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἀνήγγειλα ὑμῖν·*
*ἐκείνοις γὰρ * μὴ θελήσασιν ἰδεῖν μήτε ἀκοῦσαι, οὐ στερή-*
*σει μορίων, ἀλλὰ κακίας ὑπερβολῇ ἔδωκα προστάγματα οὐ*
*καλὰ καὶ δικαιώματα ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς· οὐ καλὰ*
*δὲ τῷ σκοπῷ αὐτῶν, ἐπειδὴ καὶ οἱ καυτῆρες καὶ τὸ ξίφος*
*καὶ τὰ φάρμακα ἐχθρὰ * τοῖς οὐχ ὑγιαίνουσιν, ἀφύλακτα δὲ*
*διὰ τὴν αὐτῶν παρακοήν, ὅθεν καὶ θάνατον αὐτοῖς ἐπάγει*
*μὴ φυλασσόμενα. | ὑμεῖς οὖν μακάριοι, οἱ λυθέντες * κα-* 22
*τάρας. χριστὸς γὰρ παραγενόμενος ὁ τοῦ θεοῦ υἱὸς τὸν*
*νόμον κυρώσας ἐπλήρωσεν, * τὰ ἐπείσακτα περιεῖλεν, εἰ καὶ*
*μὴ πάντα, ἀλλά γε τὰ βαρύτερα, τὸν μὲν βεβαιώσας, τὰ δὲ*
*παύσας, καὶ τὸ αὐτεξούσιον τῶν ἀνθρώπων πάλιν ἀφῆκεν*
*ἐλεύθερον, οὐ προσκαίρῳ θανάτῳ δικάζων, ἀλλ' ἐν ἑτέρᾳ*
*καταστάσει λογοθετῶν αὐτό· διὸ λέγει Εἴ τις θέλῃ ὀπίσω*
*μου ἐλθεῖν, ἐρχέσθω· καὶ πάλιν Μὴ καὶ ὑμεῖς θέλετε ὑπά-*
*γειν; ἤδη δὲ καὶ πρὸ τῆς παρουσίας αὐτοῦ παρῃτεῖτο τὰς*
*τοῦ λαοῦ θυσίας πολλάκις εἰς αὐτὸν ἐξαμαρτόντος καὶ οἰομέ-*

6 Matth 13, 16 | 9 Ioh 15, 15 | 12 Ezech 20, 25 | 23 Matth 16, 24 | 24 Ioh 6, 67

1 *γλώσσῃ διὰ στόματος* yzt | 1 *γὰρ* > t | 1. 2 *σημεροκαρδίαν* z | 2 *ἐπαίδησεν* x | 3 *τοιάδε* xyzt, *τοιαῦτα* w | 4 *ἔλθωσιν* x | 4 *τοῦ* + yzt 5 *ἀλλ'* yz | 6 *τῷ* > x | 7 *ὑμῶν* + w | 7 *βλέπουσιν* x | 7 *τὰ* > W | 7. 8 *ἀκούουσι* w | 8 *ἀνέθητε* yz | 9 *οὕτω καὶ ὁ κύριος πρὸς ἡμᾶς* + yz sequente *τοὺς αὐτοῦ μαθητὰς εἶπεν* in y | 9 *οὐκέτι ... ὑμᾶς* > z | 9 *φη̄* w, *φησιν* xt [*ι* t] | 9 *ἀλλὰ φίλους* > Yz | 10 *μου* > Yz | 10 *ἀνήγγειλα* wx, *ἐγνώρισα* yzt | 11 *γὰρ* wxt, *δὲ* yz | 11 *τοῖς* + y super versum | 12 *μορίων* xyzt, *μωρίας* w, *μωρίων* X | 14 *τὰ ξίφει* w, *τὸ σιδήριον* yz | 15 *ἐστιν* + w | 15 *ὑγιαίνουσι* w | 16 *ἐπάγει* Wxyzt, *ἐπάγω* w | 17 *φυλασσόμεθα* W? | 17 *τῆς* + yzt | 19 *ἐπλήρωσε* yzt | 19 *καὶ* + w | 22 *καταδικάζων* w | 23 *θέλει* xyz | 25 *παρῃτεῖ* z | 25 *τὰς* > z | 26 *ἐξαμαρτῶντος* xyt [*ἐξάμ* t]

*νου διὰ θυσιῶν, ἀλλ' οὐ διὰ μετανοίας αὐτὸν ἐξευμενίζεσθαι. λέγει γὰρ οὕτως Ἱνατί μοι λίβανον φέρεις ἐκ Σαβᾶ καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ ἔστι * δεκτὰ καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἤδυνάν μοι· καὶ ἑξῆς Τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε τὰ κρέα· ὅτι οὐκ ἐνετειλάμην ὑμῖν, ἡνίκα ἐξήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν. καὶ διὰ Ἠσαΐου λέγει Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος. πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσεσθε ἔτι· ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον, θυμίαμα βδέλυγμά μοι ἐστίν, τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα ὑμῶν καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν. καὶ δι' ἑτέρου * λέγει Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. καὶ τῷ Σαοὺλ ὁ Σαμουὴλ λέγει θῦσαι νενομικότι Ἀγαθὴ ἀκοὴ ὑπὲρ θυσίαν, καὶ ἀκρόαμα ὑπὲρ στέαρ κριῶν· ἰδοὺ γὰρ οὐ θέλει κύριος θυσίαν ὡς τὸ εἰσακούειν αὐτοῦ. καὶ διὰ τοῦ Δαβὶδ λέγει Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· * ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς· μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. καὶ ἐν πάσαις δὲ ταῖς γραφαῖς ὁμοίως αὐ-*

2 Hierem 6, 20 | 5 Hierem 7, 21. 22 | 8 Isaj 1, 11—14 | 17 Amos 5, 23 | 19 Reg α 15, 22 | 22 Psalm 50, 9. 12—14

2 φέρεις post σαβᾶ yzt | 2 βασᾶ w, sed in margine manu prima σαβᾶ | 3 κινάμωμον w | 4 ἔστιν x | 4 μοι + w | 4 οὐχ] οὐκ wx | 4 μοι xyzt, με w | 5 ἑξῆς wxt, πάλιν yz | 6 τὰ > yzt | 6 ὑμῖν > X | 7 αἰγύπου w | 9 πλήρες ἡμί w | 9 ὁλοκαυτώματα w, ὁλοκαύτωμα yz | 11 ἐὰν x | 12 ὠφθῆναί w | 11 ἐξήτησε W, ἐξεζήτησεν x | 12 μου post αὐλήν yzt | 12. 13 προσθήσεσθαι w | 13 ἔτι > wYz | 13 μάταιον xyzt, καὶ w | 14 μου z | 14 ἐστὶ yzt [ι z] | 14 ὑμῶν alterum > w | 15 νηστείας et ἀργίας W? | 17 πάλιν προφήτου + yz | 19 σαοὺλ superscr μου w | 19 ὁ σαμουὴλ > w | 19 θῦσαι νενομικότι > w | 19 νενομηκότι x | 21 ὡς τὸ xyzt, ὥστε w | 23 χιμάρρους w, χειμάρρους xy [ῤῥ y] | 23 ἐὰν πεινάσω οὐ μή σοι εἴπω + yzt

των τὰς θυσίας ἀπαναίνεται διὰ τὸ ἐξαμαρτεῖν αὐτοὺς εἰς αὐ-
τόν· θυσίαι γὰρ ἀσεβῶν βδέλυγμα * κυρίῳ, καὶ γὰρ παρανό-
μως προσφέρουσιν αὐτάς· καὶ πάλιν * Θυσίαι αὐτῶν ὡς ἄρτος
πένθους αὐτοῖς, * πάντες οἱ ἐσθίοντες αὐτὰς μολυνθήσονται.
εἰ οὖν καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ὑπὲρ θυσίαν καρδίαν κα-
θαρὰν ἐπιζητεῖ καὶ πνεῦμα συντετριμμένον, πολλῷ μᾶλλον
ἐλθὼν ἔπαυσε ταύτας, φαμὲν δὴ τὰς δι' αἱμάτων. ἔπαυσε δὲ
αὐτὰς διὰ τοῦ πρότερον πληρῶσαι· καὶ γὰρ καὶ περιετμήθη καὶ
ἐρραντίσθη θυσίας τε προσήνεγκε καὶ ὁλοκαυτώσεις καὶ τοῖς
ἄλλοις ἐθισμοῖς ἐχρήσατο, καὶ ἐγένετο ὁ νομοθέτης αὐτὸς
πλήρωμα * νόμου, οὐκ ἀνελὼν τὸν φυσικὸν νόμον, ἀλλὰ
παύσας τὰ διὰ τῆς δευτερώσεως ἐπείσακτα, εἰ καὶ μὴ πάντα.
| τόν τε γὰρ φυσικὸν νόμον οὐκ ἀνεῖλεν, ἀλλ' ἐβεβαίωσεν. 23
ὁ γὰρ εἰρηκὼς ἐν τῷ νόμῳ Κύριος ὁ θεός σου κύριος εἷς
ἐστιν, ὁ αὐτὸς ἐν τῷ εὐαγγελίῳ λέγει Ἵνα γινώσκωσί σε
τὸν μόνον ἀληθινὸν θεόν· καὶ ὁ εἰρηκὼς Ἀγαπήσεις τὸν
πλησίον σου ὡς σεαυτόν, * ἐν τῷ εὐαγγελίῳ λέγει ἀνανεού-
μενος Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους·
ὁ φόνον τε ἀπαγορεύσας νῦν * εἰκαίαν ὀργήν, ὁ μοιχείαν
νῦν καὶ ἐπιθυμίαν ἔκνομον, ὁ λῃστείαν * νῦν ἐμακάρισεν
μᾶλλον τὸν ἐκ τῶν οἰκείων πόνων ἐπιχορηγοῦντα τοῖς δεομέ-
νοις, ὁ μῖσος νῦν καὶ πρὸς ἐχθροὺς ἀγάπην, ὁ ἄμυναν νῦν
ἀνεξικακίαν, οὐκ ἀδίκου τῆς δικαίας ἀμύνης οὔσης, ἀλλὰ
κρείττονος τῆς * ἀνεξικακίας. οὔτε δὲ τὰ φυσικὰ πάθη ἐκ-
κόπτειν ἐνομοθέτησεν, ἀλλὰ τὴν τούτων ἀμετρίαν. ὁ γονεῖς

2 Prov 21, 27 | 3 Osee 9, 4 | 5 Psalm 51, 12. 19 | 14 Deut 6, 4 | 15 Ioh 17, 3 | 16 Lev 19, 18 | 18 Ioh 13, 34

1 ἀπανένεται x | 2 παρὰ + yzt | 3 αἱ + yzt | 4 καὶ + w | 5 θυσίας yzt | 5. 6 καθαρὰν καρδίαν yz | 6 ἐπεζήτει yzt | 7 ἔπαυσεν x | 7 δὴ > t, δὲ yz | 7 ἔπαυσεν x | 9 ἐρραντίσθηι w | 9 προσήνεγκεν x | 9 ὁλωκαυτώσεις x | 9 τοῖς > W | 11 τοῦ + yzt | 12 τὰς διὰ z | 12 ἐπίσακτα y | 13 ἐβεβαίωσε w | 14 γὰρ wxt, οὖν yz | 15 ἐστι w | 15 γινώσκωσίν x | 17 ἑαυτὸν wyz | 17 ὁ αὐτὸς + w | 18 καινὴν] καὶ νῦν z | 19 τὲ w, τε x, τότε yzt | 19 ἀπαγωρεύσας Y? | 19 καὶ + yz | 19 εἰκαίαν xyzt, ἀνερεῖ καὶ w | 20 ἔκνομον xyzt, ἐκκόπτῃ w | 20 ὁ λῃστείαν ... 21 δεομένοις m pr in margine w | 20 rasura septem literarum capax w | 20 ἐμακάρισε yzt | 21 ἐκ τῶν wx, ἐξ yzt | 21 οἰκίων w | 21 ἐπιχωρηγοῦντα w, ἐπειχορηγοῦντα z | 24 rasura trium literarum capax w | 24 δὲ wxt, πάλιν yz | 24. 25 ἐκκόπειν w

* προστάξας τιμᾶν αὐτὸς τούτοις ὑπετάγη, ὁ σαββατίζειν δι' ἀργίας νομοθετήσας διὰ τὴν τῶν νόμων μελέτην νῦν καθ' ἡμέραν ἐκέλευσεν ἡμᾶς, ἀναλογιζομένους δημιουργίας καὶ προνοίας νόμον, εὐχαριστεῖν τῷ θεῷ. τὴν περιτομὴν ἔπαυσεν, εἰς ἑαυτὸν πληρώσας· αὐτὸς γὰρ ἦν ᾧ ἀπέκειτο, ἡ προσδοκία τῶν ἐθνῶν. ὁ εὐορκεῖν νομοθετήσας καὶ τὸ ἐπιορκεῖν ἀπαγορεύσας τὸ μηδ' ὅλως ὀμνύναι παρήγγειλε. τὸ βάπτισμα, τὴν θυσίαν, τὴν ἱερωσύνην, τὴν τοπικὴν λατρείαν ἑτέρως μετεποίησεν, ἀντὶ μὲν καθημερινοῦ ἓν μόνον δοὺς βάπτισμα τὸ εἰς τὸν αὐτοῦ θάνατον, ἀντὶ δὲ μιᾶς φυλῆς ἐφ' ἑκάστου ἔθνους προστάξας τοὺς ἀρίστους εἰς ἱερωσύνην προχειρίζεσθαι, καὶ οὐ τὰ σώματα μωμοσκοπεῖσθαι, ἀλλὰ θρησκείαν καὶ βίους, ἀντὶ θυσίας τῆς δι' αἱμάτων τὴν λογικὴν καὶ ἀναίμακτον καὶ τὴν μυστικήν, ἥτις εἰς τὸν θάνατον τοῦ κυρίου συμβόλων χάριν ἐπιτελεῖται, τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος, ἀντὶ δὲ τοπικῆς λατρείας ἀπὸ ἀνατολῶν ἡλίου * μέχρι δυσμῶν * ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ προσέταξε δοξάζεσθαι αὐτόν *. οὐ νόμον οὖν περιεῖλεν ἀφ' ἡμῶν, ἀλλὰ δεσμά· περὶ γὰρ τοῦ νόμου καὶ Μωσῆς λέγει Μελετήσεις τὸ ῥῆμα, ὃ ἐγώ σοι ἐντέλλομαι, καθήμενος ἐν οἴκῳ καὶ ἀνιστάμενος καὶ περιπατῶν ἐν ὁδῷ· καὶ ὁ Δαβὶδ λέγει Ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. πανταχοῦ γὰρ ἐννόμους ἡμᾶς εἶναι βούλεται, ἀλλ' οὐχὶ παρανόμους *· Μακάριοι γάρ, φησίν, οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου· μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν· καὶ πάλιν Μακάριοί ἐσμεν, Ἰσραήλ, ὅτι τὰ ἀρεστὰ τῷ θεῷ ἡμῖν γνωστά

1 Luc 2, 51 | 5 Gen 49, 10 | 7 Matth 5, 34 | 13 Rom 12, 1 | 20 Deut 6, 6. 7 | 22 Psalm 1, 2 | 25 Psalm 119, 1. 2 | 27 Baruch 4, 4

1 οὖν + yz | 1 τόστοις z | 1 ὀυπετάγη y | 1 σαββατίζων Y | 2 αργίαν w | 4 νόμου w?? | 4 τῷ > Yzt | 5 ὧ xyzt, ὃ w | 5 ἐπέκειτο z | 6 νοθετήσας W, νομωθετήσας w | 7 μηδὲ yz | 7 ὅλως > t | 7 παρήγγειλεν x, ἐκέλευσε y, ἐκέλευσεν z | 9 μετεποίησε w | 11 ἐφ' wx, ἀφ' yzt | 13 θρισκείαν w | 13 τὴν > t | 14 ἀνέμακτον w | 17 καὶ + t | 17 καὶ + yz | 18 προσέταξεν x | 18 καὶ διώρισεν + yz, καὶ ἐδικαίωσεν + t | 18 οὐ ... 19 δεσμά > w | 19 καὶ > t | 19. 20 μωϋσῆς w | 20. 21 καθίμενος w, καθιστάμενος y | 22 ὁ > w | 22 λέγει > yz | 23 μελητήσει w | 24 εἶναι > Yz | 24 εἶναι + yz

ἐστιν· καὶ ὁ κύριός φησιν Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε,
ἐὰν ποιῆτε αὐτά. | οὐ μόνον δὲ τὸν τῆς δικαιοσύνης νόμον 24
δι' ἡμῶν ἐπιδείκνυσθαι βούλεται, ἀλλὰ καὶ διὰ Ῥωμαίων
εὐδόκησεν αὐτὸν φαίνεσθαι καὶ λάμπειν· καὶ γὰρ καὶ οὗτοι
πιστεύσαντες ἐπὶ τὸν κύριον Ἰησοῦν καὶ πολυθεΐας ἀπέ-
στησαν καὶ ἀδικίας, καὶ τοὺς ἀγαθοὺς ἀποδέχονται καὶ τοὺς
φαύλους κολάζουσιν, Ἰουδαίους δὲ ὑποφόρους ἔχουσιν καὶ
τοῖς ἰδίοις δικαιώμασιν οὐκ ἐῶσι κεχρῆσθαι· | ἐπειδὴ καὶ 25
ἑκούσιον ἐπεσπάσαντο τὴν δουλείαν εἰπόντες Οὐκ ἔχομεν
βασιλέα εἰ μὴ Καίσαρα· καὶ Ἐὰν μὴ ἀποκτείνωμεν * τὸν
χριστόν, φησί, πάντες εἰς αὐτὸν πιστεύσουσι, καὶ ἐλεύσον-
ται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.
* καὶ ἄκοντες προεφήτευσαν· καὶ γὰρ καὶ ἐπίστευσαν εἰς
αὐτὸν τὰ ἔθνη, καὶ αὐτοὶ ὑπὸ Ῥωμαίων τῆς ἐξουσίας πε-
ριηρέθησαν καὶ τῆς νομικῆς λατρείας, κεκωλυμένοι δέ εἰσι
καὶ ἀναιρεῖν οὓς ἂν θέλωσι καὶ θύειν ὅτε θέλωσιν. διὸ
καὶ εἰσὶν ἐπικατάρατοι, μὴ δυνάμενοι ποιεῖν τὰ διατεταγμένα·
ἐπικατάρατος γάρ, φησίν, πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς
γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά·
ἀδύνατον δὲ ἔστιν ἐν * διασπορᾷ μεταξὺ ἐθνῶν ὄντας πάντα
τὰ τοῦ νόμου ἐπιτελεῖν αὐτούς· ἀπαγορεύει γὰρ αὐτοὺς ὁ
θεῖος Μωσῆς *. ἑπόμενοι οὖν * χριστῷ, τὰς εὐλογίας κλη-
ρονομήσωμεν· νόμῳ καὶ προφήταις διὰ τοῦ εὐαγγελίου στοι-
χήσωμεν· φύγωμεν τοὺς μισοθέους, καὶ τοὺς χριστοκτόνους
καὶ * προφητοφόντας, καὶ τοὺς δυσωνύμους καὶ ἀθέους αἱρε-

1 Ioh 13, 17 | 9 Ioh 19, 15 | 10 Ioh 11, 48 | 18 Gal 3, 10 = Deut 27, 26 | 22 Amos 4, 5?

1 ἐστι yzt | 1 φησιν > yz | 1 οἴδατα W, οἴδαται w | 2 ποιῆται w | 3 ὑμῶν w | 4 φένεσθαι z | 5 Ἰησοῦν > yzt | 7 ἔχουσι yzt | 8 ἑῶσιν x | 8 κεχρεῖσθαι w, κεχρῆσθε x | 10 καίσαρα superscr σ w | 10 φησὶ + t | 11 φησὶν x, > yzt | 11 πιστεύσωσιν w, πιστεύουσιν x, πιστεύσωσι t | 13 ὥστε + yz | 15 εἰσιν x | 16 ἂν wxt, ἐὰν yz | 16 med θέλωσιν x | 16 καὶ θύειν ... θέλωσιν > Yz | 16 ὅταν t | 16 fin θέλουσι w, θέλωσι t | 18 $\overline{\varphi\eta}$ w | 18 πᾶς > yzt | 18 ἐμμενεῖν z | 18 πᾶσιν x | 20 τῆι + w | 21 αὐτοῖς yzt | 22 μωυσῆς w | 22 καὶ θυσιαστήριον [θυσιαστηρίων z] ἔξω ἱερουσαλὴμ [*1* t] ἱστᾶν καὶ [τὸν + t] νόμον ἔξω τῶν ὅρων τῆς ἰουδαίας ἀναγινώσκειν + yzt, sed lunulis inclusit y | 22 τῶι + w, ἡμεῖς + t | 24 πολυθέους yzt | 25 τοὺς + yzt | 25 προφητοφάντας w

σιώτας· πειθαρχήσωμεν χριστῷ ὡς βασιλεῖ, ὡς ἐξουσίαν ἔχοντι
μετατιθέναι διατάξεις * διαφόρους, καὶ ἔχοντι ὡς νομοθέτῃ
σοφίαν τοῦ διατάσσεσθαι διαφόρως, πανταχοῦ τῶν φυσικῶν
26 ἀμεταθέτων φυλασσομένων. | ἀπέχεσθε οὖν αἱρεσιωτῶν πάν-
των, ὦ ἐπίσκοποι καὶ λαϊκοί, τῶν φαυλιζόντων τὸν νόμον
καὶ τοὺς προφήτας. θεῷ γὰρ παντοκράτορι ἐχθραίνοντες
ἀπειθοῦσι, καὶ χριστὸν οὐχ ὁμολογοῦσιν υἱὸν θεοῦ· ἀρ-
νοῦνται γὰρ καὶ τὴν κατὰ σάρκα αὐτοῦ γέννησιν, τὸν σταυ-
ρὸν ἐπαισχύνονται, τὸ πάθος καὶ τὸν θάνατον ἀδοξοῦσι,
τὴν ἀνάστασιν ἀγνοοῦσι, τὴν προαιώνιον αὐτοῦ γέννησιν
περικόπτουσιν· τινὲς δὲ ἐξ αὐτῶν * ἑτέρως ἀσεβοῦσι, ψιλὸν
ἄνθρωπον εἶναι φανταζόμενοι τὸν χριστόν, ἐκ ψυχῆς καὶ σώ-
ματος αὐτὸν εἶναι νομίζοντες· ἕτεροι δὲ ἐξ αὐτῶν αὐτὸν εἶναι
τὸν Ἰησοῦν τὸν ἐπὶ πάντων θεὸν ὑποπτεύουσιν, αὐτὸν ἑαυ-
τοῦ πατέρα δοξάζοντες, αὐτὸν υἱὸν καὶ παράκλητον ὑπο-
πτεύοντες· ὧν τί ἂν γένοιτο ἐναγέστερον; ἄλλοι δ' αὖ πάλιν
ἐξ αὐτῶν βρώματά τινα φαυλίζουσιν, καὶ γάμον κακὸν
σὺν παιδοποιΐᾳ λέγουσιν εἶναι διαβόλου τε μηχανήματα, καὶ
διὰ τὴν πονηρίαν αὐτῶν, ἀσεβεῖς ὄντες, οὐ θέλουσιν ἐκ
νεκρῶν ἀναστῆναι, διὸ καὶ τὴν ἀνάστασιν διαβάλλουσι,
φάσκοντες ὅτι σεμνοί τινες ἐσμὲν ἐσθίειν καὶ πίνειν μὴ
βουλόμενοι, δαιμόνια δὲ ἄσαρκα φανταζόμενοι ἐκ νεκρῶν
ἀναστήσεσθαι· οἵτινες * καταδικασθήσονται δι' αἰῶνος ἐν
τῷ αἰωνίῳ πυρί. φεύγετε οὖν ἀπ' αὐτῶν, ἵνα μὴ συνα-
27 πόλησθε ταῖς αὐτῶν ἀσεβείαις. | εἰ δέ τινες παρατηρούμενοι
φυλάσσουσιν ἔθιμα ἰουδαϊκά, γονορροίας, ὀνειρώξεις, πλη-
σιασμοὺς τοὺς κατὰ νόμον, λεγέτωσαν ἡμῖν εἰ ἐν αἷς ὥραις

14 Rom 9, 5

1 πιθαρχήσωμεν t | 1 χριστῷ > t | 2 rasura novem literarum capax w | 3 διατάσεσθαι w | 4 φυλαττομένων t | 4 αἱρεσιοτῶν w | 6 ἐχθαίνοντες w | 7 ἀπειθοῦσιν x | 8 γὰρ wxt, δὲ yz | 8 κατὰ > y | 9 ἀδοξοῦσιν x | 10 ἀγνωοῦσι w, ἀγνοοῦσιν x | 10 πρὸ αἰώνων yzt | 11 περικόπτουσι t, περιγράφουσι yz | 11 ἐξ > Yz | 11 καὶ + yz | 11 ἀσεβοῦσιν x | 12 εἶναι > t | 12 χριστόν wx, κύριον yzt | 13 ἐξ αὐτῶν wxt, πάλιν yz | 14. 15 ἑαυτοῦ xyzt, ἐπ' αὐτοῦ w | 16 γένοιτο wx, εἴη yzt | 16 ἐναγκέστερον z | 17 φαυλίζουσι yzt. | 18 μηχάνημά yzt | 20 διαβάλλουσιν x | 23 καὶ + yz | 26 ἔθημα x | 26 γονορρυΐας xt [ί t]

ἢ ἡμέραις ἕν τι τούτων ὑπομείνωσιν, παρατηροῦνται προσεύξασθαι ἢ εὐχαριστίας μεταλαβεῖν ἢ βιβλίου θιγεῖν· καὶ ἐὰν συνθῶνται, δῆλον ὡς τοῦ ἁγίου πνεύματος κενοὶ τυγχάνουσι τοῦ ἀεὶ παραμένοντος τοῖς πιστοῖς· περὶ γὰρ τῶν ὁσίων λέγει ὁ Σολομὼν ἵνα ἕκαστος ἑαυτὸν εὐτρεπίζῃ ὅπως ὅταν καθεύδῃ, φυλάσσῃ αὐτὸν καὶ ὡς ἂν ἐγείρηται, συλλαλῇ αὐτῷ. εἰ γὰρ νομίζεις, ὦ γύναι, ἑπτὰ ἡμέρας ἐν ἀφέδρῳ οὖσα τοῦ ἁγίου πνεύματος κενὴ τυγχάνειν, ἆρα τελευτήσασα ἐξαίφνης κενὴ πνεύματος καὶ ἀπαρρησίαστος τῆς πρὸς θεὸν ἐλπίδος ἀπελεύσῃ; ἢ τὸ μὲν πνεῦμα ἔχεις πάντως ἀχώριστον ἅτε μὴ ἐν τόπῳ ὄν, δεῖ δέ σοι προσευχῆς * καὶ τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως, ὡς οὐδὲν ἐν τούτῳ παρανομοῦσα. οὔτε γὰρ νόμιμος μίξις οὔτε λέχος οὔτε αἵματος φορά, οὐκ ὀνείρωξις μιᾶναι δύναται ἀνθρώπου φύσιν ἢ τὸ ἅγιον πνεῦμα χωρίσαι, ἢ μόνη ἀσέβεια καὶ παράνομος πρᾶξις. τὸ γὰρ ἅγιον πνεῦμα τοῖς κεκτημένοις αὐτὸ ἀεὶ παράμονόν ἐστιν, ἕως ἂν ὦσιν ἄξιοι, καὶ ὧν ἂν χωρισθῇ, τούτους ἐρήμους * καθίστησι καὶ τῷ πονηρῷ πνεύματι ἐκδότους. πᾶς δὲ ἄνθρωπος ὁ μὲν τῷ πνεύματι τῷ ἁγίῳ πεπλήρωται, ὁ δὲ τῷ ἀκαθάρτῳ, καὶ οὐχ οἷόν τε φυγεῖν αὐτῶν ἑκάτερον, εἰ μὴ ἐναντίον τι πάθωσιν· ὅ τε γὰρ παράκλητος μισεῖ πᾶν ψεῦδος ὅ τε διάβολος πᾶσαν ἀλήθειαν. πᾶς δὲ βεβαπτισμένος κατὰ ἀλήθειαν τοῦ μὲν διαβολικοῦ πνεύματος κεχώρισται, τοῦ δὲ ἁγίου πνεύματος ἐντὸς καθέστηκε· καὶ ἀγαθοεργοῦντι μὲν παραμένει τὸ πνεῦμα τὸ ἅγιον, πληροῦν αὐτὸν σοφίας καὶ

6 Prov 6, 22

1 ὑπομείνωσι yzt | 2 ἢ εὐχαριστίας μεταλαβεῖν > xt, sed margo t signo post θίγειν posito ἐν ἄλλοις ἢ εὐχαριστίας μεταλαβεῖν | 2 ἢ alterum > z | 3. 4 τυγχάνουσιν x | 6 ἵν' yzt | 5 εὐτρεπίζει y | 6 φυλάσσει x | 6 ὡς ἂν wxyz, ὡσὰν t, ὅταν PC | 6 ἐγείρῃ Yz | 6. 7 συλλαλεῖ x | 7. 8 ἀφαίδρωι w, ἀφαίδρω x | 8. 9 τετελευτήσασα z | 9. 10 τῇ πρὸς z | 10 ἢ τόμεν x, ἡ τὸ μὲν yz, εἰ δὲ τὸ wt | 11 ὧν w | 11 δέ wxyz, μέν t | 12 καὶ εὐχαριστίας + yz, ἐν ἄλλω καὶ εὐχαριστίας margo t, signo post προσευχῆς posito | 14 λεχώ y, λεχό z | 14 ονειρώξεις' w | 14 δύνανται x | 18 ἑαυτοῦ + yz | 18 καθίστησιν x | 19 τῷ] τ w sed ῶι pr m super versum | 20 πεπλήρωται τῷ ἁγίῳ yzt [ω bis t | 21 αὐτὸν x | 25 καθέστηκεν x | 25 μὲν > Yz

συνέσεως, καὶ τὸ πονηρὸν πνεῦμα οὐκ ἐᾷ αὐτῷ πλησιάσαι, ἐπιτηροῦν αὐτοῦ τὰς ἐφόδους. σὺ οὖν, ὦ γύναι, * εἰ ἐν τῷ καιρῷ τῆς ἀφέδρου κενὴ τυγχάνεις τοῦ ἁγίου πνεύματος, τοῦ ἀκαθάρτου πεπλήρωσαι. μὴ προσευχομένη γὰρ μήτε ἀναγινώσκουσα ἄκοντα αὐτὸν προσκαλέσῃ· φιλεῖ γὰρ οὗτος τοὺς ἀχαρίστους, εἴ καί τις ἄλλος, τοὺς ῥαθύμους, τοὺς ἀμελεῖς, τοὺς ὑπνώδεις· ἐπειδὴ καὶ αὐτὸς ἀχαριστίᾳ κακόνοιαν νοσήσας ἐγυμνώθη παρὰ θεοῦ τῆς ἀξίας, ἀντὶ ἀρχαγγέλου διάβολος αἱρησάμενος εἶναι. διὸ καὶ τῶν ματαίων ἀπόσχου λόγων, ὦ γύναι, καὶ ἔσο μεμνημένη πάντοτε * τοῦ σε δημιουργήσαντος καὶ προσεύχου τούτῳ, ἐστὶ γάρ σοῦ καὶ τῶν ὅλων κύριος, καὶ μελέτα τοὺς αὐτοῦ νόμους, μηθὲν παρατηρουμένη, μὴ κάθαρσιν φυσικήν, μὴ μίξιν νόμιμον, μὴ τοκετὸν ἢ ἀποβολήν, μὴ μῶμον σώματος· ἐπείπερ τὰ τοιαῦτα παρατηρήματα μωρῶν ἀνθρώπων * ἐφευρέματα μάταια καὶ νοῦν οὐκ ἔχοντα. οὔτε δὲ κῆδος ἀνθρώπου οὔτε ὀστέον νεκροῦ οὔτε μνῆμα οὔτε τοιόνδε βρῶμα οὔτε ὀνείρωξις μιᾶναι δύναται ἀνθρώπου ψυχήν, ἀλλὰ μόνον ἀσέβεια * εἰς θεὸν καὶ παρανομία καὶ * εἰς τὸν πλησίον ἀδικία, λέγω δὴ ἁρπαγή, * βία ἢ εἴ τι ἐναντίον τῆς αὐτοῦ δικαιοσύνης, * μοιχεία ἢ πορνεία. ὅθεν τὰ τοιαῦτα περιιστάμενοι παρατηρήματα φεύγετε, ἀγαπητοί· ἑλληνικὰ γὰρ τυγχάνει. οὔτε γὰρ τὸν τεθνεῶτα βδελυσσόμεθα ὡς ἐκεῖνοι, ἐλπίζοντες αὐτὸν πάλιν ἀναβιῶναι, οὔτε τὴν νόμιμον μίξιν κακίζομεν· ἔθος γὰρ αὐτοῖς τὰ τοιαῦτα ἀσεβεῖν. θεοῦ γὰρ γνώμῃ ἀνδρὸς καὶ γυναικὸς συνέλευσις γίνεται ἡ μετὰ δικαιοσύνης *· ὁ ποιήσας γὰρ ἀπ' ἀρχῆς ἄρσεν

27 Matth 19, 4

1 οὐκ ἐᾶι ante τὸ w | 2 καθὼς λέγεις + yzt | 3 ἐν ταῖς ἡμέραις τῆς yzt | 3 ἀφαίδρου wx | 4 γάρ xyzt, δὲ w | 5 μήδὲ yzt | 5 ἄκοντα wxyzt, ἀπόντα C qui in margine ἀπότα [sic] vel ἑκόντα suasit | 5 προσκαλέσει x | 8 κακονοίας w | 8 παρὰ θεοῦ post ἀξίας w | 9 αἱρετησάμενος t, ἑλόμενος yz | 9 καὶ > yzt | 10 λόγων ἀπόσχου w | 10 ἔσω x | 11 θεοῦ + yzt | 16 εἰσιν + w | 16 ματαίων w | 16 ἐχόντων w | 16 δὲ > wY | 16. 17 margo w κηδία ἀνθρώπου m pr | 17 ὀστέα w, ὀστέων y | 18 ὀνειρώξις w, ὀνειρωγμὸς yzt | 18 δύνανται x | 19 μόνη yzt | 19 ἡ + yzt | 19 ἡ + xy | 20 ἢ + yzt | 20 εἴ > yz | 21 ἢ + yz | 22 παρατιρήματα y | 23 θνεῶτα W | 23 βδελλυσσόμεθα w | 24 πάλιν > w | 25 κακίζωμεν w | 26 γὰρ > w | 26 συνέλευσης W | 26. 27 γίνεσθαι w | 27 ἡ deest

*καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εὐλόγησεν αὐτοὺς καὶ εἶπεν Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν. εἰ τοίνυν θεοῦ βουλήσει παραλλαγὴ σχημάτων γέγονεν πρὸς γένεσιν πλήθους, ἄρα κατὰ τὴν αὐτοῦ γνώμην καὶ ἡ συνέλευσις τοῦ ἄρρενος πρὸς τὸ θῆλυ, | οὐκέτι δὲ καὶ ἡ παρὰ* 28 *φύσιν βδελυκτὴ μῖξις ἢ ἡ παράνομος πρᾶξις, ἐχθρὰ * θεοῦ ὑπάρχουσα. καὶ γὰρ * παρὰ φύσιν ἐστὶν ἡ Σοδόμων ἀσέλγεια καὶ ἡ πρὸς ἄλογα, παράνομον δὲ μοιχεία καὶ πορνεία· ὧν τὰ μὲν ἀσεβήματα, τὰ δὲ ἀδικία καὶ τὸ τελευταῖον ἁμάρτημα, οὐδέτερον δὲ αὐτῶν ἀτιμώρητον κατὰ τὴν οἰκείαν διάθεσιν. οἵ τε γὰρ πρῶτοι διάλυσιν κόσμου μηχανῶνται, τὰ κατὰ φύσιν παρὰ φύσιν ἐπιχειροῦντες ποιεῖν· οἱ δὲ δεύτεροι οἱ μὲν ἀδικοῦσιν ἀλλοτρίους γάμους φθείροντες καὶ τὸ ὑπὸ θεοῦ γενόμενον ἓν διαιροῦσιν εἰς δύο τούς τε παῖδας ὑπόπτους * καὶ τὸν φυσικὸν ἄνδρα εὐεπιβούλευτον, ἥ τε πορνεία φθορὰ τῆς οἰκείας ἐστὶ σαρκός, οὐκ ἐπὶ παιδοποιίᾳ γινομένη, ἀλλ' ἡδονῇ χαριζομένη τὸ πᾶν, ὅπερ ἐστὶν ἀκρασίας σύμβολον, ἀλλ' οὐκ ἀρετῆς σημεῖον. ἀπηγόρευται δὲ τοῖς νόμοις ἅπαντα ταῦτα. φησὶ γὰρ τὰ λόγια οὕτως Οὐ κοιμηθήσῃ μετὰ ἄρρενος κοίτην γυναικείαν, ἐπικατάρατος γὰρ ὁ τοιοῦτος καὶ λίθοις λιθοβολήσετε αὐτούς, ὅτι βδέλυγμα ἐποίησαν * ἐν τῷ λαῷ· καὶ ἐάν τις γυναῖκα ὕπανδρον μιάνῃ, ἀποκτείνατε ἀμφοτέρους, ἀνομίαν * ἐποίησαν, ἔνοχοί εἰσιν, ἀποθανέτωσαν· καὶ ἑξῆς Οὐκ ἔστι πορνεύων ἐν υἱοῖς Ἰσραὴλ καὶ οὐκ*

2 Gen 1, 28 | 20 Levit 18, 22 + 20, 13 | 22 Lev 20, 10 + Deut 22, 22 | 25 Deut 23, 17. 18

in W in rasura, habet w super versum | p 191, 27 *η* super rasuram duarum literarum capacem + w | 1 *εἶπε* W | 3 *γέγονε* yzt | 4 *γέννησιν* y | 5 *ἄρενος* w | 5 *πρὸ* W | 5 *οὐκ ἔστι* w | 6 *βδελλυκτὴ* w | 6 *ἢ* xyzt, *καὶ* w | 6 *γὰρ* + t | 7 *ὑπάρχουσα* > w | 7 *καὶ* + yz | 8 *ἀσέλγια* x, *ἁμαρτία* yzt, margo t *ἐν ἄλλῳ ἀσέλγεια* | 8 *ἡ* > w | 8 *παρὰ νόμον* yz | 10 *δὲ* > w | 10 *ἀτιμώριτον* w | 13 *ἀδικοῦσι* W | 15 *ποιοῦσι* + yz | 15. 16 *ἐπιβούλευτον* z | 16 *δὲ* w | 16 *ἐστὶν* w | 17 *παιδοποιῖαν* w | 19 *φη* w, *φησὶν* x | 19 *γὰρ* wxt, *δὲ* yz | 20 *οὐ* xyzt, *μὴ* w | 20 *κοιμηθήσει* X | 20 *ἄρενος* w, *ἄρσενος* x | 21. 22 *λιθοβολήσατε* yzt | 22 *ὅτι* > yzt | 22 *πάντα κοιμώμενον μετὰ κτήνους ἀποκτείνατε αὐτόν, ἀνομίαν ἐποίησεν* + yzt | 24 *γὰρ* + w | 25 *ἑξῆς* wxt, *μετ' ὀλίγα* yz | 25 *ἔστιν* x, *ἔσται* yzt

*ἔστι πορνεύουσα ἀπὸ θυγατέρων Ἰσραήλ· οὐ προσοίσεις μίσθωμα πόρνης κυρίῳ τῷ θεῷ σου ἐπὶ τὸ θυσιαστήριον οὔτε ἄλλαγμα κυνός· οὐ γὰρ ἁγναί, φησίν, εὐχαὶ ἐκ μισθώματος ἑταίρας. ταῦτα μὲν ἀπηγόρευσαν οἱ νόμοι, τὸν δὲ γάμον ἐσέμνυναν, εὐλογημένον αὐτὸν ἀποκαλέσαντες, ἐπειδὴ καὶ εὐλόγησεν αὐτὸν ὁ θεός, * συζεύξας τὸ θῆλυ τῷ ἄρρενι. λέγει γάρ που * Παρὰ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί. καὶ ὁ Δαβὶδ λέγει Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου, οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου· ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον. οὐκοῦν ὁ γάμος τίμιος καὶ σεμνὸς καὶ ἡ τῶν παίδων γένεσις καθαρά· οὐδὲν γὰρ κακὸν ἐν καλῷ ὑπάρχει. οὔτε οὖν ἡ φυσικὴ κάθαρσις βδελυκτὴ * θεῷ, ὡς αὐτὴν ᾠκονόμησε συμβαίνειν γυναιξὶν ἐν τριακονθημέρῳ συστάσεως χάριν καὶ εὐρωστίας ἀκινητοτέραις ὑπαρχούσαις, ἅτε ἐν οἴκῳ καθημέναις τὸ πλεῖον. οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν τῷ εὐαγγελίῳ ὁ κύριος, τῆς αἱμορροούσης ἁψαμένης τοῦ σωτηρίου κρασπέδου ὑγείας χάριν, οὐκ ἠχθέσθη ἐπ' αὐτῇ, οὔτε μὴν ὅλως ᾐτιάσατο, τοὐναντίον δὲ καὶ ἰάσατο αὐτὴν φήσας Ἡ πίστις σου σέσωκέν σε. καὶ φυσικῶν μὲν φαινομένων ταῖς γυναιξίν, οἱ ἄνδρες μὴ συνερχέσθωσαν προνοίας ἕνεκεν τῶν γεννωμένων· ἀπεῖπε γὰρ ὁ νόμος *· πρὸς γυναῖκα γάρ, φησίν, ἐν ἀφέδρῳ οὖσαν οὐ προσεγγιεῖς. μήτε μὴν ἐγκυμονούσαις ὁμιλείτωσαν αὐταῖς· οὐκ ἐπὶ παίδων γὰρ γενέσει τοῦτο*

1 Deut 23, 19 | 3 Prov 19, 13 | 7 Prov 19, 14 | 8 Psalm 128, 3. 4 | 20 Matth 9, 22 | 23 Ezech 18, 6

1 *ἔστιν* x, *ἔσται* yzt | 2 *πώρνης* z | 4 *ἑτέρας* z | 6 *αὐτὸν* > t | 6 *ὁ* + yzt | 6 *συξεύξας* W | 6 *τῶ θῆλυ* y, *τὸ θῆμ* z | 7 *ἄρενι* z | 7 *γάρ* wx, *δέ* yzt | 7 *καὶ ὁ σοφὸς σολομῶν* + yzt [*Σολομὼν* t] | 8 *λέγει* > w | 8. 9 *εὐθινοῦσα* w | 9 *ταῖς* y | 9 *κλήτεσι* wt, *κλίτεσιν* x | 14 *βδελλυκτὴ* w, *βδελυκτὶ* x | 14 *παρὰ* + yzt | 14 *ὡς* wx, *ὃς* yzt | 14 *οἰκονόμησεν* x | 14. 15 *συμβαίνει* z | 15 *γυναιξί* y | 15 *ἐν τριακονθημέρω* wxt, *καὶ τὰς τριάκοντα ἐννέα μέρας* y, *κατὰ τριάκοντα ἐννέαμέρας* z | 16 *ἀκήϊνητοτέραις* x | 16 *οἰκία* yzt | 17 *ἀλλὰ* > yz | 19 *ὑγίας* wt | 19 *ὅλως* > yz | 21 *σέσωκέ* yzt | 21. 22 *γυναιξὶ* W | 22 *πορνοίας* Z | 22 *ἕνεκα* yzt | 22. 23 *γεννομένων* wt | 23 *ἀπεῖπεν* xyz | 23 *λέγων* + z | 23 *γάρ φησίν* > yz | 23 *φησι* w | 24 *ἀφαίδρω* wx | 24 *προσεγγιεῖ* t | 25 *ὁμιλήτωσαν* x

ποιοῦσιν, ἀλλ' ἡδονῆς χάριν, οὐ δεῖ δὲ φιλήδονον τὸν φι-
λόθεον ὑπάρχειν. | αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις 29
ἀνδράσι καὶ διὰ τιμῆς αὐτοὺς ἔχετε, καὶ φόβῳ καὶ ἀγάπῃ
δουλεύετε αὐτοῖς, ὡς ἡ ἁγία Σάρρα τὸν Ἀβραὰμ ἐτίμα οὐδ'
ἐξ ὀνόματος αὐτὸν ὑπομένουσα καλεῖν, ἀλλὰ κύριον αὐτὸν
προσαγορεύουσα ἐν τῷ λέγειν Ὁ δὲ κύριός μου πρεσβύτης.
ὁμοίως καὶ οἱ ἄνδρες, στέργετε τὰς ἑαυτῶν γυναῖκας ὡς ἴδια
μέλη, ὡς κοινωνοὺς βίου καὶ συνεργοὺς πρὸς γένεσιν παί-
δων. συνευφραίνου γάρ, φησί, μετὰ γυναικὸς τῆς ἐκ νεό-
τητός σου, * ἔλαφος * φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμι-
λείτω σοι, ἡ δὲ ἰδία ἡγείσθω σου καὶ συνέστω σοι ἐν
παντὶ καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος
πολλοστὸς ἔσῃ. ἀγαπᾶτε οὖν αὐτὰς ὡς οἰκεῖα μέλη, ὡς
ὑμέτερα σώματα· γέγραπται γὰρ οὕτως Κύριος διεμαρτύρατο
ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, καὶ αὐτὴ
κοινωνός σου καὶ οὐκ ἄλλος ἐποίησεν, καὶ ὑπόλειμμα πνεύ-
ματός σου· καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα
νεότητός σου μὴ ἐγκαταλίπῃς. ἀνὴρ οὖν καὶ γυνή, νομίμῳ
γάμῳ συνερχόμενοι καὶ ἀπ' ἀλλήλων ἐγειρόμενοι, ἀπαρατη-
ρήτως προσευχέσθωσαν· καὶ μὴ λελουμένοι * καθαροί εἰσιν.
ὃς δ' ἂν ἀλλοτρίαν γυναῖκα ὑποφθείρας μιάνῃ ἢ συμμιανθῇ
πόρνῃ, ἀναστὰς ἀπ' αὐτῆς, οὐδ' ἂν τὸ πέλαγος ὅλον καὶ τοὺς
ποταμοὺς πάντας ἀπολούσηται, καθαρὸς εἶναι δυνήσεται. | μὴ 30
παρατηρεῖσθε οὖν * τὰ ἔννομα καὶ τὰ φυσικά, νομίζοντες μο-
λύνεσθαι δι' αὐτῶν, μηδὲ ἐπιζητεῖτε ἰουδαϊκοὺς ἀφορισμοὺς
ἢ συνεχῆ βαπτίσματα ἢ καθαρισμοὺς ἐπὶ θίξει νεκροῦ, ἀπα-
ρατηρήτως δὲ συναθροίζεσθε ἐν τοῖς κοιμητηρίοις, τὴν ἀνά-
γνωσιν τῶν ἱερῶν βιβλίων ποιούμενοι καὶ ψάλλοντες ὑπὲρ

6 Gen 18, 12 | 9 Prov 5, 18. 19 | 14 Malach 2, 14. 15

1 ποιοῦσι W | 2 ὑποτάσεσθε w | 2 ἰδίοις > x | 3 ἀνδράσιν x | 4 ἐτίμα τὸν ἀβραὰμ w | 4 οὐδὲ yzt | 6 ὁ δὲ x in rasura septem literarum capaci | 6 δὲ > W | 7 καὶ > yzt | 7 ἑαυτῶν xyzt, ἰδίας w | 9 φησιν x | 10 καὶ πάλιν + yz | 10 σῆς + t | 11 συνέσθω y | 14 οὕτω yzt | 15 αὕτη t | 16 ἐποίησε yzt, puncto praecedente yz, virg > x | 17 φυλάξεσθε yz | 17 ἐν > yzt | 18 ἐγκαταλείπης x | 18 νομίμως x | 20 λουσάμενοι yzt | 20 γὰρ + yz | 23 πάντας > w | 24 παρατηρεῖσθαι w | 24 rasura trium literarum capax w | 24 τὰ alterum > yzt | 26 ἢ συνεχῆ ... καθαρισμοὺς bis z | 28 βίβλων yz

*τῶν κεκοιμημένων μαρτύρων καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων καὶ τῶν ἀδελφῶν ὑμῶν τῶν ἐν κυρίῳ κεκοιμημένων, καὶ τὴν ἀντίτυπον τοῦ βασιλείου σώματος τοῦ χριστοῦ δεκτὴν εὐχαριστίαν προσφέρετε ἔν τε ταῖς ἐκκλησίαις ὑμῶν καὶ ἐν τοῖς κοιμητηρίοις, καὶ ἐν ταῖς ἐξόδοις τῶν κεκοιμημένων ψάλλοντες προπέμπετε αὐτούς, ἐὰν ὦσι πιστοὶ ἐν κυρίῳ. τίμιος γὰρ ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, καὶ πάλιν Ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐεργέτησέν σε· καὶ ἐν ἄλλοις Μνήμη δικαίων μετ' ἐγκωμίων· καὶ Δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ. οἱ γὰρ θεῷ πεπιστευκότες, ἐὰν καὶ κοιμηθῶσιν, οὐκ εἰσὶ νεκροί· λέγει γὰρ ὁ σωτὴρ τοῖς Σαδδουκαίοις Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ γεγραμμένον ὅτι ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ; οὐκ ἔστιν οὖν ὁ θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων, πάντες γὰρ αὐτῷ ζῶσιν. οὐκοῦν τῶν παρὰ θεῷ ζώντων οὐδὲ τὰ λείψανα ἄτιμα. καὶ γὰρ * Ἐλισσαῖος ὁ προφήτης μετὰ τὸ κοιμηθῆναι αὐτὸν νεκρὸν ἤγειρε πεφονευμένον ὑπὸ πειρατῶν Συρίας, ἔψαυσε γὰρ τὸ σῶμα αὐτοῦ τῶν Ἐλισσαίου ὀστέων καὶ ἀναστὰς ἔζησεν· οὐκ ἂν δὲ ἐγεγόνει τοῦτο, εἰ μὴ ἦν τὸ σῶμα Ἐλισσαίου ἅγιον. καὶ Ἰωσὴφ ὁ σώφρων περιεπλέκετο τῷ Ἰακὼβ μετὰ τὸ ἀποθανεῖν ὄντι ἐπὶ τῆς κλίνης, καὶ Μωσῆς καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐπεφέροντο τὰ λείψανα τοῦ Ἰωσήφ, μολυσμὸν οὐχ ἡγούμενοι τοῦτο. * καὶ ὑμεῖς οὖν, ὦ ἐπίσκοποι καὶ οἱ λοιποί, ἀπαρατηρήτως ἁπτόμενοι τῶν κεκοιμημένων μὴ νομίσητε μιαίνεσθαι, μηδὲ βδελύσσεσθε τὰ τούτων λείψανα, * περιιστάμενοι τὰς τοιαύ-*

7 Psalm 116, 15 | 8 Psalm 116, 7 | 9 Prov 10, 7 | 10 Sap 3, 1 | 12 Matth 22, 31. 32 | 15 Luc 20, 38 | 19 Reg δ 13, 21

2 *ἡμῶν* w | 3 *τοῦ* alterum > yzt | 6 *ὦσιν* x | 8 *ἡ* > wyz | 9 *εὐεργέτησέν* Wx, *εὐεργέτησέ* wt, *εὐηργέτησέ* yz | 9 *ἐν ἄλλοις* wxt, *ὁ σολομῶν* yz | 11 *εἰσὶν* xzt | 12 *σωτὴρ* xyzt, *κύριος* w | 12 *Σαδουκαίοις* t | 13 *ἀνασεως* y | 16 *ζῶσι* w | 16 *οὐκοῦν* bis t | 17 *καὶ* + t | 18 *ἤγειρεν* x | 18 *πεφονευμένων* x | 19 *ἔψαυσεν* x | 23 *κλήνης* w | 23 *μωυσῆς* w | 23 *ναυῆι* w | 24 *τοῦ* > yzt | 24 *ταῦτα* w | 24 *ὅθεν* + yzt | 25 *οὖν* > yzt (ex z nihil annotavi) | 26 *μιαίνεσθε* x | 27 *βδελύσεσθε* w | 27 *μᾶλλον δὲ* + yz | 27 *περιιστάμενοι* xt, post rasuram sex vel septem literarum cui *παρατηρόν* superscriptum est *μενοι* w, *περιΐστασθε* y, *περιίστασθε* z

τας παρατηρήσεις μωρὰς οὔσας· καὶ κοσμεῖτε ἑαυτοὺς ἐν ἁγιασμῷ καὶ σωφροσύνῃ, ὅπως μέτοχοι τῆς ἀθανασίας καὶ κοινωνοὶ τῆς βασιλείας τοῦ θεοῦ γένησθε καὶ τὴν ἐπαγγελίαν αὐτοῦ λάβητε, ἀναπαυόμενοι διὰ Ἰησοῦ χριστοῦ τοῦ σωτῆρος αἰωνίως. τῷ οὖν δυναμένῳ ἀνοῖξαι τὰ ὦτα τῶν καρδιῶν ὑμῶν * εἰς τὸ εἰσδέχεσθαι τὰ διηκονημένα τοῦ θεοῦ λόγια διά τε τοῦ εὐαγγελίου καὶ διὰ τῆς διδασκαλίας Ἰησοῦ χριστοῦ τοῦ Ναζωραίου, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου καὶ κοιμηθέντος καὶ ἀναστάντος ἐκ νεκρῶν καὶ πάλιν ἐρχομένου ἐπὶ συντελείᾳ τοῦ αἰῶνος μετὰ δόξης καὶ δυνάμεως πολλῆς καὶ τοὺς μὲν νεκροὺς ἀνεγείροντος, τῷ κόσμῳ δὲ τέλος ἐπάγοντος, ἑκάστῳ δὲ τὰ πρὸς ἀξίαν ἀπονέμοντος, τῷ δόντι ἡμῖν ἀρραβῶνα τῆς ἀναστάσεως ἑαυτὸν καὶ εἰς οὐρανοὺς ἀναληφθέντι διὰ τῆς δυνάμεως τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ ἐπ' ὄψεσιν ἡμετέραις τοῖς συμφαγοῦσιν αὐτῷ καὶ συμπιοῦσιν ἐπὶ ἡμέρας τεσσαράκοντα μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, καὶ καθεσθέντι ἐκ δεξιῶν τοῦ θρόνου τῆς μεγαλωσύνης τοῦ παντοκράτορος θεοῦ ἐπὶ τῶν Χερουβίμ, τῷ ἀκούσαντι Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, ὃν ἐθεάσατο Στέφανος ὁ μακαριώτατος ἑστῶτα ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἀναβοήσας εἶπεν Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ θεοῦ ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ ὡς ἀρχιερέα πάντων τῶν λογικῶν * ταγμάτων· αὐτῷ τὸ σέβας καὶ ἡ μεγαλωσύνη καὶ

4 Matth 11, 29? | 5 Maccab β 1, 4?? | 11 Matth 24, 30 | 15 Act 1, 9 | 18 Hebr 8, 1 | 19 Psalm 110, 1 | 22 Act 7, 55. 56

1 καὶ κοσμεῖτε xyzt, κοσμεῖτε δὲ w | 1 αὐτοὺς t | 4 αὐτοῦ wx, τοῦ θεοῦ yzt | 4 ἀναπαβόμενοι y | 5 οὖν > w | 6 παράθετε ἑαυτοὺς ἐξ ὅλης τῆς διανοίας τε καὶ ψυχῆς + yz | 6 εἰσδέχεσθε x, καταδέχεσθαι yzt | 6 διηκονιμένα yz | 12 ἀναγείροντος z | 13 πρὸ z | 14 ἑαυτῶν y, αὐτοῦ w | 15. 16 ἡμῶν yz | 16 τῶν συμφαγόντων yz | 16 συμπιοῦσι W, συμπιόντων yz | 17 καὶ wxt, τῷ yz | 18 καθισθέντι y | 18 μεγαλοσύνης x | 19 τὸν [sed corr] χερουβεὶμ z | 19 τῷ] καὶ yz | 22 ἀναβοήσας wxt, θεασάμενος ἀνεβόησε καὶ yz | 22 εἶπε W | 24 θεοῦ prius wx, ἀνθρώπου yzt | 24 ἑστῶτα [ἑ z] ἐκ δεξιῶν yz | 24 τῶν > w | 25 προβάτων καὶ + w | 25 αὐτῶι w, αὐτῶ x, δι' οὗ yzt | 25 μεγαλοσύνη x

ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ συναϊδίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Z

Τοῦ νομοθέτου Μωσέως εἰρηκότος τοῖς Ἰσραηλίταις Ἰδοὺ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου, καὶ ἐπιφέροντος Ἔκλεξαι τὴν ζωήν, ἵνα ζήσῃς, καὶ τοῦ προφήτου Ἠλία λέγοντος τῷ λαῷ Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; εἰ θεός ἐστι κύριος, πορεύεσθε ὀπίσω αὐτοῦ, εἰκότως ἔλεγε καὶ ὁ κύριος Ἰησοῦς Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει, ἀναγκαίως καὶ ἡμεῖς ἑπόμενοι τῷ διδασκάλῳ χριστῷ, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων μάλιστα * πιστῶν, φαμὲν ὡς δύο ὁδοί εἰσιν, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου, οὐδεμίαν δὲ σύγκρισιν ἔχουσι πρὸς ἑαυτάς (πολὺ γὰρ τὸ διάφορον), μᾶλλον δὲ πάντῃ κεχωρισμέναι * τυγχάνουσι, καὶ φυσικὴ μὲν ἔστιν ἡ τῆς ζωῆς ὁδός, ἐπείσακτος δὲ ἡ τοῦ θανάτου, οὐ τοῦ κατὰ[a] γνώμην θεοῦ ὑπάρξαντος, ἀλλὰ τοῦ ἐξ ἐπιβουλῆς τοῦ ἀλλοτρίου. * πρώτη οὖν τυγχάνει ἡ ὁδὸς τῆς ζωῆς· καὶ ἔστιν

3 Deut 30, 19 | 6 Reg γ 18, 21 | 9 Matth 6, 24 | 12 Tim α 4, 10 Lagarde reliquiae iuris ecclesiastici graec p XIX. XX

1 σὺν .... πνεύματι wx, τῷ παντοκράτορι θεῷ νῦν καὶ [bis ῳ yz, ante νῦν + καὶ t] yzt | 2 τῶν αἰώνων > yzt | subscr τέλος ἤληφεν w |

3 μωϋσέως w | 5 εἴσλεξαι z | 5 τὴν ζωήν wyzt, τὴν ὁδὸν τῆς ζωῆς x | 7 χωλανῆτε Wx, χωλανῆιτε corr prima manus w | 7 εἰ] εἰς z | 7 ἔστιν x | 8 εἰκότως ... 9 Ἰησοῦς wxt [8 εἰκότος xt, ἔλεγεν x], ἀλλὰ καὶ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ εἰπόντος ἐν τῷ εὐαγγελίῳ yz | 9 δύνατε z | 9 δυσὶν x | 12 ἔστιν x | 13 δὲ + yz | 13 εἰσι [ὶ t] yzt | 14 ἔχουσιν xt | 15 ἑαυτάς wxt, ἀλλήλας yz | 15 πολὺ γὰρ wxt, ἀλλὰ πολὺ yz | 16 ἀλλήλων + yz | 16 τυγχάνουσιν x | 16 καὶ > yz | 17 τοῦ alterum > yz | 17[a] σχο ὁ γὰρ θεὸς θάνατον οὐκ ἐποίησεν, φθόνω δὲ διαβόλου, θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν margo x | 18 ἀλλὰ τοῦ wxt, ἀλλ' yz | 19 hoc loco in textu yz *scholium* ad 17 ex x exscriptum, sed ἐποίησε et εἰσῆλθε yz, φθόνῳ yz, et ὥς τις [ὅστις y] σοφὸς ἔφη + yz post διαβόλου: Sapient 2, 24 | 19 p 198, 1 καὶ ἔστιν αὕτη > Yz

αὕτη, ἣν καὶ ὁ νόμος διαγορεύει, ἀγαπᾶν κύριον τὸν θεὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ψυχῆς τὸν ἕνα καὶ μόνον, * παρ' ὃν ἄλλος οὐκ ἔστιν, καὶ τὸν πλησίον ὡς ἑαυτόν. καὶ Πᾶν ὃ μὴ θέλεις γενέσθαι σοι, * τοῦτο ἄλλῳ οὐ ποιήσεις, τοῦτ' ἔστιν Ὃ σὺ μισεῖς, ἄλλῳ οὐ ποιήσεις· εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. ποία γὰρ ὑμῖν χάρις, ἐὰν φιλῆτε τοὺς φιλοῦντας ὑμᾶς, καὶ γὰρ * οἱ ἐθνικοὶ τοῦτο ποιοῦσιν· ὑμεῖς δὲ φιλεῖτε τοὺς μισοῦντας ὑμᾶς καὶ ἐχθρὸν οὐχ ἕξετε· * οὐ μισήσεις γάρ, φησί, πάντα ἄνθρωπον, οὐκ Αἰγύπτιον, οὐκ Ἰδουμαῖον, ἅπαντες γὰρ εἰσὶν τοῦ θεοῦ ἔργα. φεύγετε δὲ οὐ τὰς φύσεις, ἀλλὰ τὰς γνώμας τῶν κακῶν. * ἀπέχου τῶν σαρκικῶν καὶ κοσμικῶν ἐπιθυμιῶν. * ἐάν τις σοι δῷ ῥάπισμα *, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, οὐ φαύλης οὔσης τῆς ἀμύνης, ἀλλὰ τιμιωτέρας τῆς ἀνεξικακίας· λέγει γὰρ ὁ Δαβὶδ Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. * ἐὰν * ἀγγαρεύσῃ σε τὶς μίλιον *, ὕπαγε μετ' αὐτοῦ δύο, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ θέλοντος δανείσασθαι παρὰ σοῦ μὴ

1 Deut 6, 5 | 3 Isaj 43, 10 | 4 apocryphum | 5 Tobit 4, 15 | 5 Matth 5, 44—47 | 10 Deut 23, 8 | 14 Matth 5, 39 | 16 Psalm 7, 5 | 17 Matth 5, 41. 40. 42

1 ἣν wxt, περὶ ἧς yz | 2 καρδίας wx, διανοίας t, ψυχῆς yz | 2 ψυχῆς wxt, διανοίας yz | 3 καὶ + yz | 3 ἔστι yzt | 4 καὶ πᾶν ὃ μὴ wxt, ὃ τοίνυν οὐ yz | 4 θέλης wx | 4 σοι γενέσθαι yz | 4 οὐδὲ σὺ + yz, καὶ σὺ + t | 4 ἄλλα yz | 4 οὐ > yz | 5 τοῦτ' ... ποιήσεις > t | 6 προσεύχεσθαι Z | 6. 7 ἐπερεαζόντων x | 8 φιλεῖτε WXt | 8 καὶ + yzt | 9 ἐθνηκοὶ w | 10 καὶ ἀλλαχοῦ εἴρηται + yz | 10 γάρ φησί > yz | 10 φησιν x | 11 ἐγύπτιον Z | 12 εἰσι yzt | 12 τοῦ θεοῦ ἔργα εἰσίν W, sed m pr α super εἰσίν, β super ἔργα scriptum w | 12 οὐ wxt, μὴ y, μετασφύσεις ita cum seqq iunctum z | 13 κακῶν wx, πονηρῶν yzt | 13 καὶ ἄλλος + y, καὶ ἄλλως + z | 14 καὶ ὁ κύριος + yz | 14 τίς σοι δῷ ῥάπισμα wxt, τίς σε ῥαπίσει y, τίσσερασπίση z | 14 εἰς τὴν δεξιὰν σιαγόνα + yzt | 14 ἐπίστρεψον z | 15 οὐ wxt, οὐχ ὡς yz | 15 ἀλλὰ wxt, ἀλλ' ὡς yz | 16 γὰρ ὁ wxt, δὲ καὶ y, καὶ ὁ z | 17 ἀνταποδιδοῦσιν x | 17 καὶ πάλιν ὁ κύριος + yz | 17 τις σε + yz | 17 σε τὶς > yz | 17. 18 μήλιον wy | 18 ἓν + yzt | 20 τῷ ... 21 δίδου > x | 20 fin σαι w | 21 ἀπὸ τοῦ θέλοντος wxt, τὸν θέλοντα yz | 21 παρὰ σοῦ > yz

ἀποκλείσῃς τὴν χεῖρα, δίκαιος γὰρ ἀνὴρ οἰκτείρει καὶ κιχρᾷ· πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ὁ τὸν ἥλιον αὐτοῦ ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ τὸν ὑετὸν αὐτοῦ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους. πᾶσιν οὖν δίκαιον διδόναι ἐξ οἰκείων πόνων· τίμα γάρ, φησί, τὸν κύριον ἀπὸ σῶν δι-
2 καίων πόνων· προτιμητέον δὲ τοὺς ἁγίους. | οὐ φονεύσεις, τοῦτ' ἔστιν οὐ φθερεῖς τὸν ὅμοιόν σοι ἄνθρωπον, διαλύεις γὰρ τὰ καλῶς γενόμενα· οὐχ ὡς παντὸς * φόνου φαύλου τυγχάνοντος *, ἀλλὰ μόνου τοῦ ἀθώου, τοῦ δὲ ἐνδίκου * ἄρχουσι μόνοις * ἀφωρισμένου. οὐ μοιχεύσεις, διαιρεῖς γὰρ τὴν μίαν σάρκα εἰς δύο· ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν· ἓν γάρ εἰσιν * ἀνὴρ καὶ * γυνὴ τῇ φύσει, τῇ συμπνοίᾳ, τῇ ἑνώσει, τῇ διαθέσει, τῷ βίῳ, τῷ τρόπῳ, κεχωρισμένοι δέ εἰσι τῷ σχήματι καὶ τῷ ἀριθμῷ. οὐ * παιδοφθορήσεις· παρὰ φύσιν γὰρ τὸ κακὸν ἐκ Σοδόμων φυέν, ἥτις πυρὸς θεηλάτου παρανάλωμα γέγονεν· ἐπικατάρατος δὲ ὁ τοιοῦτος καὶ ἐρεῖ πᾶς ὁ λαὸς Γένοιτο, γένοιτο. οὐ πορνεύσεις· οὐκ ἔσται γάρ, φησί, πορνεύων ἐν υἱοῖς Ἰσραήλ. οὐ κλέψεις· Ἄχαρ γὰρ κλέψας ἐν τῷ Ἰσραὴλ ἐν Ἱεριχῷ λίθοις βληθεὶς τοῦ ζῆν ὑπεξῆλθε, καὶ Γιεζεῖ κλέψας καὶ ψευσάμενος ἐκληρονόμησε τοῦ Νεεμὰν τὴν λέπραν, καὶ Ἰούδας κλέπτων τὰ τῶν πενήτων τὸν κύριον τῆς δόξης παρέδω-

1 Psalm 112, 5 | 2 Matth 5, 45 | 5 Prov 3, 9 | 6 Exod 20, 13 | 10 Exod 20, 14 | 12 Gen 2, 24 | 16 Deut 27, 15 | 17 Deut 23, 18 | 19 Exod 20, 15

1 ἀποκλήσεις w, ἀποστραφῇς yz [ῇς z] | 1 τὴν χεῖρα > yz | 1 δίκαιος ... κιχρᾷ] καὶ πάλιν ὁ δᾱδ· ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος· καὶ χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν yz ex Psalm 37, 26 | 2 πᾶσιν z | 2 διδόναι yz | 3 ἀγαθοὺς καὶ πονηροὺς yz | 4 πᾶσι γὰρ w | 4 διδῶναι w | 5 φησιν x | 6 προτιμιτέον w | 7 σου w | 8 γινόμενα t | 8 δὲ του + yz | 8. 9 τυγχάνοντος φαύλου W | 9 ἀπηγόρευται + yz | 9 τοῦ δὲ wx, τοῦ δ' t, ὁ δὲ yz | 9 ἔνδικος yz | 10 καὶ + yz | 10 ἐστὶν + yz | 10 ἀφορισμένου x, ἀφωρισμένος yz | 11 τὴν > t | 11 γάρ alterum > yz 12 γάρ wxt, τοίνυν yz | 12 ὁ + yz | 12 ἡ + yz | 13 σμπνοία X | 13 διαθέσῃ X | 14 εἰσι > Yz | 14 οὐδε x, δὲ super versum post οὐ + y man correct | 15 γὰρ xyzt, δὲ w | 15 σοδομιτῶν w | 16 ἥτις wxt, ὃ καὶ yz | 16 θεϊλάτου x | 17 αἱρεῖ w | 17 γένοιτο alterum > xt | 18 φησιν x | 19 γὰρ xyzt, δὲ w | 19 ἱεριχῶι w, ἱεριχῷ y, ἱεροιχῷ z | 20 ὑπεξῆλθεν x | 20 γιεζὴ wyz [ῆ y, η z], γιεζὶ x | 21 ἐκληρονόμησεν x | 21 λέπτραν w

κεν Ἰουδαίοις, καὶ μεταμεληθεὶς ἀπήγξατο καὶ ἐλάκησε μέ-
σος καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ, καὶ Ἀνανίας
καὶ * Σαπφείρα ἡ τούτου γυνή, κλέψαντες τὰ ἴδια καὶ
πειράσαντες τὸ πνεῦμα κυρίου, παραχρῆμα ἀποφάσει Πέ-
τρου τοῦ συναποστόλου ἡμῶν ἐθανατώθησαν. | οὐ μαγεύ- 3
σεις, οὐ φαρμακεύσεις· φαρμακοὺς γάρ, φησίν, οὐ περι-
βιώσετε. οὐ φονεύσεις τέκνον σου ἐν φθορᾷ οὐδὲ τὸ γεν-
νηθὲν ἀποκτενεῖς· πᾶν γὰρ τὸ ἐξεικονισμένον, ψυχὴν λα-
βὸν παρὰ θεοῦ, φονευθὲν ἐκδικηθήσεται, ἀδίκως ἀναιρεθέν.
οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον σου, οἷον τὴν γυναῖκα ἢ
τὸν παῖδα ἢ τὸν βοῦν ἢ τὸν ἀγρόν. οὐκ ἐπιορκήσεις· ἐρ-
ρήθη γὰρ μὴ ὀμόσαι ὅλως· εἰ δὲ μήγε, κἂν εὐορκήσῃς, ὅτι
ἐπαινεθήσεται * πᾶς ὁ ὀμνύων ἐν αὐτῷ. οὐ ψευδομαρτυ-
ρήσεις, ὅτι ὁ συκοφαντῶν * πένητα παροξύνει τὸν ποιή-
σαντα αὐτόν. | οὐ κακολογήσεις· μὴ ἀγάπα γάρ, φησί, 4
κακολογεῖν, ἵνα μὴ ἐξαρθῇς. οὐδὲ μνησικακήσεις, ὁδοὶ γὰρ
μνησικάκων εἰς θάνατον. οὐκ ἔσῃ δίγνωμος οὐδὲ δίγλωσ-
σος· παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ Ἀνὴρ γλωσ-
σώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. οὐκ ἔσται ὁ λό-
γος σου κενός, περὶ παντὸς γὰρ λόγου ἀργοῦ δώσετε λό-
γον. οὐ ψεύσῃ· ἀπολεῖς γὰρ * πάντας τοὺς λαλοῦντας τὸ
ψεῦδος. οὐκ ἔσῃ πλεονέκτης οὐδὲ ἅρπαξ· οὐαὶ γάρ, φησίν,
ὁ πλεονεκτῶν τὸν πλησίον πλεονεξίαν κακήν. | οὐκ ἔσῃ ὑπο- 5
κριτής, ἵνα μὴ τὸ μέρος σου μετ' αὐτῶν θῇς. * οὐκ ἔσῃ
κακοήθης οὐδὲ ὑπερήφανος· * ὑπερηφάνοις γὰρ ὁ θεὸς ἀν-

1 Act 1, 18 | 6 Exod 22, 18 | 8 Exod 21, 22 | 10 Exod 20, 17 | 11 Matth 5, 33. 34 | 13 Psalm 63, 12 | 13 Exod 20, 16 | 14 Prov 14, 31 | 15 Prov 20, 13 | 16 Prov 12, 28 | 18 Prov 6, 2 | 18 Psalm 140, 12 | 20 Matth 12, 36 | 21 Psalm 5, 7 | 22 Habac 2, 9 | 24 Matth 24, 51 | 25 Prov 3, 34

1 καὶ prius wxt, εἶτα yz | 1 ἀπήξατο W | 1 ἐλάκησεν x | 3 καὶ + x | 3 σαπφήρα X | 3 γυνὴ xyzt, γαμετὴ w | 5 ὑμῶν y?? | 5 τοῦ .... ἐθανατώθησαν > z | 6 φαρμακὸς w | 6 φησίν .... 7 σου > z | 6. 7 περιβιώσεται y | 8 ἀποκτενεῖν w | 8. 9 λαβὼν wxy | 9 φονευθὲν > w | 10 οἷον > w | 11. 12 ἐρρέθη yzt [ῥῥ yt] | 12 ὀμῶσαι t | 12 εὐορκήσεις wyz | 12 ὅτι > yz | 13 γάρ φησι + yz | 14 ὅτι > Yz | 14 γὰρ + z | 15 φησιν x | 16 καταλαλεῖν x | 16 ἐξαρθεὶς w | 16 οὐ yz | 18 ἀνδρὶ > w | 20 δόσετε w | 21 φησι + yzt | 23 πλεονεοξίαν w | 24 ἵνα ... θῇς > Yz | 24 οὐαὶ γὰρ ὑμῖν, φησί, τοῖς ὑποκριταῖς + yz [ὑμῖν > z] | 25 ὑπερίφανος w | 25 κύριος + yz | 25 ὑπεριφάναις w | 25 ὁ θεὸς xt, κύριος w, > yz

τιτάσσεται. οὐ λήψῃ πρόσωπον δυνάστου ἐν κρίσει, τοῦ
γὰρ κυρίου ἡ κρίσις. οὐ μισήσεις πάντα ἄνθρωπον. ἐλε-
γμῷ ἐλέγξεις * τὸν ἀδελφόν σου καὶ οὐ λήψῃ δι᾽ αὐτὸν
ἁμαρτίαν, καὶ * Ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. φεῦγε
ἀπὸ παντὸς * κακοῦ καὶ ἀπὸ παντὸς ὁμοίου αὐτῷ· ἄπεχε
γάρ, φησίν, ἀπὸ ἀδίκου, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. μὴ
γίνου ὀργίλος μηδὲ βάσκανος μηδὲ ζηλωτὴς μηδὲ μανι-
κὸς μηδὲ θρασύς, μὴ πάθῃς τὰ τοῦ Κάιν καὶ τὰ τοῦ
Σαοὺλ καὶ τὰ τοῦ Ἰωάβ· ὅτι ὁ μὲν * ἀπέκτεινε τὸν ἀδελ-
φὸν αὐτοῦ τὸν Ἄβελ διὰ τὸ πρόκριτον αὐτὸν εὑρεθῆναι
παρὰ θεῷ καὶ διὰ τὸ προσδεχθῆναι τὴν θυσίαν αὐτοῦ, ὃς
δὲ τὸν ὅσιον Δαβὶδ ἐδίωκε νικήσαντα * Γολιὰθ τὸν Φυλι-
στιαῖον, καὶ ζηλώσας ἐπὶ τῇ τῶν χορευτριῶν εὐφημίᾳ, ὃς δὲ
τοὺς δύο στρατηλάτας ἀνεῖλε, τὸν Ἀβενὴρ τὸν τοῦ Ἰσραὴλ
6 καὶ τὸν Ἀμεσσὰ τὸν τοῦ Ἰούδα. | μὴ γίνου οἰωνοσκόπος, ὅτι
ὁδηγεῖ πρὸς εἰδωλολατρείαν· οἰώνισμα δέ, φησὶν ὁ Σα-
μουήλ, ἁμαρτία ἐστίν, καὶ Οὐκ ἔσται οἰωνισμὸς ἐν Ἰακώβ,
οὐδὲ μαντεία ἐν Ἰσραήλ· οὐκ ἔσῃ ἐπάδων οὐδὲ περικαθαίρων
τὸν υἱόν σου, οὐ κληδονιεῖς οὐδὲ οἰωνισθήσῃ οὐδὲ ὀρ-
νεοσκοπήσεις οὐδὲ μαθήσῃ μάθημα πονηρόν· ταῦτα γὰρ
πάντα καὶ ὁ νόμος ἀπεῖπεν. μὴ γίνου ἐπιθυμητὴς κα-
κῶν, ὁδηγηθήσῃ γὰρ εἰς ἀμετρίαν ἁμαρτημάτων. οὐκ ἔσῃ
αἰσχρολόγος οὐδὲ ῥιψόφθαλμος οὐδὲ μέθυσος· ἐκ γὰρ τού-
των πορνεῖαι καὶ μοιχεῖαι γίνονται. μὴ γίνου φιλάργυ-

1 Deut 1, 17 | 2 Lev 19, 17 | 4 Prov 9, 8 | 5 Isaj 54, 14 | 16 Reg α 15, 23 | 17 Num 23, 23 | 18 Deut 18, 10. 11

1 δυνάστου > yzt | 1. 2 τοῦ γὰρ wx, ὅτι τοῦ yzt | 3 ἐλέγξῃς y | 3 φησὶ + yz | 4 πάλιν + yz | 5 φησι + yz [ὶ z] | 6 γάρ φησίν > yz, γρφ ἀπέχετε γάρ φησῃ margo y | 8 μὴ wxt, μήτε yz | 8 τὰ prius >x, alterum > w | 9 ἰὰβ z | 9 ὅτι > yz | 9 ὁ wxyz, ὃς t | 9 γὰρ + yz | 9 ἀπέκτειvεν x | 10 τὸν > z | 10 πρόκρειττον x | 11 προσδεχθῆναι wxyz, προκριθῆναι t | 11 ὃς wxt, ὁ yz | 12 ἐδίωκεν x | 12 τὸν + yzt | 12 Γολιὰδ t | 12. 13 φιλιστιαῖον t | 13 καὶ >yzt | 13 ὃς wxt, ὁ yz | 14 στρατάρχας yzt | 14 ἀνεῖλεν x | 14 ἀβεννὴρ yzt [Α t] | 15 τὸν prius > yzt | 15 ἀναμεσσὰ z | 16 εἰδωλολατρίαν z | 17 ἐστὶ yzt [ι z] | 18 μαντείαν z | 18 ἐπάιδων Y?z | 18 οὐδὲ alterum wx, ἢ yzt | 19 κλειδονιεῖς z | 19. 20 ὀρνεωσκοπήσεις y, ὀρνεοςκοπήσῃς t | 20 μαθήματα πονηρά yzt [ὰ t] | 21 ἅπαντα yzt | 21 ἀπεῖπε t | 22 ἁμαρτημάτων ἀμετρίαν w | 22 ἔσθαι Z, ἔσθη z | 23 μέθυσσος t

ρος, ἵνα μὴ ἀντὶ θεοῦ δουλεύσῃς τῷ μαμωνᾷ. μὴ γίνου
κενόδοξος, μηδὲ μετέωρος, μηδὲ ὑψηλόφρων, ἐκ γὰρ τού-
των ἁπάντων ἀλαζονίαι γεννῶνται· μνήσθητι τοῦ εἰπόντος
Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου οὐδὲ ἐμετεωρίσθησαν οἱ
ὀφθαλμοί μου οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυ-
μασίοις ὑπὲρ ἐμέ, εἰ μὴ ἐταπεινοφρόνουν. | μὴ γίνου γόγ- 7
γυσος, μνησθεὶς τῆς τιμωρίας ἧς ὑπέστησαν οἱ γογγύσαν-
τες κατὰ Μωσέως. μὴ ἔσο αὐθάδης μηδὲ πονηρόφρων,
μηδὲ σκληροκάρδιος μηδὲ θυμώδης μηδὲ μικρόψυχος· ταῦτα
γὰρ πάντα ὁδηγεῖ πρὸς βλασφημίαν. ἴσθι δὲ πρᾶος ὡς * Μωϋ-
σῆς καὶ Δαβίδ, ἐπεὶ οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν. | γίνου 8
μακρόθυμος· ὁ γὰρ τοιοῦτος πολὺς ἐν φρονήσει, ἐπείπερ
ὁ ὀλιγόψυχος ἰσχυρὸς ἄφρων. γίνου ἐλεήμων· μακάριοι γὰρ
* οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ἔσο ἄκακος, ἥσυ-
χος, ἀγαθός, τρέμων τοὺς λόγους τοῦ θεοῦ. οὐχ ὑψώ-
σεις σεαυτὸν ὡς ὁ Φαρισαῖος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν τα-
πεινωθήσεται, καὶ τὸ ὑψηλὸν ἐν ἀνθρώποις βδέλυγμα παρὰ
* θεῷ. οὐ δώσεις τῇ ψυχῇ σου θράσος, ὅτι ἀνὴρ θρα-
σὺς ἐμπεσεῖται εἰς κακά. οὐ συμπορεύσῃ μετὰ ἀφρόνων,
ἀλλὰ μετὰ σοφῶν καὶ δικαίων· * τὰ συμβαίνοντά σοι πάθη
εὐμενῶς δέχου καὶ τὰς περιστάσεις ἀλύπως, εἰδὼς ὅτι μισθός
σοι παρὰ θεοῦ δοθήσεται ὡς τῷ Ἰὼβ καὶ τῷ Λαζάρῳ. | τὸν 9
λαλοῦντά σοι τὸν λόγον τοῦ θεοῦ δοξάσεις, μνησθήσῃ δὲ αὐ-
τοῦ ἡμέρας καὶ νυκτός, τιμήσεις δὲ αὐτὸν οὐχ ὡς γενέσεως

4 Psalm 131, 1. 2 | 11 Matth 5, 5 | 12 Prov 14, 29 | 13 Matth 5, 7 | 15 Isaj 66, 2 | 16 Luc 18, 14 | 17 Luc 16, 15 | 18 Prov 13, 17 | 24 Hebr 13, 7

1 δουλεύσεις Wx | 3 ἁπάντων > Yz | 3 ἀλλαζονείαι w, ἀλαζονεῖαι yz | 3 γενόνται w, γίνωνται t | 4 οὐδὲ … 5 μου > z | 6 εἰ μὴ ἐταπεινοφρόνουν > Yz | 6. 7 γογγυστής y, κογγΰστὴς z | 7 μνησθὴς w | 7. 8 γογγύσαντες κατὰ wx, καταγογγύσαντες yzt | 8 μωυσέως w | 9 μηδὲ secundum xt, μὴ wyz | 9 μηδὲ tertium wxt, μὴ yz | 9. 10 πάντα γὰρ ταῦτα t | 10 ὁ + x | 10. 11 μωσῆς xyz | 11 τὴν > t | 12 ἐπείπερ wxyt, ὥσπερ Yz | 13 ὁ > Yzt | 13 γὰρ > w | 14 φη̄ + y, φησὶν + z | 14 αὐτοὶ > w | 16. 17 ταπεινοθήσεται w | 17 βδέλλυγμα w | 18 τῷ + yz, τῶ + t | 18. 19 θρασὺς ἀνὴρ t | 19 συμπορεύσει w | 20 καὶ δικαίων > Y | 20 ὁ συμπορευόμενος γὰρ σοφοῖς σοφὸς ἔσται, ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται + yzt ex Prov 13, 20 sed margo y (qui lunulis inclusit) ταῦτα ἐν τοῖς ἄλλοις οὐ κεῖται | 22 παρὰ θεοῦ σοι yzt | 23 μνηθήσῃ W | 24 τε yz

*αἴτιον, ἀλλ' ὡς τοῦ εὖ εἶναί σοι πρόξενον γινόμενον· ὅπου γὰρ*
*ἡ περὶ θεοῦ διδασκαλία, ἐκεῖ ὁ θεὸς πάρεστιν. ἐκζητήσεις*
*καθ' ἡμέραν τὸ πρόσωπον τῶν ἁγίων, ἵν' ἐπαναπαύῃ τοῖς λό-*
10 *γοις αὐτῶν.* | *οὐ ποιήσεις σχίσματα πρὸς τοὺς ἁγίους, μνη-*
*σθεὶς τῶν Κορειτῶν. εἰρηνεύσεις μαχομένους ὡς Μωσῆς,*
*καταλλάσσων εἰς φιλίαν. κρινεῖς δικαίως· τοῦ γὰρ κυ-*
*ρίου ἡ κρίσις. οὐ λήψῃ πρόσωπον ἐλέγξαι ἐπὶ παραπτώ-*
*ματι, ὡς Ἡλίας καὶ Μιχαίας τὸν Ἀχαάβ, καὶ Ἀβδεμελὲκ ὁ*
*Αἰθίοψ τὸν Σεδεκίαν, καὶ Νάθαν τὸν Δαβίδ, καὶ Ἰωάννης*
11 *τὸν Ἡρώδην.* | *μὴ γίνου δίψυχος ἐν προσευχῇ σου, εἰ*
*ἔσται ἢ οὔ· λέγει γὰρ ὁ κύριος ἐμοὶ * Πέτρῳ ἐπὶ τῆς θαλάσ-*
*σης * Ὀλιγόψυχε, εἰς τί ἐδίστασας; μὴ γίνου πρὸς μὲν τὸ*
*λαβεῖν ἐκτείνων τὴν χεῖρα, πρὸς δὲ τὸ δοῦναι συστέλλων·*
12 | *ἐὰν ἔχῃς, διὰ τῶν χειρῶν σου δός, ἵνα ἐργάσῃ εἰς λύ-*
*τρωσιν ἁμαρτιῶν σου· ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀπο-*
*καθαίρονται ἁμαρτίαι. οὐ διστάσεις δοῦναι πτωχῷ, οὐδὲ*
*διδοὺς γογγύσεις· γνώσῃ γὰρ τίς ἐστιν ὁ τοῦ μισθοῦ ἀντα-*
*ποδότης· * ὁ ἐλεῶν γάρ, φησί, πτωχὸν κυρίῳ δανείζει, κατὰ*
*δὲ τὸ δόμα αὐτοῦ, οὕτως ἀνταποδοθήσεται αὐτῷ. οὐκ*
*ἀποστραφήσῃ ἐνδεούμενον· ὃς φράσσει γάρ, φησί, τὰ ὦτα*
*αὐτοῦ μὴ ἀκοῦσαι * ἐνδεουμένου, καὶ αὐτὸς ἐπικαλέσεται*
*καὶ οὐκ ἔσται ὁ εἰσακούων αὐτοῦ. κοινωνήσεις εἰς πάντα*
*τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι, κοινὴ γὰρ ἡ με-*
*τάληψις παρὰ θεοῦ πᾶσιν ἀνθρώποις παρεσκευάσθη. οὐκ*
*ἀρεῖς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός*
*σου, ἀλλ' ἀπὸ νεότητος αὐτῶν διδάξεις αὐτοὺς τὸν φόβον*

6 Deut 1, 17 | 10 Iacob 1, 6. 7 | 12 Matth 14, 31 | 12 Sirach 4, 31 | 15 Prov 16, 6 | 18 Prov 19, 17 | 20 Prov 21, 13

1 *ἀλλ' ὡς* xyzt, *ἀλλὰ* w | 1 *γενόμενον* w | 2 *ἡ περὶ* > Yz | 3 *ἵνα* w | 5 *κοριτῶν* xyz | 5 *μωυσῆς* w | 6 *καλάσσων* W, *καταλάσσων* w, *συναλλάσσων* yzt | 8 *Αβδεμέλεχ* t, *ἀβιμέλεχ* y, *ἀβιμέλχ* z | 10 *εἰ* wt, *ἢ* x, > yz | 11 *λέγει* wxt, *εἶπεν* yz | 11 *τῷ* + yz | 12 *διστάσαντι* + yz | 12 *ὀλιγόπιστε* yzt | 14 *ἔχεις* t | 14 *εἰς* > yz | 17 *τοῦ* > Y | 17. 18 *ἀνταποδόσης* z | 18 *καὶ* + yz | 18 *γὰρ* > yz | 18 *φησιν* x, > yz | 18 *κυρίῳ*] *θεῷ* yz | 19 *δῶμα* w | 19 *οὕτως* > yz | 20 *ἐνδεόμενον* yzt | 20 *φησιν* x | 21 *εἰσακοῦσαι* yzt | 21 *τοῦ* + yzt | 21 *δεομένου* yzt | 22 *ἔστε* z | 22 *ὁ* > t | 25 *ἀρκεῖς* Y?, *ἀρῇς* z | 25 *σὴν χεῖρα σου* t | 26 *ἀλλὰ* yzt | 26 *αὐτῶν* > t | 26 *αὐτοὺς* yzt, *αὐτὰ* w, *αὐτοῖς* x

τοῦ θεοῦ. παίδευε γάρ, φησί, τὸν υἱόν σου, οὕτω γὰρ ἔσται
σοι εὔελπις. | οὐκ ἐπιτάξεις δούλῳ σου ἢ παιδίσκῃ τοῖς ἐπὶ 13
τὸν αὐτὸν θεὸν πεποιθόσιν ἐν πικρίᾳ ψυχῆς, μή ποτε στε-
νάξωσιν ἐπὶ σοὶ καὶ ἔσται σοι ὀργὴ παρὰ θεοῦ· καὶ ὑμεῖς,
οἱ δοῦλοι, ὑποτάγητε τοῖς κυρίοις ὑμῶν ὡς τύπῳ θεοῦ ἐν
αἰσχύνῃ καὶ φόβῳ, ὡς * κυρίῳ καὶ οὐκ ἀνθρώποις. | μι- 14
σήσεις πᾶσαν ὑπόκρισιν, καὶ πᾶν ὃ ἂν ᾖ κυρίῳ ἀρεστόν,
ποιήσεις· οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου, φυλάξεις δὲ
ἃ παρέλαβες παρ' αὐτοῦ, μήτε προστιθεὶς ἐπ' αὐτοῖς μήτε
ἀφαιρῶν ἀπ' αὐτῶν· οὐ προσθήσεις γὰρ τοῖς λόγοις αὐτοῦ,
ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς γένῃ. ἐξομολογήσῃ κυρίῳ
τῷ θεῷ σου τὰ ἁμαρτήματά σου καὶ οὐκέτι προσθήσεις
ἐπ' αὐτοῖς, ἵνα εὖ σοι γένηται παρὰ κυρίῳ τῷ θεῷ σου,
ὃς οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν με-
τάνοιαν. | τὸν πατέρα σου καὶ τὴν μητέρα σου θεραπεύσεις ὡς 15
αἰτίους σοι γενέσεως, ἵνα γένῃ μακροχρόνιος ἐπὶ τῆς γῆς
ἧς κύριος ὁ θεός σου δίδωσί σοι. τοὺς ἀδελφούς σου καὶ
τοὺς συγγενεῖς σου μὴ ὑπερίδῃς· τοὺς γὰρ οἰκείους * τοῦ
σπέρματός σου οὐχ ὑπερόψει. | τὸν βασιλέα φοβηθήσῃ, εἰ- 16
δὼς ὅτι τοῦ κυρίου ἐστὶν ἡ χειροτονία· τοὺς ἄρχοντας αὐ-
τοῦ τιμήσεις ὡς λειτουργοὺς θεοῦ, ἔκδικοι γάρ εἰσιν πάσης
ἀδικίας· οἷς ἀποτίσατε τέλος, φόρον καὶ πᾶσαν εἰσφορὰν
εὐγνωμόνως. | οὐ προσελεύσῃ ἐπὶ προσευχήν σου ἐν ἡμέ- 17
ρᾳ πονηρίας σου, πρὶν ἂν λύσῃς τὴν πικρίαν σου. αὕτη
ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς, ἧς γένοιτο ἐντὸς ὑμᾶς εὑρεθῆναι διὰ
Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. | ἡ δὲ ὁδὸς τοῦ θανάτου 18
ἐστὶν ἐν πράξεσι πονηραῖς θεωρουμένη· ἐν αὐτῇ γὰρ ἄγνοια

1 Prov 19, 18 | 6 Col 3, 23 | 9 Apoc 22, 18. 19 | 10 Prov 30, 6 | 14 Ezech 33, 11 + Petr β 3, 6 | 15 Exod 20, 12 | 18 Isaj 58, 7 | 21 Rom 13, 4

1 γάρ prius > yz | 1 φησιν x | 2 σοι > yz | 3 πεποιθῶσιν wx | 5 τύποις t | 6 αἰσχύνῃ] προσοχῇ t | 6 τῷ + yz, τῶ + t | 7 ἐὰν t | 7 ἀρεστὸν κυρίῳ yzt [ῳ y] | 8 ἐγκαταλείπεις x | 9 προστίθεις w | 9 ἐμαυτοῖς X | 12 οὐκ ἔστι z | 13 κυρίου τοῦ θεοῦ yz | 15 σου alterum > yzt | 16 αἰτίοις σου x | 16 γενέως z | 17 ἧς w in rasura quinque literarum capaci | 17 δίδωσίν x | 17 τοὺς ... 18 σου > w | 18 γὰρ > yz | 18 φησὶ + y, φ̄η̄ ους + z | 19 ὑπερόψῃ x | 19 φοβηθήσει w | 21 εἰσι yzt | 22 ἀποτίσετε w, ἀπόδοτε yz | 23 προσευχῆι w | 27 πράξεσιν xt

τοῦ θεοῦ καὶ πολλῶν θεῶν ἐπεισαγωγή, δι' ὧν φόνοι,
μοιχεῖαι, πορνεῖαι, ἐπιορκίαι, ἐπιθυμίαι παράνομοι, κλοπαί,
εἰδωλολατρεῖαι, μαγίαι, φαρμακεῖαι, ἁρπαγαί, ψευδομαρτυ-
ρίαι, ὑποκρίσεις, διπλοκαρδίαι, δόλος, ὑπερηφανία, κακία,
αὐθάδεια, πλεονεξία, αἰσχρολογία, ζηλοτυπία, θρασύτης,
ὑψηλοφροσύνη, ἀλαζονεία, ἀφοβία, διωγμὸς ἀγαθῶν, ἀλη-
θείας ἔχθρα, ψεύδους ἀγάπη, ἄγνοια δικαιοσύνης. οἱ γὰρ
τούτων ποιηταὶ οὐ κολλῶνται * ἀγαθῷ, οὐδὲ κρίσει δικαίᾳ·
ἀγρυπνοῦσιν * οὐκ εἰς τὸ ἀγαθόν, ἀλλ' εἰς τὸ πονηρόν· ὧν
μακρὰν πραότης καὶ ὑπομονή· μάταια ἀγαπῶντες, διώκον-
τες ἀνταπόδομα, οὐκ ἐλεοῦντες πτωχόν, οὐ πονοῦντες ἐπὶ
καταπονουμένῳ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φο-
νεῖς τέκνων, φθορεῖς πλάσματος θεοῦ, ἀποστρεφόμενοι ἐνδεό-
μενον, * πλουσίων παράκλητοι, πενήτων ὑπερόπται, πανθα-
19 μάρτητοι. ῥυσθείητε, τέκνα, ἀπὸ τούτων πάντων. | ὅρα μή τις
σε πλανήσῃ ἀπὸ τῆς εὐσεβείας· οὐκ ἐκκλινεῖς γάρ, φησίν, ἀπ'
αὐτῆς δεξιὰ ἢ ἀριστερά, ἵνα συνῇς ἐν πᾶσιν οἷς ἐὰν πράσ-
σῃς· σὺ γάρ, ἐὰν * ἐκτραπῇς * τῆς εὐθείας ὁδοῦ, δυσ-
20 σεβήσεις. | περὶ δὲ βρωμάτων λέγει σοι ὁ κύριος Τὰ ἀγαθὰ
τῆς γῆς φάγεσθε, καὶ Πᾶν κρέα ἔδεσθε ὡς λάχανα χλόης,
τὸ δὲ αἷμα ἐκχεεῖς· οὐ γὰρ τὰ εἰσερχόμενα εἰς τὸ στόμα
κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα, λέγω δὴ βλα-
σφημίαι, καταλαλιαὶ καὶ εἴ τι τοιοῦτον. σὺ δὲ φάγῃ τὸν
μυελὸν τῆς γῆς μετὰ * δικαιοσύνης· ὅτι εἴ τι καλόν, αὐτοῦ,

15 Matth 24, 4 | 16 Iosue 1, 7 | 19 Isaj 1, 19 | 20 Genes 9, 3 | 21 Deut 15, 23 | 21 Matth 15, 11 | 23 Gen 45, 18 | 24 Zach 9, 17

1 τοῦ > yzt | 1 θεῶν wyz, θεὸν x, κακῶν καὶ θολῶν καὶ ταραχῶν t | 3 εἰδωλολατείαι W, εἰδωλολατρίαι z | 3 μαγεῖαι xyz | 4 διπλῇ καρδία yz | 6 αλαζονία wXt, ἀλλαζονία x | 7 ἄγνοι W | 7 γὰρ > Yz | 8 ποιηταὶ] ἐν ἄλλω ἀντιποιηταὶ margo t | 8 τῶι + w | 8 οὐδὲ ... δικαίᾳ > w | 9 δὲ + w super versum pr m | 10. 11 διώκοντες ἀγαπῶντες w | 11 ἀνταπόδωμα z | 14 καταπονοῦντες θλιβόμενον + yzt | 14 παράκλητοι wxt, πάρεδροι yz, γρφ καὶ παράκλητοι margo y | 14 πενίτων w | 14. 15 πανταμάρτητοι wxt | 15 πάντων τούτων w | 15 ἁπάντων yzt | 16 πλανήσει w | 16 ἀσεβείας z | 16 ἐκλινεῖς x, ἐκκλίνης t | 17 ἀριστερᾶ wx, εὐώνυμα yzt | 17 συνϊῇς w | 17. 18 πράττης w | 18 σὺ γὰρ ἂν W, σὺ γὰρ ἐὰν w, οὗ γὰρ ἂν x, οὗ γὰρ ἐὰν yz, οὐ γὰρ ἐὰν t | 18 μὴ + t | 18 ἔξω + yzt | 20 κρέας yzt | 23 φάγης w | 24 τῆς γῆς μετὰ > Y, γῆς μετὰ > z | 24 τῆς + y

καὶ εἴ τι ἀγαθόν, αὐτοῦ· σῖτος νεανίσκοις καὶ οἶνος εὐωδιάζων παρθένοις· τίς γὰρ φάγεται ἢ τίς πίεται πάρεξ αὐτοῦ; *
| ἀπὸ δὲ τῶν εἰδωλοθύτων φεύγετε, ἐπὶ τιμῇ γὰρ δαιμόνων 21
θύουσιν αὐτά, ἐφ' ὕβρει δηλαδὴ τοῦ μόνου θεοῦ· ὅπως
μὴ γένησθε κοινωνοὶ δαιμόνων. | περὶ δὲ * βαπτίσματος, 22
ὦ ἐπίσκοπε ἢ πρεσβύτερε, ἤδη μὲν καὶ πρότερον διεταξάμεθα, καὶ νῦν δέ φαμεν ὅτι οὕτως βαπτίσεις, ὡς ὁ κύριος διετάξατο ἡμῖν λέγων Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· τοῦ ἀποστείλαντος πατρός, τοῦ ἐλθόντος χριστοῦ, τοῦ μαρτυρήσαντος παρακλήτου. χρίσεις δὲ πρῶτον ἐλαίῳ ἁγίῳ, ἔπειτα βαπτίσεις ὕδατι καὶ τὸ τελευταῖον σφραγίσεις μύρῳ· ἵνα τὸ μὲν χρίσμα μετοχὴ ᾖ τοῦ ἁγίου πνεύματος, τὸ δὲ ὕδωρ σύμβολον τοῦ θανάτου, τὸ δὲ μύρον σφραγὶς τῶν συνθηκῶν. εἰ δὲ μήτε ἔλαιον ᾖ μήτε μύρον, ἀρκεῖ τὸ ὕδωρ καὶ πρὸς χρίσιν καὶ πρὸς σφραγῖδα καὶ πρὸς ὁμολογίαν τοῦ ἀποθανόντος ἤτοι συναποθνήσκοντος. πρὸ δὲ τοῦ βαπτίσματος νηστευσάτω ὁ βαπτιζόμενος· καὶ γὰρ ὁ κύριος ὑπὸ Ἰωάννου πρῶτον βαπτισθεὶς καὶ εἰς τὴν ἔρημον αὐλισθείς, μετέπειτα ἐνήστευσε, τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. ἐβαπτίσθη δὲ καὶ ἐνήστευσεν, οὐκ αὐτὸς ἀπορυπώσεως ἢ νηστείας χρείαν ἔχων ἢ καθάρσεως ὁ τῇ φύσει καθαρὸς καὶ ἅγιος, ἀλλ' ἵνα καὶ Ἰωάννῃ ἀλήθειαν προσμαρτυρήσῃ καὶ ἡμῖν ὑπογραμμὸν παράσχηται. οὐκοῦν ὁ μὲν κύριος οὐκ

2 Eccl 2, 25 | 8 Matth 28, 19. 20 | 21 Matth 4, 1. 2 | 26 Petr α 2, 21

2 παραινεῖ δέ σοι καὶ ὁ σοφὸς Ἔσδρας λέγων Πορεύεσθε καὶ φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα καὶ μὴ λυπεῖσθε ex Nehem 8, 10 + yzt: lunulis inclusit y: οὐδὲ ταῦτα ἐν τοῖς ἄλλοις κεῖται margo y | 4 θύουσι ταῦτα yzt | 5 δαιμονίων x | 5 τοῦ + w | 7 δέ > w | 7 οὕτω yzt | 8 λέγον w | 12 πατρός] πνεύματος t | 13 χρήσεις w | 13 ἔπιτα w | 14 τὸ prius > yzt | 17 ᾖ > w | 17 μύρων X | 17 τὸ > t | 17 χρῆσιν w | 20. 21 πρῶτον βαπτισθεὶς ὑπὸ ἰωάννου yzt [I t] | 21 βαπτισθεὶς W? βαπτισθὴς w | 21 αὐλησθεὶς y | 21. 22 ἐνήστευσεν x | 23 ἀπορρυπώσεως w, ἀποῤῥύψεως yz [ρρ z] | 24 νηστείας xyzt, ἁγιασμοῦ w | 25 ἰωάννην w | 25 ἀληθείαν W, ἀληθεύσαντα w corr rec | 25 προσμαρτυρήσει x

εἰς ἑαυτοῦ πάθος ἐβαπτίσατο ἢ θάνατον ἢ ἀνάστασιν (οὐ-
δέπω γὰρ οὐδὲν τούτων ἐγεγόνει), ἀλλ' εἰς διάταξιν ἑτέραν·
διὸ καὶ ἀπ' ἐξουσίας μετὰ τὸ βάπτισμα νηστεύει ὡς κύριος
Ἰωάννου· ὁ δὲ εἰς τὸν αὐτοῦ θάνατον μυούμενος πρότερον
ὀφείλει νηστεῦσαι καὶ τότε βαπτισθῆναι (οὐ γὰρ δίκαιον
τὸν συνταφέντα καὶ συναναστάντα παρ' αὐτὴν τὴν ἀνάστα-
σιν κατηφεῖν), οὐ γὰρ κύριος ὁ ἄνθρωπος τῆς διατάξεως
τῆς τοῦ σωτῆρος· ἐπείπερ ὁ μὲν δεσπότης, ὁ δὲ ὑπήκοος.
23 | αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν,
νηστεύουσι γὰρ * δευτέρᾳ σαββάτων καὶ πέμπτην. ὑμεῖς δὲ
ἢ τὰς πέντε νηστεύσατε ἡμέρας, ἢ τετράδα καὶ παρασκευήν·
ὅτι τῇ μὲν τετράδι ἡ κρίσις ἐξῆλθεν ἡ κατὰ τοῦ κυρίου,
Ἰούδα χρήμασιν ἐπαγγειλαμένου τὴν προδοσίαν· τῇ δὲ
παρασκευῇ, ὅτι ἔπαθεν ὁ κύριος ἐν αὐτῇ πάθος τὸ διὰ
σταυροῦ ὑπὸ Ποντίου Πιλάτου. τὸ σάββατον μέντοι καὶ
τὴν κυριακὴν ἑορτάζετε, ὅτι τὸ μὲν δημιουργίας ἐστὶν ὑπό-
μνημα, τὸ δὲ ἀναστάσεως. ἓν δὲ μόνον σάββατον ὑμῖν *
φυλακτέον ἐν ὅλῳ τῷ ἐνιαυτῷ, τὸ τῆς τοῦ κυρίου τα-
φῆς, ὅπερ νηστεύειν προσῆκεν, ἀλλ' οὐχ ἑορτάζειν· ἐν ὅσῳ
γὰρ ὁ δημιουργὸς ὑπὸ γῆν τυγχάνει, ἰσχυρότερον τὸ περὶ
αὐτοῦ πένθος τῆς κατὰ τὴν δημιουργίαν χαρᾶς, ὅτι ὁ
δημιουργὸς τῶν ἑαυτοῦ δημιουργημάτων φύσει τε καὶ ἀξίᾳ
24 τιμιώτερος. | ὅταν δὲ προσεύχησθε, μὴ γίνεσθε ὥσπερ οἱ
ὑποκριταί, ἀλλ' ὡς ὁ κύριος ἡμῖν ἐν τῷ εὐαγγελίῳ διετά-
ξατο, οὕτως προσεύχεσθε Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω
τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον
ἡμῶν * τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ

4 Rom 6, 3 | 25 Matth 6, 9—13

3 νηστεύσει z | 5 τότε xyzt, οὕτω w | 5 βαπτίσασθαι yzt | 10 τετράδα + Y | 10 νηστεύουσιν x | 10 σαββάτω z | 10 πέμπτη yzt | 11 νη + y | 12 τετράδηι w | 12 κρίσις ἐξῆλθεν wxt, μελέτη γέγονεν yz | 13. 14 τὴν δὲ παρασκευὴν t | 14 πάθος post σταυροῦ 15 y et a correctore z | 15 σάβατον Y | 17 τὸ wxyz, ἡ t | 17 ἡμῖν σάββατον yz | 15 μέντοι .... 17 σάββατον repetitum + z | 18 φυλακτέων X | 18 τὸ xzt, τῶι w, > y | 21 δημηουργίαν t | 23 τιμιότερος x | 23 προσεύχεσθε z | 23 ὥσπερ wx, ὡς yzt | 23. 24 οἱποκριταί ita contractum z | 25 οὕτω yzt | 25 προσεύχεσθαι y | 26 ἐλθέτῳ et γενηθήτῳ y | 27 τὸν ἄρτον ... p 208, 4 ἀμήν > w, substituens καὶ τὰ ἑξῆς | 28 μῶν + t

ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. τρὶς τῆς ἡμέρας οὕτως προσεύχεσθε, προπαρασκευάζοντες ἑαυτοὺς ἀξίους τῆς υἱοθεσίας τοῦ πατρός, ἵνα μή, ἀναξίως ὑμῶν αὐτὸν πατέρα καλούντων, ὀνειδισθῆτε ὑπ' αὐτοῦ, ὡς καὶ ὁ Ἰσραὴλ ὅ ποτε πρωτότοκος υἱὸς ἤκουσεν ὅτι Εἰ πατὴρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι, ποῦ ἐστιν ὁ φόβος μου; δόξα γὰρ πατέρων ὁσιότης παίδων καὶ τιμὴ δεσποτῶν οἰκετῶν φόβος, ὥσπερ οὖν τὸ ἐναντίον ἀδοξία καὶ ἀναρχία *· δι' ὑμᾶς γὰρ * βλασφημεῖται τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν. | γίνεσθε δὲ πάντοτε εὐχάριστοι 25
ὡς πιστοὶ καὶ εὐγνώμονες δοῦλοι, περὶ μὲν τῆς εὐχαριστίας οὕτω λέγοντες Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ζωῆς ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου, δι' οὗ καὶ τὰ πάντα ἐποίησας καὶ τῶν ὅλων προνοεῖς, ὃν καὶ ἀπέστειλας ἐπὶ σωτηρίᾳ τῇ ἡμετέρᾳ γενέσθαι ἄνθρωπον, ὃν καὶ συνεχώρησας παθεῖν καὶ ἀποθανεῖν, ὃν καὶ ἀναστήσας εὐδόκησας δοξάσαι καὶ ἐκάθισας ἐκ δεξιῶν σου, δι' οὗ καὶ ἐπηγγείλω ἡμῖν τὴν ἀνάστασιν τῶν νεκρῶν. σὺ δέσποτα παντοκράτορ θεὲ αἰώνιε, ὥσπερ ἦν τοῦτο διεσκορπισμένον καὶ συναχθὲν ἐγένετο εἷς ἄρτος, οὕτω συνάγαγέ σου τὴν ἐκκλησίαν ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν σὴν βασιλείαν. ἔτι εὐχαριστοῦμεν *, πάτερ ἡμῶν, ὑπὲρ τοῦ τιμίου αἵματος Ἰησοῦ χριστοῦ τοῦ ἐκχυθέντος ὑπὲρ ἡμῶν καὶ τοῦ τιμίου σώματος, οὗ καὶ ἀντίτυπα ταῦτα ἐπιτελοῦμεν, αὐτοῦ διαταξαμένου ἡμῖν καταγγέλλειν τὸν αὐτοῦ θάνατον· δι' αὐτοῦ

8 Malach 1, 6 | 12 Isaj 52, 5 | 23 Sophon 3, 10 | 28 Cor α 11, 26

2 εἰσενενκης x | 3. 4 καὶ ἡ δύναμις καὶ ἡ δόξα > t | 5 οὕτω yzt | 8 ἤκουσε w | 9 ἐστιν compendio scripturae w, quod plerumque ἐστι legendum | 10 ὁσιώτης w | 11 οὖν > yz | 12 καὶ ἀναρχία > Yz | 12 καταφρόνησις τέκνων· ἀπὸ ταύτης λοιπὸν βλασφημία, καθάπερ ὁ κύριος ἔφη + yz | 12 φησι + yzt [l t] | 12. 13 τὸ ὄνομά μου βλασφημεῖται yzt | 13 ἔθνεσι yzt | 13 δὲ wxt, οὖν yz | 19 συνεχώρισας y | 21 ἐπιγγίλω w | 22 παντοκράτωρ x | 23 οὕτως x | 24 σὴν > wt | 25 σοι + w | 27 καὶ > yz | 27 ἀντίτυπα in rasura w, sicut supra p 142, 21 = 87ᵇ cod | 28 καταγγέλειν w

γάρ σοι καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. μηδεὶς δὲ
ἐσθιέτω ἐξ αὐτῶν τῶν ἀμυήτων, ἀλλὰ μόνοι οἱ βεβαπτισμέ-
νοι εἰς τὸν τοῦ χριστοῦ θάνατον. εἰ δέ τις ἀμύητος κρύ-
ψας ἑαυτὸν μεταλάβοι, κρίμα αἰώνιον φάγεται, ὅτι μὴ ὢν
τῆς εἰς χριστὸν πίστεως μετέλαβεν ὧν οὐ θέμις, εἰς τιμω-
ρίαν ἑαυτοῦ· εἰ δέ τις κατὰ ἄγνοιαν μεταλάβοι, τοῦτον
τάχιον στοιχειώσαντες μυήσατε, ὅπως μὴ καταφρονητὴς
26 ἐξέλθοι. | μετὰ δὲ τὴν μετάληψιν οὕτως εὐχαριστήσατε Εὐ-
χαριστοῦμέν σοι, ὁ θεὸς καὶ πατὴρ Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν,
ὑπὲρ τοῦ ἁγίου ὀνόματος * οὗ κατεσκήνωσας ἐν ἡμῖν, καὶ
ὑπὲρ τῆς γνώσεως καὶ πίστεως καὶ ἀγάπης καὶ ἀθανασίας ἧς
ἔδωκας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου. σὺ δέσποτα παντο-
κράτορ ὁ θεὸς τῶν ὅλων, ὁ κτίσας τὸν κόσμον καὶ τὰ ἐν
αὐτῷ δι' αὐτοῦ, καὶ νόμον καταφυτεύσας * ταῖς ψυχαῖς ἡμῶν
καὶ τὰ πρὸς μετάληψιν εὐτρεπίσας ἀνθρώποις, ὁ θεὸς τῶν
ἁγίων καὶ ἀμέμπτων πατέρων ἡμῶν, Ἀβραὰμ καὶ Ἰσαὰκ
καὶ Ἰακώβ, τῶν πιστῶν δούλων σου, ὁ δυνατὸς θεός, ὁ
πιστὸς καὶ ἀληθινὸς καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις, ὁ
ἀποστείλας ἐπὶ γῆς Ἰησοῦν τὸν χριστόν σου ἀνθρώποις συ-
ναναστραφῆναι ὡς ἄνθρωπον, θεὸν ὄντα * λόγον καὶ ἄνθρω-
πον, καὶ τὴν πλάνην πρόρριζον ἀνελεῖν, αὐτὸς καὶ νῦν δι'
αὐτοῦ μνήσθητι τῆς ἁγίας σου ἐκκλησίας ταύτης, ἣν περιε-
ποιήσω τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ σου, καὶ ῥῦσαι αὐτὴν
ἀπὸ παντὸς πονηροῦ καὶ τελείωσον αὐτὴν ἐν τῇ ἀγάπῃ σου
καὶ τῇ ἀληθείᾳ σου, καὶ συνάγαγε πάντας ἡμᾶς εἰς τὴν βα-
σιλείαν σου, ἣν ἡτοίμασας αὐτήν. μαρὰν ἀθᾶ· ὡσαννὰ τῷ
υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου,
θεὸς κύριος ὁ ἐπιφανεὶς ἡμῖν ἐν σαρκί. εἴ τις ἅγιος, προ-

2 Rom 6, 3 | 19 Baruch 3, 38 | 22 Act 20, 28 | 23 Matth 6, 13 | 26 Cor α 16, 22 | 26 Matth 21, 9 | 28 Tim α 3, 16

2 ἐσθιέτῳ y | 3 χριστοῦ wxyz, κυρίου t | 4 μεταλάβῃ t | 7 τάχειον x | 7 σημειώσαντες yz | 8 capita 26 —39 > w in medio folio 128 | 10 σου + zt | 12. 13 παντοκράτωρ x | 13 ὁ κτίσας x, ἔκτισας yzt | 14 κατεφύτευσας yzt | 14 ἐν + yzt | 15 προευτρέπισας yzt [ὀεύ y] | 20 καὶ + yz | 20. 21 καὶ ἄνθρωπον > yz | 21 προριζὸν x | 22 σθητι [sic] ... 23 τιμίῳ bis Y | 22. 23 περιεποιήσῳ semel y | 25 συνήγαγε z | 25. 26 βασιλείαν σου x, σὴν βασιλείαν yzt | 26 αὐτῇ y et puncto deleto z, αὕτη cum μαραναθὰ iunctum t | 27 post κυρίου punctum yzt | 28 ἐν > x

σερχέσθω· εἰ δέ τις οὐκ ἔστι, γινέσθω διὰ μετανοίας. ἐπι-
τρέπετε δὲ καὶ τοῖς πρεσβυτέροις ὑμῶν εὐχαριστεῖν. | περὶ 27
δὲ τοῦ μύρου οὕτως εὐχαριστήσατε Εὐχαριστοῦμέν σοι,
θεὲ δημιουργὲ τῶν ὅλων, καὶ ὑπὲρ τῆς εὐωδίας τοῦ μύρου,
καὶ ὑπὲρ τοῦ ἀθανάτου αἰῶνος οὗ ἐγνώρισας ἡμῖν διὰ Ἰη-
σοῦ τοῦ παιδός σου· ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ δύναμις
εἰς τοὺς αἰῶνας· ἀμήν. ὃς ἐὰν * ἐλθὼν οὕτως εὐχαριστῇ,
προσδέξασθε αὐτὸν ὡς χριστοῦ μαθητήν· ἐὰν δὲ ἄλλην
διδαχὴν κηρύσσῃ παρ' ἣν ὑμῖν παρέδωκεν ὁ χριστὸς δι'
ἡμῶν, τῷ τοιούτῳ μὴ συγχωρεῖτε εὐχαριστεῖν· ὑβρίζει γὰρ
ὁ τοιοῦτος τὸν θεὸν ἤπερ δοξάζει. | πᾶς δὲ ὁ ἐρχόμενος 28
πρὸς ὑμᾶς, δοκιμασθείς, οὕτως δεχέσθω· σύνεσιν γὰρ ἔχετε,
καὶ δύνασθε διαγνῶναι δεξιὰν ἢ ἀριστερὰν καὶ διακρῖναι ψευ-
δοδιδασκάλους διδασκάλων. ἐλθόντι μέντοι τῷ διδασκάλῳ
ἐκ ψυχῆς ἐπιχορηγήσατε τὰ δέοντα· τῷ δὲ ψευδοδιδασκάλῳ
δώσετε μὲν τὰ δέοντα πρὸς τὴν χρείαν, οὐ παραδέξεσθε δὲ
αὐτοῦ τὴν πλάνην· οὔτε μὴν συμπροσεύξησθε αὐτῷ, ἵνα μὴ
συμμιανθῆτε αὐτῷ. πᾶς προφήτης ἀληθινὸς ἢ διδάσκαλος
ἐρχόμενος πρὸς ὑμᾶς ἄξιός ἐστι τῆς τροφῆς ὡς ἐργάτης λό-
γου δικαιοσύνης. | πᾶσαν ἀπαρχὴν γεννημάτων ληνοῦ, ἅλω- 29
νος βοῶν τε καὶ προβάτων δώσεις τοῖς ἱερεῦσιν, ἵνα εὐλογη-
θῶσιν αἱ ἀποθῆκαι τῶν ταμιείων σου καὶ τὰ ἐκφόρια τῆς γῆς
σου, καὶ στηριχθῇς σίτῳ καὶ οἴνῳ καὶ ἐλαίῳ, καὶ αὐξηθῇ
τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων
σου. πᾶσαν δεκάτην δώσεις τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, τῷ
πτωχῷ καὶ τῷ προσηλύτῳ. πᾶσαν ἀπαρχὴν θερμῶν, ἄρτων,
κεράμιον οἴνου ἢ ἐλαίου ἢ μέλιτος ἢ ἀκροδρύων, σταφυλῆς
ἢ τῶν ἄλλων τὴν ἀπαρχὴν δώσεις τοῖς ἱερεῦσιν, ἀργυρίου
δὲ ἢ ἱματισμοῦ καὶ παντὸς κτήματος τῷ ὀρφανῷ καὶ τῇ

6 Matth 6, 13 | 13 Ionas 4, 11 | 19 Matth 10, 10 | 21 Deut 28, 5. 4.

1 ἔστιν x | 4 εὐωδίας yzt, εὐδοκίας x | 7 ὃς > Yz | 7 οὖν + yz 8 προσδέξασθαι t | 9 δι' > x | 10 συγχωρῆτε z | 12 οὕτω yzt | 13 γνῶναι yzt | 13 δεξιὰν ἢ ἀριστερὰν > Yz | 15 ψεδοδιδασκάλω X | 16 δόσετε x | 16 δέοντα > yzt | 16 τὴν > yzt | 16 παραδέξασθε y | 17 συμπροσεύξεσθε yz | 18 συνμιανθῆτε t | 19 ἔστιν x | 20 γενημάτων xzt | 20 λινοῦ t | 21 δόσεις x | 22 ταμείων yz | 25 δόσεις x | 26 ἄρτων, θέρμων yz: ἄρτων θερμῶν t | 27 κεραμίων yz, κεραμίου t | 27 ἢ tertium > Yz | 28 τὴν ἀπαρχὴν > Yz | 28 δόσεις x | 29 ἢ x, καὶ yzt

30 χήρᾳ. | τὴν ἀναστάσιμον τοῦ κυρίου ἡμέραν, τὴν κυριακήν
φαμεν, συνέρχεσθε ἀδιαλείπτως, εὐχαριστοῦντες τῷ θεῷ
καὶ ἐξομολογούμενοι ἐφ' οἷς εὐηργέτησεν ἡμᾶς * θεὸς διὰ
χριστοῦ ῥυσάμενος ἀγνοίας, πλάνης, δεσμῶν, ὅπως ἄμεμ-
πτος ἡ θυσία ὑμῶν ᾖ καὶ εὐανάφορος θεῷ τῷ εἰπόντι περὶ
τῆς οἰκουμενικῆς αὐτοῦ ἐκκλησίας ὅτι Ἐν παντὶ τόπῳ προ-
σενεχθήσεταί μοι θυμίαμα καὶ θυσία καθαρά· ὅτι μέγας βα-
σιλεὺς ἐγώ εἰμι, λέγει κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά
31 μου θαυμαστὸν ἐν τοῖς ἔθνεσιν. | προχειρίσασθε δὲ ἐπισκό-
πους ἀξίους τοῦ κυρίου καὶ πρεσβυτέρους καὶ διακόνους,
ἄνδρας εὐλαβεῖς, δικαίους, πραεῖς, ἀφιλαργύρους, φιλαλή-
θεις, δεδοκιμασμένους, ὁσίους, ἀπροσωπολήπτους, δυναμέ-
νους διδάσκειν τὸν λόγον τῆς εὐσεβείας, ὀρθοτομοῦντας ἐν
τοῖς τοῦ κυρίου δόγμασιν. ὑμεῖς δὲ * τιμᾶτε τούτους ὡς
πατέρας, ὡς κυρίους, ὡς εὐεργέτας, ὡς τοῦ εὖ εἶναι αἰτίους.
ἐλέγχετε δὲ ἀλλήλους, μὴ ἐν ὀργῇ, ἀλλ' ἐν μακροθυμίᾳ
μετὰ χρηστότητος καὶ εἰρήνης. πάντα τὰ προστεταγμένα
ὑμῖν ὑπὸ τοῦ κυρίου φυλάξατε. γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς
ὑμῶν. ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ
λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομέ-
νοις τὸν κύριον ἑαυτῶν πότε ἥξει, ἑσπέρας ἢ πρωῒ ἢ ἀλε-
κτοροφωνίας ἢ μεσονυκτίου· ᾗ γὰρ ὥρᾳ οὐ προσδοκῶσιν,
ἐλεύσεται ὁ κύριος, καὶ ἐὰν αὐτῷ ἀνοίξωσιν, μακάριοι οἱ
δοῦλοι ἐκεῖνοι, ὅτι εὑρέθησαν γρηγοροῦντες· ὅτι περιζώσε-
ται καὶ ἀνακλινεῖ αὐτοὺς [καὶ παρελθὼν διακονήσει αὐτοῖς].
νήφετε οὖν καὶ προσεύχεσθε μὴ ὑπνῶσαι εἰς θάνατον· οὐ
γὰρ ὀνήσει ὑμᾶς τὰ πρότερα κατορθώματα, ἐὰν εἰς τὰ
32 ἔσχατα ὑμῶν ἀποπλανηθῆτε τῆς πίστεως τῆς ἀληθοῦς. | ἐν
γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπρο-
φῆται καὶ οἱ φθορεῖς τοῦ λόγου, καὶ στραφήσονται τὰ πρό-

6 Malach 1, 11. 14 | 13 Tim β 2, 15 | 19 Ephes 6, 14 | 22 Matth 24, 50 | 26 Psalm 13, 4

1 caput κζ numerat t, quem saepius ita turbantem emendare soleo | 3 εὐεργέτησεν x | 3 ὑμᾶς yzt | 3 ὁ + yz[illegible] | 4. 5 ἄμεπτος z | 5 ἢ ante ἡ θυσία yzt | 6. 7 μοι προσενεχθήσεται yzt | 7. 8 βασιλεὺς μέγας yzt | 9 ἔθνεσι yzt | 9 δὲ > Y | 11 εὐσεβεῖς yzt, ἐν ἄλλῳ εὐλαβεῖς margo t | 14 οἱ προχειριζόμενοι + yz | 18 γρηγορῆτε x | 19 ὑμῶν prius > x | 21 εὐπέρας x | 23 ἀνοίξωσι yzt | 25 [ ] > x | 26 οὖν > Yz | 29 γὰρ > yz

*βατα εἰς λύκους καὶ ἡ ἀγάπη εἰς μῖσος· πληθυνθείσης γὰρ
τῆς ἀνομίας, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν· μισήσουσι
γὰρ ἀλλήλους οἱ ἄνθρωποι καὶ διώξουσι καὶ προδώσουσιν.
καὶ τότε φανήσεται ὁ κοσμοπλάνος, ὁ τῆς ἀληθείας ἐχθρός,
ὁ τοῦ ψεύδους προστάτης, ὃν ὁ κύριος * ἀνελεῖ τῷ πνεύ-
ματι τοῦ στόματος αὐτοῦ * ὁ * διὰ χειλέων ἀναιρῶν ἀσεβῆ·
καὶ πολλοὶ σκανδαλισθήσονται ἐπ' αὐτῷ, ὁ δὲ ὑπομείνας
εἰς τέλος, οὗτος σωθήσεται. καὶ τότε φανήσεται ὁ υἱὸς
τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, εἶτα φωνὴ σάλπιγγος ἔσται
δι' ἀρχαγγέλου καὶ μεταξὺ ἀναβίωσις τῶν κεκοιμημένων,
καὶ τότε ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ ἐν
συσσεισμῷ ἐπάνω τῶν νεφελῶν μετ ἀγγέλων δυνάμεως
αὐτοῦ ἐπὶ θρόνου βασιλείας, κατακρῖναι τὸν κοσμοπλά-
νον διάβολον καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν
αὐτοῦ. * τότε ἀπελεύσονται οἱ μὲν πονηροὶ εἰς αἰωνίαν
κόλασιν, οἱ δὲ δίκαιοι πορεύσονται εἰς ζωὴν αἰώνιον, κλη-
ρονομοῦντες ἐκεῖνα ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ
ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν
ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, καὶ χαρήσονται ἐν τῇ βασι-
λείᾳ τοῦ θεοῦ τῇ ἐν χριστῷ Ἰησοῦ. τοσούτων δὲ ἠξιωμένοι
τῶν παρ' αὐτοῦ ἀγαθῶν, γενώμεθα αὐτοῦ ἱκέται, ἐπικα-
λούμενοι αὐτὸν διὰ συνεχοῦς δεήσεως καὶ λέγοντες | Αἰώνιε* 33
*σῶτερ ἡμῶν, ὁ βασιλεὺς τῶν θεῶν, ὁ ὢν μόνος παντοκρά-
τωρ καὶ κύριος, ὁ θεὸς πάντων τῶν ὄντων καὶ ὁ θεὸς τῶν
ἁγίων καὶ ἀμέμπτων πατέρων ἡμῶν τῶν πρὸ ἡμῶν, ὁ*

2 Matth 24, 12 | 6 Isaj 11, 4 | 7 Matth 24, 13 | 14 Rom 2, 6 | 15 Matth 25, 46 | 17 Cor α 2, 9

1 *πληθυνθήσης* X | 2 *μισήσουσιν* x | 3 *διώξουσιν* x | 3 *προδώσουσι* yzt | 4 *κοσμοπλάνος* xyt, *πλάνος* Yz | 5 *Ἰησοῦς* + yzt | 6 *ὡς γέγραπται ἐν ἠσαΐα* + yz | 6 *καὶ* + yz | 6 *ἀνερῶν* yz | 6 *ἀσεβῆν* z | 7 *καὶ* xt, *νῦν οὖν* y, *ὖν οὖν* z | 7 *οἱ δὲ ὑπομείναντες* yzt | 8 *οὗτοι σωθήσονται* yzt | 8 *ὁ υἱὸς* x, *τὸ σημεῖον τοῦ υἱοῦ* yzt | 11 *καὶ πάντες* ... 12 *νεφελῶν* > yz | 11 *ἅγιοι* t, *ἄγγελοι* x | 13 *αὐτοῦ* yz post *βασιλείας* | 13. 14 *πλάνον* yz | 15 *πάντες δὲ οἱ ἅγιοι αὐτοῦ ἀρθήσονται ἐννεφέλαις* + yz | 15 *τότε* xt, *εἶτα* yz | 15 *αἰώνιον* yzt | 16 *δὲ* > z | 16 *πορεύσονται* > yz | 17 *εἶδε* yzt | 18 *ἤκουσε* yzt | 19 *χαρίσονται* x | 21 *γενόμεθα* t | 22 *καὶ* > yz | 23 *σωτηρ* x (compend scr), *πάτερ* Z | 24 *ὁ* alterum > yzt | 25 *ἀμέπτων* z | 25 *τῶν πρὸ ἡμῶν* > t

θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὁ ἐλεήμων καὶ οἰκτίρμων, ὁ μακρόθυμος καὶ πολυέλεος, ᾧ πᾶσα γυμνοφανὴς φαίνεται καρδία καὶ πᾶν κρύφιον ἐνθύμημα ἀποκαλύπτεται· πρὸς σὲ βοῶσι ψυχαὶ δικαίων, ἐπὶ σοὶ πεποίθασιν ἐλπίδες ὁσίων, ὁ τῶν ἀμέμπτων πατήρ, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων σε ἐπήκοος, ὁ καὶ σιωπωμένας ἐπιστάμενος ἐντεύξεις (χωρεῖ γὰρ μέχρι σπλάγχνων * ἡ σὴ πρόνοια καὶ διὰ συνειδήσεως ἐρευνᾷς ἑκάστου τὴν γνώμην), καὶ κατὰ πᾶν κλίμα τῆς οἰκουμένης τὸ διὰ προσευχῆς καὶ λόγων ἀναπέμπεταί σοι θυμίαμα. ὁ τὸν παρόντα αἰῶνα στάδιον δικαιοσύνης ἐνστησάμενος, πᾶσι δὲ ἀνοίξας πύλην ἐλεημοσύνης, ὑποδείξας δὲ ἑκάστῳ τῶν ἀνθρώπων διὰ τῆς ἐμφύτου γνώσεως καὶ φυσικῆς κρίσεως καὶ ἐκ τῆς τοῦ νόμου ὑποφωνήσεως ὡς πλούτου μὲν οὐκ ἀίδιον τὸ κτῆμα, εὐπρεπείας * οὐκ ἀένναον τὸ κάλλος, δυνάμεως * εὐδιάλυτος ἡ ἰσχύς, καὶ ἀτμὸς μὲν καὶ ματαιότης τὰ σύνολα, μόνη δὲ συνείδησις πίστεως ἀνύπουλος διαμένει διὰ μέσων οὐρανῶν μετὰ ἀληθείας ἀνερχομένη, τῆς μελλούσης τρυφῆς δεξιὰν ἀπολαμβάνει, ἅμα καὶ πρὸ τοῦ παραστῆναι * τὴν ὑπόσχεσιν τῆς παλιγγενεσίας αὐτὴ ἡ ψυχὴ τῇ ἐλπίδι γαυρουμένη εὐφραίνεται. ἐξ ὑπαρχῆς γὰρ τοῦ προπάτορος ἡμῶν Ἀβραὰμ μεταποιουμένου τὴν ὁδὸν τῆς ἀληθείας, ὁραματισμῷ ὡδήγησας, διδάξας ὅ,τι ποτέ ἐστιν ὁ αἰὼν οὗτος· καὶ τῆς μὲν γνώσεως αὐτοῦ προώδευσεν ἡ πίστις, τῆς δὲ πίστεως ἀκόλουθος * ἦν * ἡ συνθήκη· εἶπας γάρ Ποιήσω τὸ σπέρμα σου

25 Gen 13, 16 + 22, 17

1. 2 *οἰκτείρμων* z | 2 ὁ] *καὶ* x | 2 *μακρόθμος* x? | 2 *γυμνὴ* yz | 3 *βλέπεται* yzt | 4 *βοῶσιν* x | 5 *ἀμέπτων* z | 7 *ἀνθρωπίνων* + yzt | 11 *πᾶσιν* x | 12 *τὲ* y, *τε* z | 12 *τῆς* > t | 15 *δὲ* + yz | 15 *οὐκ ἀέναον* x, *οὐ· μένον* yz, *γρφ και οὐκ ἀένναον τὸ κάλλος* margo y | 15 *τε* + yz | 16 *σύνολα* xt, *πάντα* yz | 17 *ἀνύπουλος* > Yz, *ἐν ἄλλω ἀνυπούλου* margo t | 17 *διαμένει* xyz, *διαβαίνει* t | 17 *διὰ μέσων οὐρανῶν* xt [*μέσον* t], *δι' αὐτῶν οὖν* yz | 18 *μετ'* t | 18 *μετὰ ἀληθείας* > yz | 18 *τρυφῆς* ... 19 *ἅμα* xt [*τροφῆς* t], *ζωῆς μεθέξουσα μᾶλλον δὲ* yz | 19 *διὰ* + yz | 19 *τὴν* > t | 22. 23 *ὁδηγήσας* x | 23 *ποτ'* yz | 24 *γνώσεως* x, *πίστεως* yzt | 24 *πίστις* x, *γνῶσις* yzt | 24 *πίστεως* x, *γνώσεως* yzt | 24 *ἐν ἄλλοις ου* (?) *καὶ τῆς μὲν γνώσεως αὐτοῦ προώδευσεν ἡ πίστις, τῆς .. πίστεως ἀκόλουθος ἦν ἡ συνηθήκη* margo y | 25 *γέγονεν ἡ πίστις, τῆς δὲ πίστεως* + yzt | 25 *ἐπακολούθημα* + yzt

ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. ἀλλὰ μὴν καὶ τὸν Ἰσαὰκ αὐτῷ χαρισάμενος καὶ ὅμοιον αὐτὸν εἰδὼς ἐκείνου τῷ τρόπῳ, καὶ αὐτοῦ ἐπεκλήθης θεὸς εἰπὼν Ἔσομαί σου θεὸς καὶ τοῦ σπέρματός σου μετὰ σέ. καὶ τοῦ πατρὸς * ἡμῶν Ἰακὼβ ἐπὶ Μεσοποταμίαν στελλομένου, δείξας τὸν χριστόν, δι' αὐτοῦ ἐλάλησας εἰπὼν Ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ καὶ αὐξανῶ σε καὶ πληθυνῶ σε σφόδρα. καὶ οὕτως εἶπας * πρὸς Μωϋσῆν τὸν πιστὸν καὶ ἅγιόν σου θεράποντα ἐπὶ τῆς ὀπτασίας τοῦ βάτου Ἐγώ εἰμι ὁ ὤν, τοῦτό μοι ὄνομα * αἰώνιον καὶ μνημόσυνον γενεαῖς γενεῶν. ὑπέρμαχε γένους Ἀβραάμ, εὐλογητὸς εἶ εἰς
τοὺς αἰῶνας. | εὐλογητὸς εἶ, κύριε βασιλεῦ τῶν αἰώνων, ὁ 34
διὰ χριστοῦ ποιήσας τὰ ὅλα καὶ δι' αὐτοῦ ἐν ἀρχῇ κοσμήσας τὰ ἀκατασκεύαστα, ὁ διαχωρίσας ὕδατα ὑδάτων στερεώματι καὶ πνεῦμα ζωτικὸν τούτοις ἐμβαλών, ὁ γῆν ἑδράσας καὶ οὐρανὸν ἐκτείνας καὶ τὴν ἑκάστου τῶν κτισμάτων ἀκριβῆ διάταξιν κοσμήσας· σῇ γὰρ ἐνθυμήσει, δέσποτα, κόσμος πεφαίδρυνται, οὐρανὸς δὲ ὡς καμάρα πεπηγμένος ἠγλάισται ἄστροις ἕνεκεν παραμυθίας τοῦ σκότους, φῶς δὲ καὶ ἥλιος εἰς ἡμέρας * καρπῶν γονῆς γεγένηνται, σελήνη δὲ εἰς καιρῶν τροπὴν αὔξουσα καὶ μειουμένη, * καὶ νὺξ ὠνομάζετο καὶ ἡμέρα προσηγορεύετο, * στερέωμα δὲ διὰ μέσων * ἀβύσσων ἐδείκνυτο καὶ εἶπας συναχθῆναι τὰ ὕδατα καὶ ὀφθῆναι τὴν ξηράν. αὐτὴν δὲ τὴν θάλασσαν πῶς ἄν τις ἐκφράσειεν; ἥτις ἔρχεται μὲν ἀπὸ πελάγους *, παλινδρομεῖ δὲ * ἀπὸ ψάμμου τῇ σῇ προσταγῇ κωλυομένη· εἶπας γὰρ

4 Gen 26, 3 + 17, 7 | 7 Gen 28, 15 + 48, 4 | 9 Exod 3, 14. 15
14 Gen 1, 2 | 14 Gen 1, 6 | 23 Gen 1, 9

2. 3 δωρησάμενος yzt | 4 σου xzt, σοι y | 5 δὲ + yz | 6 στελλομένω x | 8 καὶ prius > yz | 8 καὶ + y | 9 τῆς βάτου t | 10 ἐστιν + yzt [ι yt] | 14 δραχωρήσας x, sed ϱ in ι mutatum videtur, διαχωρήσας yt [ὰχ y] | 15 ἐμβάλων y | 17 ἐνθυμήσει x, δυνάμει yzt, ἐν ἄλλω ἐνθυμήσει margo t | 17 κόσμου z | 18 πεφαίδρυνται x, πεφαίδρυται t, συνέστη yz | 18 πεπηγμένος xt, τεταμένος yz | 20 καὶ + yzt | 20 καρπὸν yz | 20 γονὰς t | 20 γεγένηται yz, γεγέννηνται t | 20 τὲ y, τε z | 21 μιουμένη x | 21 διὸ + yz | 21 ὠνόμασται yz | 22 προσηγόρευτο x, προσηγορεύθη yz | 22 ἀλλὰ καὶ + yz | 22 δὲ > yz | 22 μέσον t | 22 τῶν + t | 23 ἐδείκνυτο καὶ xt, πήξας yz | 25 μαινομένη + yzt | 26 δ' t 26 εὐθὺς + y, εὐθῆς + z | 26 ὑπὸ yz | 26 εἶπες t

*ἐν αὐτῇ συντριβήσεσθαι αὐτῆς τὰ κύματα, ζῴοις δὲ μικροῖς καὶ μεγάλοις * διαπορευτὴν αὐτὴν ἐποίησας, βροτοῖς δὲ βατὴν αὐτὴν εἶναι τοῖς πλοίοις ἐκέλευσας. εἶτα ἐχλοαίνετο * γῆ, παντοίοις ἄνθεσι καταγραφομένη καὶ ποικιλίᾳ δένδρων διαφόρων· παμφαεῖς τε φωστῆρες τούτων τιθηνοί, ἀπαράβατον σῴζοντες τὸν δολιχὸν καὶ κατ' οὐδὲν παραλλάσσοντες τῆς σῆς προσταγῆς, ἀλλ' ὅπη ἂν κελεύσῃς, ταύτῃ ἀνίσχουσι καὶ δύνουσιν εἰς σημεῖα καιρῶν καὶ ἐνιαυτῶν, ἀμειβόμενοι τὴν τῶν ἀνθρώπων ὑπηρεσίαν. ἔπειτα διαφόρων ζῴων κατεσκευάζετο γένη, χερσαίων, ἐνύδρων, ἀεροπόρων, ἀμφιβίων· καὶ τῆς σῆς προνοίας ἡ ἔντεχνος σοφία τὴν κατάλληλον ἑκάστῳ πρόνοιαν δωρεῖται· ὥσπερ γὰρ διάφορα γένη οὐκ ἠτόνησε παραγαγεῖν, οὕτως οὐδὲ διάφορον πρόνοιαν ἑκάστου ποιήσασθαι κατωλιγώρησεν. καὶ τέλος τῆς δημιουργίας τὸ λογικὸν ζῷον, τὸν κοσμοπολίτην *, τῇ * σοφίᾳ διαταξάμενος κατεσκεύασας εἰπὼν Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, * κόσμου κόσμον αὐτὸν ἀναδείξας, ἐκ μὲν τῶν τεσσάρων * σωμάτων διαπλάσας * αὐτῷ σῶμα, κατασκευάσας δ' αὐτῷ τὴν ψυχὴν ἐκ τοῦ μὴ ὄντος, αἴσθησίν τε πένταθλον αὐτῷ χαρισάμενος καὶ νοῦν τὸν τῆς ψυχῆς ἡνίοχον ἐπιστήσας αὐτοῦ ταῖς αἰσθήσεσιν. καὶ ἐπὶ πᾶσι τούτοις, δέσποτα κύ-*

1 Iob 38, 11 | 8 Gen 1, 14 | 16 Gen 1, 26 | 21 Plato Phaedr 25 seqq

1. 2 *τε μικροῖς* yz | 2 *καὶ πλοίοις* + yzt | 2 *πορευτὴν* yzt | 2 *βροτοῖς* ... 3 *ἐκέλευσας* > yzt | 3 *εἶτ'* t | 3. 4 *ἐχλοαίνετο* > yz | 4 *ἡ* + yz | 4 *καταγραφομένη* xt, *κεκαλλώπισται* yz | 5 *φωτῆρες* x | 6 *σώζουσι* yz | 6 *δολιχὸν* xt, *δρόμον* yz | 6 *καὶ* > yz | 7 *παραλάσσοντες* t | 7 *τὴν σὴν προσταγὴν* yz | 7 *ἀλλ' ὅπη* xt, *ὅπη γὰρ* yz | 8 *ἀνίσχουσιν* x | 8 *δύνουσιν* yzt | 10 *κατασκευάσας* yz | 10 *χερσέων* Xzt | 11 *καὶ* ... 12 *δωρεῖται* xt, *τῇ σῇ σοφίᾳ κατάλληλον ἑκάστῳ τὴν πρόνοιαν ποιεῖς* yz | 13 *ἠτόνησεν* x, *ἠτόνησας* yz | 14 *ποιῆσαι* yz | 14 *κατωλιγώρησας* yz, *κατωλιγώρησε* t | 15 *ἄνθρωπον* + yz | 16 *σῇ* + yz, *σῇ* + t | 16 *διαταξάμενος κατεσκεύασας* xt, *βουληθεὶς ἐδημιούργησας* yz | 17 *ἡμετέραν* post *ὁμοίωσιν* t | 17 *ὃν καὶ ποιήσας καθὼς ἠθέλησας* + yz | 18 *ἀνέδειξας* yz | 18 *ἐκ* ... 22 *καὶ* xt [vide mox], *ἐκ μὲν τῶν τεσσάρων στοιχείων διαπλάσας* [*ἑαυτῷ* + z] *τὸ σῶμα, τὴν δὲ ψυχὴν ἐκ τοῦ μὴ ὄντος παραγαγών, αἰσθήσεών τε αὐτῷ δύναμιν χαρισάμενος εἰς ἐνέργειαν, καὶ νοῦν τῆς ψυχῆς ἡγεμόνα ταῖς αἰσθήσεσιν* [*εσθ''* y] *ἐπιστήσας* yz | 18 *στοιχείων πρώτων* + t | 19 *δὲ* X? | 20 *τε* x, *δ'* t | 20 *αὐτῷ πένταθλον* t | 21. 22 *ταῖς αἰσθήσεσιν ἐπιστήσας* t, omisso *αὐτοῦ* | 22 *πᾶσιν* x

ριε, τίς ἐπαξίως διηγήσεται νεφῶν ὀμβροτόκων φοράν, *
ἀστραπῆς ἔκλαμψιν, βροντῶν πάταγον, εἰς τροφῆς χορη-
γίαν καταλλήλου * καὶ κρᾶσιν ἀέρων παναρμόνιον; πα-
ρακούσαντα δὲ τὸν ἄνθρωπον * ἐμμίσθου ζωῆς * ἐστέρη-
σας, οὐκ εἰς τὸ παντελὲς ἀφανίσας, ἀλλὰ χρόνῳ πρὸς ὀλί-
γον κοιμίσας· ὅρκῳ εἰς παλιγγενεσίαν * ἐκάλεσας, * ὅρον
θανάτου ἔλυσας, ὡς ζωοποιὸς τῶν νεκρῶν διὰ Ἰησοῦ χρι-
στοῦ τῆς ἐλπίδος ἡμῶν. | μέγας εἶ, κύριε παντοκράτορ, καὶ 35
μεγάλη ἡ ἰσχύς σου καὶ τῆς συνέσεώς σου οὐκ ἔστιν ἀριθμός·
κτίστα, σωτὴρ πλούσιε * χάρισιν, μακρόθυμε καὶ ἐλέους χο-
ρηγέ, ὁ μὴ ἀφεὶς τῶν σῶν κτισμάτων τὴν σωτηρίαν· φύσει γὰρ
ἀγαθὸς ὑπάρχεις, φείδῃ δὲ ἁμαρτανόντων, εἰς μετάνοιαν *
προκαλούμενος· οἰκτίρμων γὰρ σοῦ ἡ νουθέτησις. πῶς γὰρ
ἂν * ὑπέστημεν ἐπειγομένην ἀπαιτούμενοι κρίσιν, ὁπότε μα-
κροθυμούμενοι μόλις ἀνανεύομεν τῆς ἀσθενείας; σοῦ τὸ κρά-
τος ἀνήγγειλαν οἱ οὐρανοὶ καὶ γῆ κραδαινομένη τὴν ἀσφά-
λειαν ἐπ' οὐδενὸς κρεμαμένη· θάλασσα* κυμαινομένη καὶ μυ-
ρίαν βόσκουσα ζῴων ἀγέλην πεπέδηται * ἄμμῳ, τὴν σὴν βού-
λησιν πεφρικυῖα, καὶ πάντας ἀναγκάζει βοᾶν Ὡς ἐμεγαλύνθη
τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ
γῆ τῆς κτίσεώς σου. καὶ στρατὸς ἀγγέλων φλεγόμενος καὶ

8 Tim α 1, 1 | 15 Psalm 19, 2? | 19 Psalm 104, 24

1 *νεφελῶν* y | 2 *ὀβροτόκον* y, *ὀμβροτόκον* z | 1 *εἰς τροφῆς χορηγίαν καταλλήλου* + yz | 2 *ἀστραπῆς ἔκλαμψιν* > z | 2 *βροντῶν πάταγον* > yz | 2 *εἰς* ... 3 *καταλλήλου* > y | 2. 3 *καταλλήλου χορηγίαν* t | 3 *ἀστραπῆς ἔκλαψιν* + z | 4 *σοῦ τοῦ δημιουργοῦ* + yz | 4 *τοῦτον* + yz | 4. 5 *ἀπεστέρησας* yz | 6 *κοιμήσας* y | 6 *ὅρκῳ* > yz | 6 *αὐτὸν αὖθις* + yz | 6 *καὶ* + yz | 6 *ὅρον* yzt, *προ* x | 7 *ὡς* x, *ὁ* yzt | 8 *παντοκράτωρ* x | 10 *ἐν* + zt | 10 *χάρισι* yzt | 10 *ἐλέου* yz | 11 *ἀφεὶς τῶν* x, *ἀφιστῶν τῶν* yzt | 12 *φείδῃ δὲ* xt, *διὸ καὶ φείδῃ* yz [*ῃ* z] | 12 *αὐτοὺς* + yz | 13 *προσκαλούμενος* yzt | 13 *οἰκτιρμῶν* yzt | 13 *γὰρ* prius xt, *δέ* yz | 13 *ἡ νουθέτησις* xt, *πλήρης καὶ ἡ παιδεία* yz | 13 *γὰρ* alterum > yz | 14 *ἂν* > yz | 14 *οὖν* + yz | 14 *ἐν ἄλλῳ ὑποστῶμεν* margo t | 16 *καὶ* ... 17 *κρεμαμένη* xt [vide mox], *σοῦ ἡ γῆ τὴν ἰσχὺν μαρτυρεῖ ἐπ' οὐδενὸς κρεμαμένη καὶ ἀσφάλειαν ἀσάλευτον ἔχουσα* yz, nisi quod *ἀσφάλειαν* > z, *σχοῦσα* z | 16. 17 *ἀσφάλιαν* x | 17 *κρεμαμένη* t, *καὶ κρέμασται* x = *κεκρέμασται* L | 17 *τε* + yz | 18 *δὲ* + x | 19 *ἀναγκάζει* xt, *προσκαλοῦσα* y, *προκαλοῦσα* z | 21 *καὶ στρατὸς* xt, *στρατὸς δὲ* yz | 21 *φλεγόμενος* > yz

πνεύματα νοερὰ * λέγουσιν Εἷς ἅγιος τῷ Φελμουνί, καὶ Σεραφὶμ ἅγια ἅμα τοῖς Χερουβὶμ τοῖς ἑξαπτερύγοις σοι τὴν ἐπινίκιον ᾠδὴν ψάλλοντα ἀσιγήτοις φωναῖς βοῶσιν Ἅγιος. ἅγιος ἅγιος κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· καὶ τὰ ἕτερα τῶν ταγμάτων πλήθη, * ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, δυνάμεις, ἐπιβοῶντα * λέγουσιν Εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτοῦ. Ἰσραὴλ δέ, ἡ ἐπίγειός σου ἐκκλησία ἡ ἐξ ἐθνῶν, ταῖς κατ' οὐρανὸν δυνάμεσιν ἁμιλλωμένη νυκτὶ καὶ ἡμέρᾳ ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ ψάλλει Τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων, κύριος ἐν αὐτοῖς ἐν Σιναΐ, ἐν τῷ ἁγίῳ. οἶδεν οὐρανὸς τὸν ἐπὶ μηδενὸς αὐτὸν καμαρώσαντα ὡς λίθῳ κύβον, καὶ γῆν καὶ ὕδωρ ἑαυτοῖς ἑνώσαντα, καὶ ἀέρα διαχέαντα ζωοτρόφον, καὶ τούτῳ πῦρ συμπλέξαντα εἰς θάλπος καὶ σκότους παραμυθίαν· ἐκπλήσσει χορὸς ἀστέρων *, τὸν ἀριθμήσαντα * σημαίνων καὶ τὸν ὀνομάσαντα δεικνύων, ζῷα τὸν ἐμψυχώσαντα, φυτὰ τὸν ἐκφύσαντα· ἅπερ ἅπαντα τῷ σῷ λόγῳ γενόμενα παριστᾷ τῆς σῆς δυνάμεως τὸ κράτος. διὸ καὶ ὀφείλει πᾶς ἄνθρωπος ἐξ αὐτῶν στέρνων σοὶ διὰ χριστοῦ τὸν ὑπὲρ ἁπάντων ὕμνον ἀναπέμπειν, διὰ σὲ τῶν ἁπάντων κρατῶν. σὺ γὰρ εἶ ὁ χρηστὸς ἐν εὐεργεσίαις καὶ φιλόδωρος ἐν οἰκτιρμοῖς, ὁ μόνος παντοκράτωρ *· ὅτε γὰρ θέλεις, πάρεστί σοι τὸ δύνασθαι. τὸ γὰρ σὸν αἰώνιον κράτος καὶ φλόγα καταψύχει καὶ λέοντας φιμοῖ καὶ κήτη καταπραΰνει καὶ

1 Dan 8, 13 | 3 Isaj 6, 3 | 7 Ezech 3, 12 | 9 Gen 32, 25. 27 | 10 Psalm 68, 18 | 13 Iob 38, 38

1 πνεῦμα x | 1 διὰ παντὸς ᾄδοντα + yz [ᾳ̃ z] | 1 φελμώ y, φελμ sequente lacuna tribus literis recipiendis apta z, φελμονεὶ t | 1. 2 σεραφεὶμ z | 2 ἅμα] αἷματα z | 2 χερουβεὶμ z | 3 ψάλλοντα xt, λέγοντα yz | 5 καὶ .... πλήθη xt, ἀλλὰ καὶ τὰ πλήθη τῶν λοιπῶν ταγμάτων yz | 5 ἄγγελοι + t | 6 ἀρχάγγελοι > yz | 7 βοῶντα yz | 7 καὶ αὐτὰ + yz | 8 ἡ > prius z | 10 πληρῆ x, πλήρη y | 12 σιναῆ xy, σινᾶ z, Σιναὶν t | 12. 13 ἐπὶ μηδενὸς > yz | 13 καμμαρώσαντα t | 13 λίθω κύβον x, λίθωκυβον y, λίθωκῦβον z, λιθόκυβον t | 14 ἑαυτοῖς xt, ἀλλήλοις yz | 15 συμμήξαντα y, συμμίξαντα z | 15 θάλπος καὶ > yz | 16 ἐκπλήσει t | 16 εἰς νοῦν ἐπιὼν + yz | 16 αὐτὰ + yz | 17 ψυχώσαντα yzt | 18 φυτὰ x, δένδρα yzt | 20 τὸν] τῶν t | 21 init πάντων yzt | 23 παντοκράτορ Z | 23 καὶ πάντα ἰσχύων + yz | 24 τὸ γὰρ σὸν αἰώνιον xt, σοῦ τὸ yz | 25 ψύχει yz | 24 πραῦνει yz [ύ z]

νοσοῦντας ἐγείρει καὶ δυνάμεις μετατρέπει καὶ στρατὸν ἐχθρῶν καὶ λαὸν ἀριθμούμενον ἐν τῷ ὑπερηφανεύεσθαι καταστρώννυσιν. σὺ εἶ ὁ ἐν οὐρανῷ, ὁ ἐπὶ γῆς, ὁ ἐν θαλάσσῃ, ὁ ἐν περαιουμένοις ὑπὸ μηδενὸς περαιούμενος· τῆς γὰρ μεγαλοσύνης σου οὐκ ἔστι πέρας. μὴ γὰρ ἡμέτερόν ἐστι τοῦτο, δέσποτα· τοῦ θεράποντός σου λόγιον ἐστι φάσκοντος Καὶ γνώσῃ τῇ καρδίᾳ σου καὶ συνήσεις ὅτι * κύριος ὁ θεός σου * ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ * γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. οὐδὲ γὰρ ἔστι θεὸς πλὴν σοῦ μόνου· ἅγιος οὐκ ἔστι πλὴν σοῦ, κύριος θεὸς γνώσεων, θεὸς ἁγίων, ἅγιος ὑπὲρ πάντας ἁγίους· οἱ γὰρ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου εἰσίν· ἔνδοξος καὶ ὑπερυψούμενος, ἀόρατος τῇ φύσει, ἀνεξιχνίαστος κρίμασιν· οὗ ἀνενδεὴς ἡ ζωή, ἄτρεπτος καὶ ἀνεκλιπὴς ἡ διαμονή, ἀκάματος ἡ ἐνέργεια, ἀπερίγραφος ἡ μεγαλοσύνη, ἀέννaος ἡ εὐπρέπεια, ἀπρόσιτος ἡ κατοικία, ἀμετανάστευτος ἡ κατασκήνωσις, ἄναρχος ἡ γνῶσις, ἀναλλοίωτος ἡ ἀλήθεια, ἀμεσίτευτον τὸ ἔργον, ἀνεπιβούλευτον τὸ κράτος, ἀδιάδοχος ἡ μοναρχία, ἀτελεύτητος ἡ βασιλεία, ἀνανταγώνιστος ἡ ἰσχύς, πολυάριθμος ἡ στρατιά. σὺ γὰρ εἶ ὁ σοφίας πατήρ, ὁ δημιουργίας τῆς διὰ μεσίτου κτίστης ὡς αἴτιος, ὁ προνοίας χορηγός, ὁ νόμων δοτήρ, ὁ ἐνδείας πληρωτής, ὁ τῶν ἀσεβῶν τιμωρὸς καὶ τῶν δικαίων μισθαποδότης, ὁ τοῦ χριστοῦ θεὸς καὶ πατὴρ καὶ τῶν εἰς αὐτὸν εὐσεβούντων κύριος, οὗ ἀδιάψευστος ἡ ἐπαγγελία, ἀδωροδόκητος ἡ κρίσις, ἀμετάπειστος ἡ γνώμη, ἄπαυστος ἡ εὐσέβεια, ἀίδιος ἡ εὐχαριστία· δι' οὗ σοι καὶ μεθ'

2 Reg β 24 | 4 Psalm 145, 3 | 7 Deut 4, 39 | 9 Isaj 45, 5

1 δυνάμεις xt, στοιχεῖα yz | 1 στρατῶν z | 2 ἐθρῶν X | 2 ὑπερηφανεύσασθαι yz | 3 καταστρώννυσι yzt | 4 περατουμένοις yzt | 4 περατούμενος yt, περαιτούμενος z | 5 μεγαλωσύνης yz | 5 ἔστιν x | 6 ἐστι prius > yz, ἔστιν x | 6 ἐστὶ λόγιον t | 6 fin ἔστιν x | 7 καὶ συνήσεις > yzt | 8 θεὸς + yzt | 8 τῆς + yzt | 9 ἔστιν θεος x | 10 virgulam post ἅγιος z | 10 ἔστιν x, ἔστιν z | 10 κύριος > yz | 11 πάντων y | 12 ὑπερυψώμενος y, ὑπερυψωμένος z | 13 ἄρατος X | 14 ἀνεκλειπὴς yz [ἡ z], ἀνελλειπὴς t | 15 ἀπερίγραπτος yzt | 15 μεγαλειότης yzt | 15 ἀέναος x | 19. 20 πολϊάριθμος z | 21 ὁ prius xt, ὡς yz | 22 ἐνδίας z | 22 μωρὸς Y | 23 μισθοτης x, μισθοδότης yz | 25 ἀμετάπιστος Xt | 26 p 219, 1 μεθ' οὗ > yzt

οὗ ἡ ἐπάξιος προσκύνησις ὀφείλεται παρὰ πάσης λογικῆς καὶ
36 ἁγίας φύσεως. | κύριε παντοκράτορ, κόσμον ἔκτισας διὰ
χριστοῦ καὶ σάββατον ὥρισας εἰς μνήμην τούτου, ὅτι ἐν αὐτῷ κατέπαυσας ἀπὸ τῶν ἔργων, εἰς μελέτην τῶν σῶν νόμων· καὶ ἑορτὰς διετάξω εἰς εὐφροσύνην τῶν ἡμετέρων ψυχῶν, ὅπως εἰς μνήμην ἐρχώμεθα τῆς ὑπὸ σοῦ κτισθείσης σοφίας, ὡς δι' ἡμᾶς γένεσιν ὑπέστη τὴν διὰ γυναικός, ἐπεφάνη τῷ βίῳ ἀναδεικνὺς ἑαυτὸν ἐν τῷ βαπτίσματι ὡς θεός ἐστι καὶ ἄνθρωπος ὁ φανείς, ἔπαθε δι' ἡμᾶς σῇ συγχωρήσει καὶ ἀπέθανε, καὶ ἀνέστη σῷ κράτει· διὸ καὶ τὴν ἀναστάσιμον ἑορτὴν πανηγυρίζοντες τῇ κυριακῇ χαίρομεν ἐπὶ τῷ νικήσαντι μὲν τὸν θάνατον, φωτίσαντι δὲ ζωὴν καὶ ἀφθαρσίαν· δι' αὐτοῦ γὰρ προσηγάγου τὰ ἔθνη ἑαυτῷ εἰς λαὸν περιούσιον, τὸν ἀληθινὸν Ἰσραὴλ τὸν θεοφιλῆ, τὸν ὁρῶντα θεόν. σὺ γάρ, κύριε, καὶ τοὺς πατέρας ἡμῶν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου καὶ ἐρρύσω ἐκ καμίνου σιδηρᾶς καὶ ἐκ πηλοῦ καὶ πλινθουργίας, * ἐλυτρώσω ἐκ χειρὸς Φαραὼ καὶ τῶν ὑπ' αὐτόν, * διὰ θαλάσσης ὡς διὰ ξηρᾶς αὐτοὺς παρήγαγες καὶ ἐτροποφόρησας αὐτοὺς ἐν τῇ ἐρήμῳ παντοίοις ἀγαθοῖς· νόμον αὐτοῖς ἐδωρήσω * δέκα λογίων σῇ φωνῇ φθεγχθέντα καὶ χειρὶ σῇ καταγραφέντα· σαββατίζειν ἐνετείλω, οὐ πρόφασιν ἀργίας διδούς, ἀλλ' ἀφορμὴν εὐσεβείας, εἰς γνῶσιν τῆς σῆς δυνάμεως, εἰς κώλυσιν κακῶν ὡς ἐν ἱερῷ καθείρξας περιβόλῳ διδασκαλίας χάριν εἰς ἀγαλλίαμα ἑβδομάδος· διὰ τοῦτο ἑβδομὰς μία καὶ ἑβδομάδες ἑπτὰ καὶ μὴν ἕβδομος καὶ ἐνιαυτὸς ἕβδομος καὶ τούτου κατὰ ἀνακύκλησιν * ἔτος πεντηκοστόν, εἰς ἄφεσιν. ὅπως μηδεμίαν ἔχωσι πρόφασιν * ἄνθρωποι ἄγνοιαν σκήψασθαι, τούτου χάριν πᾶν σάββατον ἀργεῖν ἐπέτρεψεν, ὅπως μηδὲ λόγον τις ἐν ὀργῇ ἐκ τοῦ στόματος αὐτοῦ προέσθαι θελήσῃ

4 Gen 2, 2 | 12 Tim β 1, 10 | 16 Deut 4, 20 | 18 Exod 14, 29

2 παντοκράτωρ xyz | 4 τῶν alterum > z | 6 ἐρχόμεθα t | 6 κτισθείσης xt, γεννηθείσης yz | 7 γένησιν z | 8 δεικνὺς yz | 9 ἔστιν x | 9 ἔπαθεν x | 10 καὶ primum > yz | 10 ἀπέθανεν x | 12 φωτίσαντι xt, πηγάσαντι yz | 13 σεαυτῷ y | 17 ἀπαλλάξας + y et in margine z | 18 καὶ + yzt | 20 ἢ + t | 21 λαληθέντα yz | 21 σῇ > t | 25 ἐνδομάδος y | 27 κατὰ > yzt | 27 ἀνακύκλησις yz, ἀντανακύκλησις t | 27 ἰοβηλαῖος ὅ ἐστιν + t | 28 ἔχωσιν x | 28 οἱ + yzt | 28 σκέψασθαι yz | 29 ἐπέτρεψεν ἀργεῖν yzt | 30 τις > x

*ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων. σάββατον γάρ ἐστι κατάπαυσις δημιουργίας, τελείωσις κόσμου, νόμων ζήτησις, αἶνος εἰς θεὸν εὐχάριστος ὑπὲρ ὧν ἀνθρώποις ἐδωρήσατο. ὧν ἁπάντων ἡ κυριακὴ προὔχουσα, αὐτὸν τὸν μεσίτην, τὸν προνοητήν, τὸν νομοθέτην, τὸν ἀναστάσεως αἴτιον, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν θεὸν λόγον καὶ ἄνθρωπον τὸν ἐκ Μαρίας γεννηθέντα μόνον δίχα ἀνδρός, τὸν πολιτευσάμενον ὁσίως, τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου καὶ ἀποθανόντα καὶ ἀναστάντα ἐκ νεκρῶν ὑποδεικνύουσα, ὡς κυριακὴ * παρακελεύεται σοί, δέσποτα, τὴν ὑπὲρ πάντων εὐχαριστίαν * προσφέρειν. αὕτη γὰρ ἡ * παρασχεθεῖσα χάρις, ἥτις διὰ μέγεθος πᾶσαν εὐεργεσίαν ἐκάλυψεν. | ὁ τὰς ἐπαγγελίας τὰς διὰ τῶν προφητῶν πλη-* 37
*ρώσας καὶ ἐλεήσας τὴν Σιὼν καὶ οἰκτείρας τὴν Ἱερουσαλὴμ * τῷ τὸν θρόνον Δαβὶδ τοῦ παιδός σου ἀνυψῶσαι ἐν μέσῳ αὐτῆς τῇ γενέσει τοῦ χριστοῦ τοῦ ἐκ σπέρματος αὐτοῦ τὸ κατὰ σάρκα γεννηθέντος ἐκ μόνης τῆς παρθένου· αὐτὸς καὶ νῦν, δέσποτα ὁ θεός, πρόσδεξαι * διὰ χειλέων δεήσεις * λαοῦ σου τοῦ ἐξ ἐθνῶν, τῶν ἐπικαλουμένων σε ἐν ἀληθείᾳ, καθὼς προσεδέξω τὰ δῶρα τῶν δικαίων ἐν ταῖς γενεαῖς αὐτῶν. Ἄβελ ἐν πρώτοις τὴν θυσίαν ἐπεῖδες καὶ προσεδέξω, Νῶε ἐξελθόντος τῆς κιβωτοῦ, Ἀβραὰμ μετὰ τὸ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Χαλδαίων, Ἰσαὰκ ἐν τῷ φρέατι τοῦ ὅρκου, Ἰακὼβ ἐν Βηθλεέμ, Μωσέως ἐν τῇ ἐρήμῳ, Ἀαρὼν ἀνὰ μέσον τῶν ζώντων καὶ τῶν τεθνηκότων, Ἰησοῦ τοῦ Ναυῆ ἐν Γαλγάλοις, Γεδεὼν ἐπὶ τῆς πέτρας καὶ τῶν πόκων πρὸ τῆς ἁμαρτίας, Μανωὲ καὶ τῆς γυναικὸς αὐτοῦ ἐν τῷ πεδίῳ, Σαμψὼν ἐν τῇ δίψῃ πρὸ τῆς πλημμελείας, Ἰεφθάε ἐν τῷ πολέμῳ πρὸ τῆς ἀκρίτου ἐπαγγελίας, Βαρὰκ καὶ Δεββώρας ἐπὶ τοῦ Σισάρα, Σαμουὴλ ἐν Μασιφά, Δαβὶδ ἐν*

6 Col 1, 15 | 16 Rom 1, 3 | 25 Num 17, 13

1 *ἔστιν* x | 7 *μόνον* > t | 10 *τοίνυν* + yz | 10 *σοί* > yz | 11 *σοι* + yz | 11 *ὑπὸ σοῦ* + yzt | 14 *οἰκτειρήσας* yzt | 15 *καὶ* + z | 17 *τῆς* > yzt | 18 *τὰς* + yzt | 19 *τοῦ* + yzt | 20 *τὰ* ... 22 *προσδέξω* bis z | 21 *ἐπίδες* x | 22 *προσδέξω* z | 23 *αὐτὸν* > yzt | 25 *τεθνεώτων* yzt | 27 *αὐτοῦ γυναικὸς* yzt | 28 *τῷ δίψει* yzt [*τῶ* t] | 28 *πλημμελήας* x *videtur* habere | 29. 30 *Δεββόρας* t | 30 *μασσιφᾶ* yz, *μασσηφᾶ* t

ἅλῳ Ἀρνὼν τοῦ Ἰεβουσαίου, Σολομῶνος ἐν Γαβαὼν καὶ *
Ἱερουσαλήμ, Ἡλία ἐν τῷ ὄρει τῷ Καρμηλίῳ, Ἐλισσαίου ἐπὶ
τῆς ἀτεκνούσης πηγῆς, Ἰωσαφὰτ ἐν πολέμῳ, Ἐζεκία ἐν ἀρ-
ρωστίᾳ καὶ ἐπὶ τοῦ Σεναχηρείμ, Μανασσῆ ἐν γῇ Χαλδαίων
μετὰ τὴν πλημμέλειαν, Ἰωσία ἐν τῷ Φασσᾶ, Ἔσδρα ἐν τῇ
ἐπανόδῳ, Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων, Ἰωνᾶ ἐν τῇ
κοιλίᾳ τοῦ κήτους, τῶν τριῶν παίδων ἐν * καμίνῳ * πυ-
ρός, Ἄννης ἐν τῇ σκηνῇ ἐνώπιον τῆς κιβωτοῦ, Νεεμίου
ἐπὶ τῇ ἀνεγέρσει τῶν τειχῶν καὶ * Ζοροβάβελ, Ματτα-
θία καὶ τῶν υἱῶν αὐτοῦ ἐν τῷ ζήλῳ σου, Ἰαὴλ ἐν εὐλο-
γίαις. καὶ νῦν οὖν πρόσδεξαι τὰς τοῦ λαοῦ σου προσευχὰς
μετ' ἐπιγνώσεως σοι διὰ χριστοῦ προσφερομένας ἐν τῷ
38 πνεύματι. | εὐχαριστοῦμέν σοι περὶ * πάντων, δέσποτα παν-
τοκράτορ, ὅτι οὐκ ἐγκατέλιπες τὰ ἐλέη σου καὶ τοὺς οἰ-
κτιρμούς σου ἀφ' ἡμῶν, ἀλλὰ καθ' ἑκάστην γενεὰν καὶ γε-
νεὰν σώζεις, ῥύῃ, ἀντιλαμβάνῃ, σκεπάζεις. ἀντελάβου γὰρ
ἐν ἡμέραις Ἐνὼς καὶ Ἐνώχ, ἐν ἡμέραις Μωσῆ καὶ Ἰησοῦ,
ἐν ἡμέραις τῶν κριτῶν, ἐν ἡμέραις Σαμουὴλ καὶ Ἡλία καὶ
τῶν προφητῶν, ἐν ἡμέραις Δαβὶδ καὶ τῶν βασιλέων, ἐν
ἡμέραις Ἐσθὴρ καὶ Μαρδοχαίου, ἐν ἡμέραις Ἰουδίθ, ἐν
ἡμέραις Ἰούδα Μακκαβαίου καὶ τῶν ἀδελφῶν αὐτοῦ· καὶ
ἐν ταῖς ἡμέραις ἡμῶν ἀντελάβου ἡμῶν διὰ τοῦ μεγάλου
* ἀρχιερέως Ἰησοῦ χριστοῦ τοῦ παιδός σου· καὶ * ἀπὸ μα-
χαίρας γὰρ ἐρρύσατο καὶ ἐκ λιμοῦ ἐξείλετο διαθρέψας, ἐκ
νόσου ἰάσατο, ἐκ γλώσσης πονηρᾶς ἐσκέπασεν. περὶ πάν-
των σοι διὰ χριστοῦ εὐχαριστοῦμεν, ὁ καὶ φωνὴν ἔναρθρον
εἰς ἐξομολόγησιν δωρησάμενος καὶ γλῶσσαν εὐάρμοστον
δίκην πλήκτρου ὡς ὄργανον ὑποθείς, καὶ γεῦσιν πρόσφο-
ρον καὶ ἁφὴν κατάλληλον καὶ ὅρασιν θέας καὶ ἀκοὴν φω-
νῆς καὶ ὄσφρησιν ἀτμῶν καὶ χεῖρας εἰς ἔργον καὶ πόδας

23 Reg β 22, 44 | 24 Psalm 33, 19 | 25 Psalm 31, 21

1 αρνῶν x, ὀρνὰ yz, Ὀρνᾶ t | 1 γαβαω x | 1 ἐν + yzt | 4 σεναχιρίν x, σενναχηρεὶμ yz | 5 φασσᾶ yz, φασσά xt | 5 ἔσρα x | 7 τῇ + yzt | 7 τοῦ + yzt | 8 ἄννα x | 8 νεεμία yzt [N t] | 9 ἀναγέρσει z | 9 τοῦ + yzt | 9. 10 ματθία yz | 10 Ἰαβὴλ t | 13 περὶ + y | 13. 14 παντοκράτωρ xyzt | 14 οὐ z | 14 ἐγκατέλειπες x, ἀπέστησας y, κατέστησας z | 16 σκεπάζῃς Z | 20 Ἰουδείθ t | 21 μακκαβίου y | 23 σου + yzt | 23 γὰρ + yz | 24 γὰρ > yz | 24 ἐξείλατο t | 24 διέθρεψας z | 25 ἐσκέπασε yzt | 29. 30 καὶ ἀκοὴν φωνῆς > X

εἰς ὁδοιπορίαν· καὶ ταῦτα πάντα ἐκ μικρᾶς σταγόνος διαπλάσας ἐν μήτρᾳ, καὶ ψυχὴν ἀθάνατον μετὰ τὴν μόρφωσιν χαρίζῃ καὶ προάγεις εἰς φῶς τὸ λογικὸν ζῷον, τὸν ἄνθρωπον. νόμοις ἐπαίδευσας, δικαιώμασιν ἐφαίδρυνας, πρὸς ὀλίγον ἐπάγων διάλυσιν, τὴν ἀνάστασιν ἐπηγγείλω. ποῖος τοιγαροῦν αὐτάρκης βίος, αἰώνων δὲ πόσον μῆκος διαρκέσει ἀνθρώποις πρὸς εὐχαριστίαν; ἢ τὸ μὲν πρὸς ἀξίαν ἀδύνατον, τὸ δὲ κατὰ δύναμιν εὐαγές. ἐρρύσω γὰρ ἀσεβείας πολυθέων, καὶ χριστοκτόνων αἱρέσεως ἐξείλω, πεπλανημένης ἀγνοίας ἠλευθέρωσας, τὸν χριστὸν ἀπέστειλας εἰς ἀνθρώπους * ἄνθρωπον, θεὸν ὄντα μονογενῆ, τὸν παράκλητον ἐνῴκισας ἡμῖν, ἀγγέλους ἐπέστησας, τὸν διάβολον κατῄσχυνας, οὐκ ὄντας ἐποίησας, γενομένους φυλάσσεις, ζωὴν ἐπιμετρεῖς, χορηγεῖς τροφήν, μετάνοιαν ἐπηγγείλω. ὑπὲρ ἁπάντων σοι ἡ δόξα καὶ τὸ σέβας μετὰ χριστοῦ καὶ πνεύματος ἁγίου νῦν * καὶ εἰς τοὺς αἰῶνας· ἀμήν. ταῦτα μελετᾶτε, ἀδελφοί· καὶ εἴη * κύριος μεθ' ὑμῶν ἐπὶ γῆς καὶ ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτοῦ, τοῦ καὶ αὐτὸν ἀποστείλαντος καὶ ἡμᾶς δι' αὐτοῦ ἐλευθερώσαντος ἐκ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης, καὶ ζωὴν ἐπαγγειλαμένου τοῖς δι' αὐτοῦ πιστεύσασιν εἰς τὸν τῶν ὅλων θεόν. ὅπως μὲν οὖν ὀφείλουσι ζῆν οἱ κατὰ χριστὸν μεμνημένοι καὶ οἵας εὐχαριστίας ἀναπέμπειν τῷ θεῷ διὰ χριστοῦ, εἴρηται διὰ τῶν προλαβόντων, δίκαιον δὲ μηδὲ τοὺς ἀμυήτους καταλιπεῖν ἀβοηθήτους. | ὁ μέλλων τοίνυν κατηχεῖσθαι τὸν 39
λόγον τῆς ἀληθείας παιδευέσθω πρὸ τοῦ βαπτίσματος τὴν περὶ τοῦ ἀγεννήτου γνῶσιν, τὴν περὶ υἱοῦ μονογενοῦς ἐπίγνωσιν, τὴν περὶ τοῦ ἁγίου πνεύματος πληροφορίαν· μανθανέτω δημιουργίας διαφόρου τάξιν, προνοίας εἱρμόν, νομοθεσίας διαφόρου * δικαιωτήρια· παιδευέσθω διὰ τί κόσμος

19 Rom 8, 21

1 εἰς x, πρὸς yzt | 2 διαπλάσσεις yz, διαπλάττεις t | 3 post φῶς punctum t | 4 post ἄνθρωπον punctum > t | 5 ὀλίγων z | 6 μῆκος πόσον t | 9 ἐξείλου yz | 10. 11 ἀπέστηλας z | 11 ὡς + t | 12 ἐνώκησας x | 13 ᾔσχυνας yzt | 15 μετὰ x, διὰ ἰησοῦ yzt | 15. 16 καὶ πνεύματος ἁγίου > yzt | 16 καὶ ἀεὶ + yzt | 17 ὁ + t | 18 αὐτοῦ corr y? xzt, αὐτῶν Y | 22 ὀφείλουσιν x | 25 καταλειπεῖν x | 26 ἀληθείας x, εὐσεβείας yzt | 27 υἱοῦ xt, τοῦ yz | 29 τάξιν .... 30 διαφόρου > y | 30 καὶ + z | 30 δικαιοτήρια t

*γέγονεν καὶ διὸ κοσμοπολίτης ὁ ἄνθρωπος κατέστη· ἐπιγινωσκέτω τὴν ἑαυτοῦ φύσιν, οἷα τις ὑπάρχει· παιδευέσθω ὅπως ὁ θεὸς τοὺς πονηροὺς ἐκόλασεν ὕδατι καὶ πυρί, τοὺς δὲ ἁγίους ἐδόξασε καθ᾽ ἑκάστην γενεάν, λέγω δὴ τὸν Σήθ, τὸν Ἐνὼς καὶ τὸν Ἐνώχ, τὸν Νῶε, τὸν Ἀβραὰμ καὶ τοὺς ἐκγόνους αὐτοῦ, τὸν Μελχισεδὲκ καὶ τὸν Ἰὼβ καὶ τὸν Μωσέα Ἰησοῦν τε καὶ Χαλὲβ καὶ Φινεὲς τὸν ἱερέα καὶ τοὺς καθ᾽ ἑκάστην γενεὰν ὁσίους, ὅπως τε προνοούμενος οὐκ ἀπεστράφη * θεὸς τὸ τῶν ἀνθρώπων γένος, ἀλλ᾽ ἀπὸ πλάνης καὶ ματαιότητος εἰς ἐπίγνωσιν ἀληθείας ἐκάλει κατὰ διαφόρους καιρούς, ἀπὸ τῆς δουλείας καὶ ἀσεβείας εἰς ἐλευθερίαν καὶ εὐσέβειαν ἐπανάγων, ἀπὸ ἀδικίας εἰς δικαιοσύνην, ἀπὸ θανάτου αἰωνίου εἰς ζωὴν ἀΐδιον. ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα μανθανέτω ἐν τῇ κατηχήσει ὁ προσιών· προσκυνείτω δὲ ὁ χειροθετῶν αὐτὸν τὸν θεὸν * τῶν ὅλων δεσπότην, εὐχαριστῶν ὑπὲρ τοῦ πλάσματος ὅτι κατέπεμψε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ χριστόν, ἵνα σώσῃ τὸν ἄνθρωπον ἐξαλείψας τὰς ἀνομίας, καὶ ἵνα ἀφῇ τὰς ἀσεβείας καὶ τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἁγιάσῃ δὲ τὸν ἄνθρωπον κατ᾽ εὐδοκίαν τῆς χρηστότητος αὐτοῦ, συστήσῃ δὲ τὸ θέλημα αὐτοῦ, καὶ φωτίσῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτοῦ εἰς κατανόησιν τῶν θαυμάτων αὐτοῦ, γνωρίσῃ * αὐτῷ τὰ κρίματα τῆς δικαιοσύνης, ὅπως ἂν μισήσῃ πᾶσαν ὁδὸν ἀδικίας, πορεύηται δὲ τὴν ὁδὸν τῆς ἀληθείας εἰς τὸ καταξιωθῆναι αὐτὸν τοῦ λουτροῦ τῆς παλιγγενεσίας εἰς υἱοθεσίαν τὴν ἐν χριστῷ· ἵνα σύμφυτος γενόμενος τῇ ὁμοιότητι τοῦ κυρίου ἐλπίδι τῆς ἐνδόξου κοινωνίας νεκρωθῇ μὲν τῇ ἁμαρτίᾳ, ζήσῃ δὲ τῷ θεῷ κατὰ **

10 Tim α 2, 4 | 19 Cor β 7, 1 | 21 Eph 1, 18 | 25 Tit 3, 5 | 26 Eph 1, 5 | 28 Col 3, 5 | 28 Gal 2, 19

1 *γέγονε* yzt | 1 *διὸ* xt, *διὰ τί ὁ* yz | 4 *δ᾽* t | 4 *ἐδόξασεν* x | 4 *σήμ* x | 5 *καὶ* prius > yzt | 5. 6 *ἐγγόνους* x, *ἐγκόνους* z | 6 *καὶ* alterum > yz | 6 *τὸν μωσέα* ... 7 *χαλέβ* bis z | 9 *ὁ* + yzt | 9 *ἀλλὰ* yzt | 10 *ἐπίγνοσιν* z | 11 *ἀποῦ* z | 12 *ἐνάγων* x, *ἀνάγων* yz | 14 *ὁ* ante *ἐν* yz | 15 *προςκυνείτῳ* y | 15 *τὸν* + yzt | 16 *κατέπεμψεν* x | 19 *μολϊσμοῦ* z | 19. 20 *σαννὸς* t | 20 *τὲ* y, *τε* z | 21 *συστήσῃ δὲ* x, *καὶ συνετίσῃ εἰς* yz, *συνετίσῃ δὲ* t | 22 *εἰς* ... 23 *αὐτοῦ* > z | 23 *θαυμασίων* yt | 23 *τε* + yz 27 *τοῦ κυρίου* x, *τοῦ θανάτου τοῦ χριστοῦ ἐπ᾽* yzt [*τοῦ* alterum > z] | 28 *νεκρωθῆναι* y | 28 *τε* + yzt

*νοῦν καὶ λόγον καὶ πρᾶξιν, καὶ ἐν τῇ βίβλῳ τῶν ζώντων συναριθμηθῇ. καὶ μετὰ τὴν εὐχαριστίαν ταύτην παιδευσάτω αὐτὸν τὰ περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως τά τε περὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ ἀναλήψεως. | καὶ ὅταν * πρὸς αὐτὸ λοιπὸν τὸ βαπτισθῆναι ὁ* 40
*κατηχηθεὶς ᾖ, μανθανέτω τὰ περὶ τῆς ἀποταγῆς τοῦ διαβόλου καὶ τὰ περὶ τῆς συνταγῆς τοῦ χριστοῦ· δεῖ γὰρ αὐτὸν πρῶτον μὲν ἀποσχέσθαι τῶν ἐναντίων καὶ τότε ἐντὸς γενέσθαι τῶν μυστηρίων, προκαθάραντα ἑαυτοῦ τὴν καρδίαν πάσης κακονοίας σπίλου τε καὶ ῥυτίδος καὶ τότε τῶν ἁγίων μεταλαχεῖν. ὡς γὰρ γεωργὸς ἄριστος ἐκκαθαίρει τὴν ἄρουραν πρότερον τῶν ὑπερφυουσῶν ἐν αὐτῇ ἀκανθῶν καὶ τότε σπείρει τὸν πυρόν, οὕτως δεῖ καὶ ὑμᾶς, πρότερον πᾶσαν ἀσέβειαν ἐξελόντας ἀπ' αὐτῶν, * τότε τὴν εὐσέβειαν αὐτοῖς ἐγκαταβάλλεσθαι καὶ τοῦ βαπτίσματος αυτοὺς ἀξιῶσαι. καὶ γὰρ καὶ ὁ κύριος ἡμῶν οὕτως ἡμῖν παρῄνεσεν εἰπών Μαθητεύσατε * πάντα τὰ ἔθνη, καὶ τότε ἐπήγαγε τὸ Καὶ βαπτίσατε αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀπαγγελλέτω οὖν ὁ βαπτιζόμενος ἐν τῷ ἀποτάσσεσθαι | Ἀποτάσσομαι τῷ Σατανᾷ* 41
*καὶ τοῖς ἔργοις αὐτοῦ καὶ ταῖς πομπαῖς αὐτοῦ καὶ ταῖς λατρείαις αὐτοῦ καὶ τοῖς ἀγγέλοις αὐτοῦ καὶ ταῖς ἐφευρέσεσιν αὐτοῦ καὶ πᾶσι τοῖς ὑπ' αὐτόν. μετὰ δὲ τὴν ἀποταγὴν συντασσόμενος λεγέτω ὅτι Καὶ συντάσσομαι τῷ χριστῷ. καὶ πιστεύω καὶ βαπτίζομαι εἰς ἕνα ἀγέννητον μόνον ἀληθινὸν θεὸν παντοκράτορα, τὸν πατέρα τοῦ χριστοῦ,*

10 Eph 5, 27 | 17 Matth 28, 19

2 *συναριθμηθῆναι* x, *συναρθμηθῇ* y | 3 *ἐνανθρωπίσεως* t | 3 *τε* > x | 4. 5 *ἀναλύψεως* z | 5 *ἢ* + yzt | 5 *αὐτῷ* y, *αὐτῶ* z | 5 *τῷ* y, *τῶ* z | 5 *βαπτησθῆναι* x | 6 *ἦι* w, *ἢ* x, > yzt | 7 *τὰ* > z | 8 *μὲν* > w | 8 *ἀπέχεσθαι* w, *ἀπόχεσθαι* z | 10 *κακονοίας* wx, *κακοηθείας* yzt | 11 *μετασχεῖν* w | 12 *πρῶτον* w | 12 *τῶν* > y | 12 *ὑπαρχουσῶν* w, *ὑπερπουσῶν* x, *ὑφερπουσῶν* yz, *ἐν ἄλλω ὑφερπουσῶν* margo t | 13 *καὶ ὑμᾶς οὕτως δεῖ* w | 13 *οὕτω* yzt | 14 *ἐξελόντες* x | 14 *καὶ* + w | 15 *ἐγκαταβάλεσθαι* w, *ἐγκαταλαβέσθαι* y, *ἐγκαταβαλέσθαι* z | 15 *αὐτοὺς* > yzt | 16 *καὶ* alterum > wyz | 17 *πρότερον* + yzt | 17 *ἐπήγαγεν* x | 19 *ἀπαγγέτω* W, *ἀπαγγελέτω* w | 20 *ἀποτάσεσθαι* w | 21 *καὶ* tertium ... 23 *αὐτοῦ* > w | 23 *πᾶσιν* x | 23 *ὑπ' αὐτῶι* w | 25 *καὶ* alterum > y

κτίστην καὶ δημιουργὸν τῶν ἁπάντων, ἐξ οὗ τὰ πάντα. καὶ εἰς τὸν κύριον Ἰησοῦν τὸν χριστόν, τὸν μονογενῆ αὐτοῦ υἱόν, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν πρὸ αἰώνων εὐδοκίᾳ τοῦ πατρὸς γεννηθέντα οὐ κτισθέντα, δι' οὗ τὰ πάντα ἐγένετο τὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὁρατά τε καὶ ἀόρατα, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα ἐξ οὐρανῶν καὶ σάρκα ἀναλαβόντα, * ἐκ τῆς ἁγίας παρθένου Μαρίας * γεννηθέντα, καὶ πολιτευσάμενον ὁσίως κατὰ τοὺς νόμους τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ, καὶ σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου καὶ ἀποθανόντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα ἐκ τῶν νεκρῶν μετὰ τὸ παθεῖν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. βαπτίζομαι καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τοῦτ' ἔστι τὸν παράκλητον, τὸ ἐνεργῆσαν ἐν πᾶσι τοῖς ἀπ' αἰῶνος ἁγίοις, ὕστερον δὲ ἀποσταλὲν * παρὰ τοῦ πατρὸς κατὰ τὴν ἐπαγγελίαν τοῦ * σωτῆρος ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ, καὶ μετὰ τοὺς ἀποστόλους δὲ πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, εἰς σαρκὸς ἀνάστασιν καὶ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς βασιλείαν οὐρανῶν * καὶ εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος. καὶ μετὰ τὴν ἐπαγγελίαν ταύτην κατ' ἀκολουθίαν ἔρχεται καὶ εἰς τὴν τοῦ
42 ἐλαίου χρίσιν. | εὐλογεῖται δὲ τοῦτο παρὰ τοῦ ἀρχιερέως εἰς ἄφεσιν ἁμαρτιῶν καὶ προκατασκευὴν τοῦ βαπτίσματος. ἐπικαλεῖται γὰρ οὕτως τὸν ἀγέννητον θεόν, τὸν πατέρα τοῦ χριστοῦ, τὸν βασιλέα πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, ἵνα ἁγιάσῃ τὸ ἔλαιον τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ * καὶ

1 Cor α 8, 6 | 3 Col 1, 15 | 4 Cor α 8, 6 | 5 Col 1, 15 | 14 Luc 1, 33

2 τὸν medium > z | 2 μόνον W? μονογενῆ w correct rec | 3 αἰώνου W? | 4 οὐ κτισθέντα > yz | 6 init τῶν x | 6 τῶν > yzt | 7 καὶ + t | 7 καὶ + y | 10 τῶν > yzt | 15 ἔστιν x | 15 τὸν] τὸ z | 16 ἐνεργεῖσαν w | 16 πᾶσιν xt | 17 καὶ τοῖς ἀποστόλοις + yzt, ἐν ἄλλῳ ἡμῖν margo t | 18 θεοῦ καὶ + w | 18 καὶ κυρίου > w | 19 πᾶσιν x | 20 καὶ ἀποστολικῇ > wt | 21 βασιλείας yz | 21 ἀποκατάστασιν + yz | 22 καὶ alterum wxt, εἶτα yz | 22. 23 ἀπαγγελίαν y | 23 κατὰ w | 23 καὶ > yz | 24 ἱερέως yz | 25 προσκατασκευὴν x | 26 οὗτος x, οὕτω yzt | 27 πάσις w | 28 τὸ] τὸν t | 28 χριστοῦ + w

δώσῃ χάριν πνευματικὴν καὶ δύναμιν ἐνεργητικὴν ἄφεσίν τε ἁμαρτιῶν καὶ προπαρασκευὴν ὁμολογίας βαπτίσματος, ὥστε τὸν χριόμενον ἀπολυθέντα πάσης ἀσεβείας ἄξιον γενέσθαι τῆς μυήσεως κατ' ἐντολὴν τοῦ μονογενοῦς. | εἶτα ἔρ- 43
χεται εἰς τὸ ὕδωρ. * εὐλογεῖ καὶ δοξάζει τὸν δεσπότην θεὸν τὸν παντοκράτορα τὸν πατέρα τοῦ μονογενοῦς υἱοῦ εὐχαριστῶν ὁ ἱερεύς, ὅτι ἀπέστειλεν * τὸν υἱὸν αὐτοῦ δι' ἡμᾶς ἐνανθρωπῆσαι, ἵνα ἡμᾶς σώσῃ, ὅτι ἠνέσχετο τῆς ἐνανθρωπήσεως ὑπήκοον αὐτὸν γενέσθαι ἐν πᾶσι, κηρύξαι βασιλείαν οὐρανῶν, ἄφεσιν ἁμαρτιῶν, νεκρῶν ἀνάστασιν. ἐπὶ τούτοις προσκυνεῖ αὐτὸν τὸν μονογενῆ θεὸν μετ' αὐτὸν καὶ δι' αὐτόν, εὐχαριστῶν αὐτῷ τῷ ἀναδέξασθαι αὐτὸν τὸν ὑπὲρ πάντων θάνατον διὰ τοῦ σταυροῦ, οὗ τύπον ἔδωκε τὸ βάπτισμα τῆς παλιγγενεσίας, δοξάζει τε ὅτι ἐν τῷ ὀνόματι τοῦ χριστοῦ θεὸς ὁ τῶν ὅλων κύριος ἐν ἁγίῳ πνεύματι οὐκ ἀπέρριψε τὸ τῶν ἀνθρώπων γένος, ἀλλὰ διαφόροις καιροῖς διαφόρους προνοίας ἐποιήσατο, τῷ δὲ Ἀδὰμ αὐτῷ ἐν * παραδείσῳ πρῶτον μὲν τρυφῆς λόγῳ τὸν παράδεισον οἰκητήριον δούς, ἔπειτα προνοίας λόγῳ ἐντολὴν * ποιησάμενος, * ἁμαρτόντα δὲ δικαιοσύνῃ ἐξώσας, ἀγαθότητι δὲ μὴ ἀπορρίψας εἰς τὸ παντελές, ἀλλὰ καὶ τοὺς ἐξ αὐτῶν κατὰ διαδοχὴν διαφόρως παιδεύσας· δι' ὃν ἐπὶ τὸ τέρμα τοῦ αἰῶνος ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἄνθρωπον γενέσθαι δι' ἀνθρώπους καὶ πάντα τὰ ἀνθρώπινα πάθη ἀναδέξασθαι χωρὶς ἁμαρτίας. αὐτὸν οὖν καὶ νῦν παρακαλείτω ὁ ἱερεὺς πρὸς τῷ βαπτίσματι καὶ λεγέτω ὅτι Κάτιδε ἐξ οὐρανοῦ καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο, δὸς δὲ χάριν καὶ δύναμιν, ὥστε τὸν βαπτιζόμενον κατ' ἐντολὴν τοῦ χριστοῦ σου

14 Tit 3, 5 | 25 Hebr 4, 15

1 δόσῃ w, δώσει x, δῷ yz | 1 καὶ δύναμιν ἐνεργητικὴν > w | 4. 5 εἶτα ἔρχεται bis z | 5 καὶ + yz | 6 υἱοῦ wx, θεοῦ yzt | 7 ἀπέστειλε w | 7 ἐνανθρωπῆσαι + yzt [ἤ y] | 8 ἐνανθρωπῆσαι > yzt | 9 πᾶσιν x | 11 μονογενῆι w | 12 δι' αὐτοῦ w | 13 τὸν] τῶν xt | 13 ἁπάντων x | 13 τοῦ > w | 14 ἔδωκεν x | 14 τὸ] τῶ w | 16 ἀπέρριψεν x | 17 ἐποίησε w | 17 τῶ τε yz, τότε t | 18 τῶ + w | 18 τὸ W | 19 αὐτῷ + yz | 20 ποιησάμενος wxt, παρασχόμενος yz | 20 καὶ + yz | 20 ἁμαρτῶντα wt | 20 δὲ wxt, μὲν yz | 21 αὐτοῦ yzt | 22 δι' ὃν xyzt, διὸ w | 23 ἀπέστειλεν x | 25 οὖν > w | 25 καὶ νῦν > yz | 26 κάθιδε x, ἔπιδε yz | 27 τε x

αὐτῷ συσταυρωθῆναι καὶ συναποθανεῖν καὶ συνταφῆναι
καὶ συναναστῆναι εἰς υἱοθεσίαν τὴν ἐν αὐτῷ, τῷ νεκρωθῆ-
ναι μὲν τῇ ἁμαρτίᾳ, ζῆσαι δὲ τῇ δικαιοσύνῃ. καὶ μετὰ
τοῦτο βαπτίσας αὐτὸν ἐν τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, χρισάτω μύρῳ ἐπιλέγων
44 | Κύριε ὁ θεὸς ὁ ἀγέννητος καὶ ἀδέσποτος, ὁ τῶν ὅλων κύ-
ριος, ὁ τὴν ὀσμὴν τῆς γνώσεως τοῦ εὐαγγελίου ἐν πᾶσι
τοῖς ἔθνεσιν εὔοσμον παρασχόμενος, σὺ καὶ νῦν τοῦτο τὸ
μύρον δὸς ἐνεργὲς γενέσθαι ἐπὶ τῷ βαπτιζομένῳ, ὥστε βέ-
βαιον καὶ πάγιον ἐν αὐτῷ τὴν εὐωδίαν μεῖναι τοῦ χριστοῦ
σου, καὶ συναποθανόντα αὐτὸν συναναστῆναι καὶ συζῆσαι
αὐτῷ. ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα λεγέτω· ἑκάστου
γὰρ ἡ δύναμις τῆς χειροθεσίας ἐστὶν αὕτη. ἐὰν γὰρ μὴ
εἰς ἕκαστον τούτων ἐπίκλησις γένηται ὑπὸ τοῦ εὐσεβοῦς
ἱερέως τοιαύτη τις, εἰς ὕδωρ μόνον καταβαίνει ὁ βαπτιζό-
μενος ὡς οἱ Ἰουδαῖοι, καὶ ἀποτίθεται μόνον τὸν ῥύπον τοῦ
σώματος, οὐ τὸν ῥύπον τῆς ψυχῆς. μετὰ τοῦτο ἑστὼς προ-
σευχέσθω τὴν εὐχήν, ἣν ἐδίδαξεν ἡμᾶς ὁ κύριος. ἀναγκαίως
δὲ τὸν ἀναστάντα δεῖ ἑστάναι καὶ προσεύχεσθαι διὰ τὸ τὸν
ἐγειρόμενον ὄρθιον εἶναι· καὶ αὐτὸς οὖν συναποθανὼν τῷ
χριστῷ καὶ συνεγερθεὶς ἕστηκεν. προσευχέσθω δὲ κατὰ
ἀνατολάς· καὶ γὰρ * καὶ τοῦτο γέγραπται ἐν τῇ δευτέρᾳ τῶν
παραλειπομένων, ὅτι μετὰ τὸ συντελεσθῆναι τὸν ναὸν τοῦ
κυρίου ὑπὸ τοῦ βασιλέως Σολομῶνος ἐν αὐτῷ τῷ ἐγκαι-
νισμῷ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ψαλτῳδοὶ μετὰ κυμ-
βάλων καὶ ψαλτηρίων εἱστήκεισαν κατὰ ἀνατολάς, αἰνοῦν-
τες καὶ ἐξομολογούμενοι καὶ λέγοντες Αἰνεῖτε τὸν κύριον
45 ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. | προσευχέ-
σθω δὲ ταῦτα μετὰ τὴν προτέραν εὐχὴν λέγων Ὁ θεὸς ὁ

25 Paral β 5, 12. 13

2 τῷ] τὸ w | 4 τοῦτο] τοῦ z | 5 χρησάτω w, χρίσει τῷ yz | 6 ἐν ἄλλω ἀγένητος margo t | 6 ὁ tertium xyzt, καὶ w | 7 πᾶσιν x | 8 ἔθνεσι W | 8 παρεχόμενος w | 9. 10 βεβαίαν yzt | 10 καὶ πάγιον > w | 10 εὐοδίαν w | 10 τοῦ ... 11 συναναστῆναι > w | 14 ὑπὸ wx, παρὰ yzt | 16 οἱ > wyzt | 18 ἀναγκαῖον w | 19 δὲ > Wx | 19 τὸ > yz | 20 ὄρθριον z | 21 ἔστικεν w, στηκέτω yzt | 21 δὲ xyzt, οὖν w | 22 rasura sub qua καὶ γὰρ repetitum fuisse videtur w | 24 σολόμονος x | 26 ἑστήκεισαν x? εἱστήκησαν z

παντοκράτωρ, ὁ πατὴρ τοῦ χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ σου, δός μοι σῶμα ἄσπιλον, καρδίαν καθαράν, νοῦν ἐγρήγορον, γνῶσιν ἀπλανῆ, πνεύματος ἁγίου ἐπιφοίτησιν πρὸς κτῆσιν καὶ πληροφορίαν τῆς ἀληθείας διὰ τοῦ χριστοῦ σου, μεθ' οὗ σοι δόξα σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. ταῦτα καὶ περὶ τῶν κατηχουμένων δίκαιον ἡγησάμεθα διατάξασθαι. | περὶ δὲ τῶν ὑφ' ἡμῶν χειροτονηθέν- 46
των ἐπισκόπων ἐν τῇ ζωῇ τῇ ἡμετέρᾳ γνωρίζομεν ὑμῖν ὅτι εἰσὶν οὗτοι· Ἱεροσολύμων μὲν Ἰάκωβος ὁ τοῦ κυρίου ἀδελφός, οὗ τελευτήσαντος δεύτερος Συμεὼν ὁ τοῦ Κλεόπα, μεθ' ὃν τρίτος Ἰούδας Ἰακώβου· Καισαρείας δὲ τῆς Παλαιστίνης πρότερον μὲν Ζακχαῖος ὅ ποτε τελώνης, μεθ' ὃν Κορνήλιος καὶ τρίτος Θεόφιλος· Ἀντιοχείας δὲ Εὐόδιος μὲν ὑπ' ἐμοῦ Πέτρου, Ἰγνάτιος δὲ ὑπὸ Παύλου· τῆς δὲ Ἀλεξανδρέων Ἀννιανὸς πρῶτος ὑπὸ Μάρκου τοῦ εὐαγγελιστοῦ κεχειροτόνηται, δεύτερος δὲ Ἀβίλιος ὑπὸ Λουκᾶ * καὶ αὐτοῦ εὐαγγελιστοῦ· τῆς δὲ Ῥωμαίων ἐκκλησίας Λῖνος μὲν ὁ Κλαυδίας πρῶτος ὑπὸ Παύλου, καὶ Κλήμης δὲ μετὰ τὸν Λίνου θάνατον ὑπ' ἐμοῦ Πέτρου δεύτερος κεχειροτόνηται· τῆς δὲ Ἐφέσου Τιμόθεος * ὑπὸ Παύλου, Ἰωάννης δὲ ὑπ' ἐμοῦ Ἰωάννου· Σμύρνης δὲ Ἀρίστων πρῶτος, μεθ' ὃν Στραταίας ὁ Λώιδος καὶ τρίτος Ἀρίστων· Περγάμου δὲ Γάιος καὶ Φιλαδελφείας Δημήτριος ὑπ' ἐμοῦ *, ὑπὸ δὲ Παύλου Λούκιος Κεγχρεῶν καὶ τῆς Κρήτης Τίτος, Διονύσιος δὲ ἐν Ἀθήναις, τῆς δὲ ἐν Φοινίκῃ Τριπόλεως Μαρθόνης, τῆς δὲ ἐν Φρυγίᾳ Λαοδικείας Ἄρχιππος, Κολασσαέων δὲ Φιλήμων, Βεροίας δὲ τῆς κατὰ Μακεδονίαν Ὀνήσιμος ὁ Φιλήμονος,

1 παντοκράτορ wZ | 3 ἐγρήγορον w, ἐγρήγορα x, γρήγορον yzt | 3 ἀπλανῆι w | 5 μεθ' wx, δι' yzt | 5 συν wx, ἐν yzt | 9. 10 ἀδελφου w | 10 κλοπᾶ w, κλωπᾶ xz, κλωπὰ y | 12 πρότερος xyz | 13 εὐώδιος wx | 13 Εὐόδιος ... 14 ὑπὸ > z | 13 μὲν > w | 15 ἀνιανὸς wx | 15 ἀπὸ t | 15. 16 κεχειροτόνηται > w | 16 δεύτερος ... 17 εὐαγγελιστοῦ > w | 16 Ἀβίλλιος t. | 16 ὄντος + yz | 17 ῥωμαῖον w | 17 λῖνου w | 18 πρῶτον w | 18 καὶ > yzt | 19 χειροτονεῖται y, χειροτονεῖτε z | 20 μὲν + yzt ⌈ 21 στρατέας wyz | 23 φιλαδελφίας wx | 23 πέτρου + yz | 23 ὑπὸ > w | 24 κεχρέων w, κεχρεῶν z | 24 κρίτης wz | 24 δὲ > x | 25 τριπόλεος z | 25 μαρθώνης w, μαροώνις yz, Μαραθόνης t | 26 λαοδικίας x | 27 φιλήμονος wxZt [Φ t], φιλήμωνος yz

*Κρήσκης δὲ τῶν κατὰ Γαλατίαν ἐκκλησιῶν, Ἀκύλας δὲ καὶ
Νικήτης τῶν κατὰ Ἀσίαν παροικιῶν, Κρίσπος δὲ τῆς κατὰ
Αἴγιναν ἐκκλησίας. οὗτοι * ὑφ' ἡμῶν ἐμπιστευθέντες τὰς
ἐν κυρίῳ παροικίας, ὧν τῆς διδασκαλίας μνημονεύοντες
πάντοτε παραφυλάσσεσθε τοὺς ἡμετέρους λόγους· καὶ εἴη
ὁ κύριος μεθ' ὑμῶν νῦν τε καὶ εἰς τοὺς ἀτελευτήτους χρό-
νους, ὡς αὐτὸς εἴρηκεν ἡμῖν μέλλων ἀναλαμβάνεσθαι πρὸς
τὸν ἑαυτοῦ θεὸν καὶ πατέρα· Ἰδοὺ γάρ, φησίν, ἐγὼ μεθ'
ὑμῶν * εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος·*
47 *ἀμήν.* | *δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀν-
θρώποις εὐδοκία. αἰνοῦμέν σε, ὑμνοῦμέν σε, εὐλογοῦμέν
σε, εὐχαριστοῦμέν σοι, δοξολογοῦμέν σε, προσκυνοῦμέν σε
διὰ τοῦ μεγάλου ἀρχιερέως, σὲ τὸν ὄντα θεὸν ἀγέννητον
ἕνα ἀπρόσιτον μόνον διὰ τὴν μεγάλην σου δόξαν, κύριε
βασιλεῦ ἐπουράνιε θεὲ πατὴρ παντοκράτωρ, κύριε υἱὲ
μονογενῆ Ἰησοῦ χριστέ, καὶ ἅγιον πνεῦμα. κύριε ὁ θεὸς ὁ
ἀμνὸς τοῦ θεοῦ, ὁ υἱὸς τοῦ πατρός, ὁ αἴρων τὰς ἁμαρτίας
τοῦ κόσμου, ἐλέησον ἡμᾶς· ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κό-
σμου, πρόσδεξαι τὴν δέησιν ἡμῶν· ὁ καθήμενος ἐν δεξιᾷ
τοῦ πατρός, ἐλέησον ἡμᾶς· ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ
μόνος κύριος Ἰησοῦς χριστὸς * εἰς δόξαν θεοῦ πατρός· ἀμήν.*
48 | *αἰνεῖτε, παῖδες, κύριον, αἰνεῖτε τὸ ὄνομα * κυρίου. αἰνοῦ-
μέν σε, ὑμνοῦμέν σε, εὐλογοῦμέν σε διὰ τὴν μεγάλην σου
δόξαν, κύριε βασιλεῦ ὁ πατὴρ τοῦ χριστοῦ τοῦ ἀμώμου
ἀμνοῦ, ὃς αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου· σοὶ πρέπει αἶ-*

8 Matth 28, 20 | 10 Luc 2, 14 | 17 Ioh 1, 29 | 22 Psalm 113, 1 | 25 Ioh 1, 29 | 25 Psalm 65, 2

1 *κρίσκης* yz | 2 *κρήσπος* w, *κρῆσπος* x | 3 *αἴγραν* x | 3 *οἱ* + yzt | 3 *ἐνπιστευθέντες* w | 4 *ὧν* > w | 5 *παραφυλάσσεσθαι* w | 6 *τοὺς* > xyz | 8 *πατέρα καὶ θεόν* w | 8 *φησι* w | 8 *ἐγὼ* > w | 9 *ἐγώ* + w | 10 *δόξα* ... VIII 15 fin > w | 10 *προσευχὴ ἑωθινή* inscr xy [*ἑ* y] | 12 *εὐχαριστοῦμέν σοι* > t | 12 *σε* tertium > yz | 15 *πάτερ παντοκράτορ* yt | 15 *υἱὲ* ... 17 *ἁμαρτίας* x, *ὁ θεὸς ὁ πατὴρ τοῦ χριστοῦ τοῦ ἀμώμου ἀμνοῦ ὃς αἴρει τὴν ἁμαρτίαν* yt | 18 *ἐλέησον* ... *κόσμου* > yt | 19 *ἐν* ... 20 *ἡμᾶς* x, *ἐπὶ τῶν χερουβεὶμ* yt [*χερουβὶμ* t] | 20 *εἶ* utrumque > yt | 21 *τοῦ θεοῦ πάσης γεννητῆς φύσεως τοῦ βασιλέως ἡμῶν* + yt [*γενητῆς* t] | 21 *εἰς* ... *ἀμήν* x, *δι' οὗ σοι δόξα τιμὴ καὶ σέβας* yt | 22 *ἑσπερινός* inscr x, *ἑσπερινὸς ὕμνος* inscr y | 22 *αὐτοῦ* + Y

νος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει τῷ πατρὶ καὶ τῷ
υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων·
ἀμήν. νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ
ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σω-
τήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,
φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.
| εὐλογητὸς εἶ, κύριε ὁ τρέφων με ἐκ νεότητός μου, ὁ δι- 49
δοὺς τροφὴν πάσῃ σαρκί· πλήρωσον χαρᾶς καὶ εὐφροσύνης
τὰς καρδίας ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες
περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν ἐν χριστῷ Ἰησοῦ τῷ
κυρίῳ ἡμῶν, μεθ' οὗ σοι δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς
αἰῶνας· ἀμήν.

# Η

Τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ τὸ μέγα τῆς εὐσεβείας ἡμῖν παραδιδόντος μυστήριον καὶ προσκαλουμένου Ἰουδαίους τε καὶ Ἕλληνας εἰς ἐπίγνωσιν τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ θεοῦ *, καθώς αὐτός που φησὶν εὐχαριστῶν ἐπὶ τῇ σωτηρίᾳ τῶν πιστευσάντων Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, τὸ ἔργον * ὃ δέδωκάς μοι ἐτελείωσα, καὶ περὶ ἡμῶν * λέγοντος τῷ πατρὶ Πάτερ ἅγιε, εἰ καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἀλλ' ἐγώ σε ἔγνων καὶ οὗτοί σε ἔγνωσαν *, εἰκότως ὡς ἂν τετελειωμένων ἡμῶν φησὶ πᾶσιν ἅμα περὶ τῶν ἐξ αὐτοῦ διὰ τοῦ πνεύματος διδομένων χαρισμάτων * Σημεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα

3 Luc 2, 29—32 | 7 Iob 31, 18 | 9 Cor β 9, 8 | 17 Ioh 17, 6. 4 | 19 Ioh 17, 25 | 23 Marc 16, 17. 18

1 πρέπει δόξα y | 1 πατρὶ ... 2 πνεύματι x, θεῷ καὶ πατρὶ διὰ τοῦ υἱοῦ ἐν πνεύματι τῷ παναγίῳ yt [semper ω = ῳ t] | 7 ἐπάρίστω inscr x, εὐχὴ λεγομένη ἐπὶ ἀρίστω inscr y | 9 ὑμῶν t | 10 περισσεύομεν yt | 10 ἀγαθῶν X | 11 μεθ' x, δι' yt | 16 πατρὸς αὐτοῦ + t | 18 ἐτελείωσα + y | 18 ἔδωκάς t | 19 ἐτελείωσα > y | 19 πάλιν + y | 19 τῷ πατρὶ xt, πρὸς τὸν πατέρα y | 20 ἅγιε xt, δίκαιε y | 20 εἰ > y | 20 ἀλλ' ἐγὼ xt, ἐγὼ δέ y | 21 σε > y | 21 ὅτι σύ με ἀπέστειλας + y | 22 φησὶν x, > y | 22 πᾶσιν ἅμα xt, καὶ y | 23 διέξεισι λέγων + y | 23 πιστεύσασι y

παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσιν καιναῖς, ὄφεις ἀροῦσι, κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει, ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι καὶ καλῶς ἕξουσι· τούτων τῶν χαρισμάτων πρότερον μὲν ἡμῖν δοθέντων τοῖς ἀποστόλοις μέλλουσι τὸ εὐαγγέλιον καταγγέλλειν πάσῃ τῇ κτίσει, ἔπειτα δὲ τοῖς δι' ἡμῶν πιστεύσασιν ἀναγκαίως χορηγουμένων, * οὐκ εἰς τὴν τῶν ἐνεργούντων ὠφέλειαν, ἀλλ' εἰς τὴν τῶν ἀπίστων συγκατάθεσιν, ἵν' οὓς οὐκ ἔπεισεν ὁ λόγος, τούτους ἡ τῶν σημείων δυσωπήσῃ δύναμις. τὰ γὰρ σημεῖα οὐ τοῖς πιστοῖς ἡμῖν, ἀλλὰ τοῖς ἀπίστοις Ἰουδαίων τε καὶ Ἑλλήνων· οὔτε γὰρ τὸ δαίμονας ἐκβάλλειν ἡμέτερον κέρδος, ἀλλὰ τῶν ἐνεργείᾳ χριστοῦ καθαιρομένων, καθὼς αὐτός που παιδεύων ἡμᾶς ὁ κύριος δείκνυσι λέγων Μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν ὑπακούουσιν, ἀλλὰ χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τῷ οὐρανῷ· ἐπειδὴ τὸ μὲν αὐτοῦ δυνάμει γίνεται, τὸ δὲ ἡμετέρᾳ εὐνοίᾳ καὶ σπουδῇ, δῆλον ὅτι βοηθουμένοις ὑπ' αὐτοῦ. οὐκ ἐπάναγκες οὖν πάντα πιστὸν δαίμονας ἐκβάλλειν ἢ νεκροὺς ἀνιστᾶν ἢ γλώσσαις λαλεῖν, ἀλλὰ τὸν ἀξιωθέντα χαρίσματος ἐπὶ τινὶ αἰτίᾳ χρησίμῃ εἰς σωτηρίαν τῶν ἀπίστων, δυσωπουμένων πολλάκις οὐ τὴν τῶν λόγων ἀπόδειξιν, ἀλλὰ τὴν τῶν σημείων ἐνέργειαν, * ἀξίων ὄντων σωτηρίας. οὐδὲ γὰρ πάντες οἱ ἀσεβεῖς ὑπὸ τῶν θαυμάτων ἐντρέπονται· καὶ τούτου μάρτυς αὐτὸς ὁ θεός, ὡς ὅταν λέγῃ ἐν τῷ νόμῳ ὅτι Ἐν ἑτερογλώσσοις λαλήσω τῷ λαῷ τούτῳ καὶ ἐν χείλεσιν ἑτέροις, καὶ οὐ μὴ πιστεύσωσιν. οὔτε γὰρ οἱ Αἰγύπτιοι ἐπίστευσαν τῷ θεῷ, Μωσέως τοσαῦτα σημεῖα καὶ τέρατα πεποιηκότος, οὔτε τὸ

14 Luc 10, 20 | 25 Isaj 28, 11 = Cor α 14, 21

1 ἐκβαλοῦσιν x | 2 λαλήσουσι y | 2 καιναῖς λαλήσουσιν t | 2 ἀροῦσιν x | 3 βλάψῃ xy | 4 ἐπιθήσουσιν x | 4 ἕξουσιν x | 4 τούτων ... χαρισμάτων xt, ταῦτα δὲ τὰ χαρίσματα y | 5 ἐδόθη y | 6 κτίσῃ X | 6 δὲ > xy | 7 τοῦ θεοῦ τὴν τούτων χορηγίαν οἰκονομήσαντος + y | 8 τῶν alterum > t | 9 ἵνα t | 13 χριστοῦ xy, κυρίου t | 14. 15 $\overline{\pi\nu\alpha}$ = πνεῦμα x, δαιμόνια y | 15 ὑποτάσσεται y | 17 γίγνεται y | 21 τῇ et 22 ἀποδείξει t | 22 τῇ et ἐνεργείᾳ t | 22 καὶ τούτων οὐ πάντων ἀλλὰ τῶν + y | 25 λέγει x | 26. 27 πιστεύσουσιν y | 28 Μωϋσέως t | 28 p 232, 1 τὰ πλήθη t

πλῆθος τῶν Ἰουδαίων τῷ ὡς Μωσεῖ χριστῷ, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν αὐτοῖς θεραπεύσαντι· καὶ οὔτε ἐκείνους ἐδυσώπησε ῥάβδος ψυχουμένη εἰς ὄφιν καὶ χεὶρ λευκαινομένη καὶ Νεῖλος αἱματούμενος, οὔτε τούτους τυφλοὶ ἀναβλέποντες καὶ χωλοὶ περιπατοῦντες καὶ νεκροὶ ἐγειρόμενοι· * καὶ τῷ μὲν ἀνθίστατο Ἰαννὴς καὶ Ἰαμβρής, τῷ δὲ Ἄννας καὶ Καϊάφας. οὕτως οὐ πάντας δυσωπεῖ τὰ σημεῖα, ἀλλὰ μόνους τοὺς εὐγνώμονας· ὧν καὶ χάριν εὐδοκεῖ ὁ θεὸς ἐπιτελεῖσθαι δυνάμεις ὡς σοφὸς οἰκονόμος, οὐ τῇ τῶν ἀνθρώπων ἰσχύι, ἀλλὰ τῇ ἑαυτοῦ βουλήσει. ταῦτα δέ φαμεν ἐπὶ τῷ μὴ ἐπαίρεσθαι τοὺς λαβόντας χαρίσματα τοιάδε κατὰ τῶν μὴ λαβόντων· χαρίσματα δὲ λέγομεν τὰ διὰ * σημείων, ἐπεὶ οὐκ ἔστιν ἄνθρωπος πιστεύσας διὰ χριστοῦ εἰς τὸν θεόν, ὃς οὐκ εἴληφε χάρισμα πνευματικόν· αὐτό τε γὰρ τὸ ἀπαλλαγῆναι πολυθέου ἀσεβείας καὶ πιστεῦσαι θεῷ πατρὶ διὰ χριστοῦ χάρισμά ἐστι θεοῦ, τό τε ἀπορρίψαι τὸ ἰουδαϊκὸν κάλυμμα καὶ πιστεῦσαι ὅτι εὐδοκίᾳ θεοῦ ὁ πρὸ αἰώνων μονογενὴς ἐν ὑστέρῳ καιρῷ ἐκ παρθένου γεγέννηται δίχα ὁμιλίας ἀνδρὸς καὶ ὅτι ἐπολιτεύσατο ὡς ἄνθρωπος ἄνευ ἁμαρτίας, πληρώσας πᾶσαν δικαιοσύνην τὴν τοῦ νόμου, καὶ ὅτι συγχωρήσει θεοῦ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας ὁ θεὸς λόγος καὶ ὅτι ἀπέθανε καὶ ἐτάφη καὶ ἀνέστη διὰ τριῶν ἡμερῶν καὶ μετὰ τὴν ἀνάστασιν τεσσαράκοντα ἡμέρας παραμείνας τοῖς ἀποστόλοις καὶ πληρώσας πᾶσαν * διάταξιν ἀνελήφθη * πρὸς τὸν ἀποστείλαντα αὐτὸν θεὸν καὶ πατέρα ἐπ' ὄψεσιν αὐτῶν. ὁ ταῦτα πιστεύσας οὐχ ἁπλῶς οὐδ' ἀλόγως, ἀλλὰ κρίσει καὶ πληροφορίᾳ, χάρισμα εἴληφεν ἐκ θεοῦ, ὡσαύτως δὲ καὶ ὁ πάσης αἱρέσεως ἀπαλλαγείς. μὴ οὖν τις τῶν

1 Matth 4, 23 | 4 Matth 11, 5 | 14 Rom 1, 11 | 17 Cor β 3, 13 | 20 Matth 3, 15 | 25 Act 1, 9

1 μωσῆ y, Μωυσεῖ t | 2 καὶ alterum xt, οὕτως y | 3 ἐδυσώπησεν x | 3 ἐμψυχουμένη t | 6 ἐγειρόμενοι x, ἀνιστάμενοι yt | 6 μᾶλλον δὲ ἀπὸ τούτων καὶ ἐφθόνουν + y | 6 ἀνθίσταντο t | 6 ἰαννὶς καὶ ἰαμβρὶς y | 7 οὕτως xt, ὁρᾷς πῶς y | 11 τῶ x, τῷ y, τὸ t | 13 τῶν + yt | 13 ἀνθρώποις y | 14 εἴληφεν x, ἤλειφε y | 16 ἐστιν x | 18 ἐν ἐσχάτοις καιροῖς y | 23 ἀπέθανεν x | 25 τὴν πατρικὴν + y | 25 ἐπ' ὄψεσιν αὐτῶν + yt | 26. 27 ἐπ' ὄψεσιν αὐτῶν > yt | 27 τοῦτο y | 27 οὐδὲ t

ποιούντων σημεῖα καὶ τέρατα κρινέτω τινὰ τῶν πιστῶν μὴ ἀξιωθέντα ἐνεργεῖν· διάφορα γάρ ἐστι τὰ τοῦ θεοῦ χαρίσματα, * παρ' αὐτοῦ διὰ χριστοῦ διδόμενα, καὶ σὺ μὲν εἴληφας τοῦτο, ἐκεῖνος δὲ ἄλλο τι· ἢ γὰρ λόγον σοφίας ἢ γνώσεως ἢ διακρίσεως πνευμάτων ἢ πρόγνωσιν τῶν μελλόντων ἢ λόγον διδακτικὸν ἢ ἀνεξικακίαν ἢ ἐγκράτειαν ἔννομον. καὶ γὰρ * Μωϋσῆς, ὁ τοῦ θεοῦ ἄνθρωπος, ἐν Αἰγύπτῳ ἐπιτελῶν τὰ σημεῖα, οὐ κατεπήρθη τῶν ὁμοφύλων καὶ θεὸς κληθεὶς οὐκ ἠλαζονεύσατο κατὰ τοῦ ἰδίου προφήτου Ἀαρών. ἀλλ' οὔτε ὁ τοῦ Ναυῆ Ἰησοῦς, ἡγησάμενος μετ' αὐτὸν τοῦ λαοῦ κἂν τῷ πρὸς τοὺς Ἰεβουσαίους πολέμῳ στήσας τὸν ἥλιον κατὰ Γαβαὼν καὶ τὴν σελήνην κατὰ φάραγγα Αἰλὼν διὰ τὸ μὴ ἀνταρκεῖν πρὸς τὴν νίκην τὴν ἡμέραν, ἐπήρθη κατὰ τοῦ Φινεὲς ἢ τοῦ Χαλέβ. οὔτε Σαμουὴλ τοσαῦτα παράδοξα ποιήσας παρ' οὐδὲν ἡγήσατο τὸν θεοφιλῆ Δαβίδ, καίτοι ἀμφότεροι προφῆται καὶ ὁ μὲν ἀρχιερεύς, ὁ δὲ βασιλεύς. καὶ ἑπτὰ * χιλιάδων ὑπαρχουσῶν ἐν Ἰσραὴλ ἁγίων τῶν μὴ καμψάντων γόνυ τῇ Βάαλ μόνος Ἡλίας ἐν αὐτοῖς καὶ ὁ τούτου μαθητὴς Ἐλισσαῖος θαυματοποιοὶ γεγένηνται, ἀλλ' οὔτε Ἡλίας τὸν οἰκονόμον Ἀβδιοὺ ἐξεμυκτήρισε, φοβούμενον μὲν τὸν θεόν, οὐ ποιοῦντα δὲ σημεῖα, οὔτε Ἐλισσαῖος τὸν ἑαυτοῦ μαθητὴν φρίττοντα τοὺς πολεμίους ὑπερεῖδεν. ἀλλὰ γὰρ οὔτε Δανιὴλ ὁ σοφὸς ῥυσθεὶς δεύτερον ἐκ στόματος λεόντων οὔτε οἱ τρεῖς παῖδες ἐκ καμίνου * ἐξουδένωσαν τοὺς λοιποὺς τῶν ὁμοφύλων· ἠπίσταντο γὰρ ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει περιεγένοντο τῶν δεινῶν, ἀλλὰ τῇ τοῦ θεοῦ ἰσχύι καὶ σημεῖα ἐπετέλουν καὶ τῶν δυσχερῶν ἀπηλλάττοντο. οὐκοῦν μηδεὶς ὑμῶν ἐπαιρέσθω κατὰ τοῦ ἀδελφοῦ, κἂν προφήτης ᾖ κἂν θαυματοποιός. εἰ γὰρ δοθῇ μηκέτι εἶναί που ἄπιστον, περιττὴ λοιπὸν ἔσται πᾶσα σημείων ἐνέργεια. τὸ μὲν γὰρ εἶναι εὐσεβῆ ἐκ τῆς τοῦ τινος εὐ-

7 Deut 33, 1 | 12 Iosue 10, 12 | 17 Reg γ 19, 18

2 ἐστιν x | 3 τὰ + y | 4 τι > y | 5 πρόγνωσι X | 7 καὶ + yt | 7 μωσῆς y | 11 τοὺς > yt | 12 αἰλὼμ y | 13 ἀνταρκεῖν yt | 17 δὲ + y | 20 ἐξεμυκτήρισεν x | 20 μὲν > x | 22 πολέμους y | 22 ὑπερίδεν x | 24 πυρὸς + yt | 26 περιεγείνοντο X, περιέγίνοντο y | 29. 30 μηκέτ' y

νοίας *, τὸ δὲ θαυματοποιεῖν ἐκ τῆς τοῦ ἐνεργοῦντος δυνάμεως, ὧν τὸ μὲν πρῶτον * ἡμᾶς αὐτοὺς ὁρᾷ, τὸ δὲ δεύτερον * θεὸν τὸν ἐνεργοῦντα, δι' ἃς προεῖπον αἰτίας. οὐκοῦν μήτε βασιλεὺς ἐξουθενείτω τοὺς ὑπ' αὐτὸν στρατηγοὺς μήτε ἄρχοντες τοὺς ὑπηκόους. μὴ ὄντων γὰρ τῶν ἀρχομένων περιττοὶ οἱ ἄρχοντες καὶ μὴ ὄντων στρατηγῶν οὐ στήσεται βασιλεία. ἀλλὰ μηδὲ ἐπίσκοπος ἐπαιρέσθω κατὰ τῶν διακόνων ἢ τῶν πρεσβυτέρων μήτε μὴν οἱ πρεσβύτεροι κατὰ τοῦ λαοῦ· ἐξ ἀλλήλων γάρ ἐστιν ἡ σύστασις τοῦ συναθροίσματος. ὅ τε γὰρ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι τίνων εἰσὶν ἱερεῖς; καὶ οἱ λαϊκοὶ τίνων εἰσὶ λαϊκοί; καὶ τὸ μὲν εἶναι χριστιανὸν ἐφ' ἡμῖν, τὸ δὲ ἀπόστολον ἢ ἐπίσκοπον ἢ ἄλλο τι οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ διδόντι τὰ χαρίσματα. ταῦτα μὲν οὖν * εἰρήσθω διὰ τοὺς ἀξιω-
θέντας χαρισμάτων ἢ ἀξιωμάτων, | ἐκεῖνο δὲ προστίθε- 2
μεν τῷ λόγῳ, ὅτι οὔτε πᾶς ὁ προφητεύων ὅσιος οὔτε πᾶς ὁ δαίμονας ἐλαύνων ἅγιος. καὶ γὰρ καὶ Βαλαάμ, ὁ τοῦ Βεώρ, ὁ μάντις, προεφήτευσε δυσσεβὴς ὤν, καὶ Καϊάφας ὁ ψευδώνυμος ἀρχιερεύς· πολλὰ δὲ καὶ ὁ διάβολος προλέγει καὶ οἱ ἀμφ' αὐτὸν δαίμονες καὶ οὐ παρὰ τοῦτο μέτεστιν αὐτοῖς εὐσεβείας σπινθήρ, ἀγνοίᾳ γάρ εἰσι πεπιεσμένοι δι' ἑκούσιον μοχθηρίαν. δῆλον οὖν ὅτι οἱ ἀσεβεῖς, κἂν προφητεύωσιν, οὐ καλύπτουσι διὰ τῆς προφητείας τὴν ἑαυτῶν δυσσέβειαν, οὐδὲ οἱ δαίμονας ἐλαύνοντες ἐκ τῆς τούτων ὑποχωρήσεως ὁσιωθήσονται· ἀλλήλους γὰρ ἀπατῶσι, καθάπερ οἱ τὰς παιδιὰς γέλωτος ἕνεκα ἐπιδεικνύμενοι, καὶ τοὺς προσανέχοντας αὐτοῖς ἀπολλύουσιν. οὔτε δὲ βασιλεὺς δυσσεβὴς * βασιλεὺς * ὑπάρχει, ἀλλὰ τύραννος, οὔτε ἐπίσκοπος ἀγνοίᾳ ἢ κακονοίᾳ πεπιεσμένος ἔτι ἐπίσκοπός ἐστιν, ἀλλὰ ψευδώνυμος, οὐ παρὰ θεοῦ, ἀλλὰ παρὰ ἀνθρώπων προβλη-

6 Matth 12, 25

1 γίνεται + y | 2 εἰς + y | 2 αὐτοὺς ὁρᾷ > y | 3 εἰς + y | 3 προείπομεν yt | 4 στραγοὺς X | 7 ἐπερέσθω x | 10 οἶτε γὰρ ἐπίσκοποι t | 11 εἰσὶν λαϊκοί x | 13 ἐπὶ τῶ διδόντι θεῶ τὰ yt [τῷ et θεῷ y] | 14 ἐπὶ τοσοῦτον + yt | 15 ἐκεῖνω X | 18 προεφήτευσεν xt | 20 μέτεστιν xy, μέν ἐστιν t | 21 εἰσιν x | 23 καλύπτουσιν x | 24 ἀσέβειαν t | 25 ἀπατῶσιν x | 28 ἔτι + t | 28 ἔτι + y | 29 ἀγνοίᾳ .... ἐπίσκοπος > t, supplevit iam P | 29 ἔτι > P

*θείς, ὡς Ἀνανίας καὶ Σαμαίας ἐν Ἱερουσαλήμ, καὶ Σεδεκίας καὶ Ἀχαΐας οἱ ἐν Βαβυλῶνι ψευδοπροφῆται. ἀλλὰ καὶ Βαλαὰμ ὁ μάντις τιμωρίαν ἔτισε διαφθείρας τὸν Ἰσραὴλ ἐν τῷ Βεελφεγώρ, καὶ Καΐάφας ὃς ὕστερον αὐτοφόντης ἑαυτοῦ γέγονεν, καὶ οἱ υἱοὶ Σκευᾶ ἐπιχειροῦντες δαίμονας ἐκβάλλειν ὑπ' αὐτῶν τραυματίαι γενόμενοι ἔφυγον ἀπρεπῶς, καὶ οἱ βασιλεῖς τοῦ Ἰσραὴλ καὶ *· Ἰούδα ἀσεβήσαντες παντοίας τιμωρίας ἔτισαν· δῆλον οὖν ὡς καὶ οἱ ψευδώνυμοι ἐπίσκοποι καὶ πρεσβύτεροι οὐκ ἐκφεύξονται τὴν παρὰ θεοῦ δίκην. ῥηθήσεται γὰρ αὐτοῖς καὶ νῦν Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντές μου τὸ ὄνομα, παραδώσω ὑμᾶς εἰς σφαγὴν ὡς Σεδεκίαν καὶ Ἀχαΐαν, οὓς ἀπετηγάνισε βασιλεὺς Βαβυλῶνος, ὥς φησιν Ἱερεμίας ὁ προφήτης. ταῦτα δέ φαμεν οὐ τὰς ἀληθεῖς προφητείας ἐξουθενοῦντες (ἴσμεν γὰρ αὐτὰς κατ' ἐπίπνοιαν θεοῦ ἐν τοῖς ὁσίοις ἐνεργεῖσθαι), ἀλλὰ τὸ θράσος τῶν ἀλαζονευομένων καταστέλλοντες καὶ προστιθέντες ἐκεῖνο ὅτι τῶν τοιούτων * θεὸς περιαιρεῖ τὴν χάριν· * ὑπερηφάνοις γὰρ ὁ θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Σίλας μὲν οὖν καὶ Ἄγαβος ἐφ' ἡμῶν προφητεύσαντες οὐ παρεξέτειναν ἑαυτοὺς τοῖς ἀποστόλοις οὐδ' ὑπερέβησαν τὰ ἑαυτῶν μέτρα, καίτοι θεοφιλεῖς ὄντες. προεφήτευσαν δὲ καὶ γυναῖκες, τὸ μὲν παλαιὸν Μαριὰμ ἡ Μωσέως καὶ Ἀαρὼν ἀδελφή, μετὰ δὲ ταύτην Δεββῶρα, καὶ μετὰ ταύτας Ὀλδὰ καὶ Ἰουδίθ, ἡ μὲν ἐπὶ Ἰωσίου, ἡ δὲ ἐπὶ Δαρείου· καὶ ἡ μήτηρ δὲ τοῦ κυρίου προεφήτευσε καὶ * Ἐλισαβὲτ ἡ συγγενὴς αὐτῆς καὶ Ἄννα, καὶ ἐφ' ἡμῶν αἱ Φιλίππου θυγατέρες· ἀλλ' οὐκ ἐπήρθησαν κατὰ τῶν ἀνδρῶν αὗται, ἀλλ' ἐφύλαξαν τὰ οἰκεῖα μέτρα. οὐκοῦν καὶ*

5 Act 19, 14 | 10 Malach 1, 6 | 13 Hierem 29, 22 | 18 Prov 3, 34 = Petr α 5, 5

1 *σαμέας* y | 2 *ἀχίας* y, *Ἀχίας* t | 3 *ἔτισεν* x | 3 *διαστρέψας* y | 4 *ὃς ... γέγονεν*] *αὐτόφονον τῆς ἑαυτοῦ γεγονώς* y | 4 *ὃς* > yt | 4 *αὐτοφονευτὴς* t | 4 *ἐγένετο* t | 5 *ἐκβάλλειν* x, *ἐλαύνειν* yt | 7 *τοῦ* + y | 11 *εἰς*] *εἰ* X | 12 *ἀχίαν* y, *Ἀχίαν* t | 12 *ἀπετηγάνισεν* x | 16. 17 *προστιθέντες* xt, *δεικνύντες* y | 17 *ἐκεῖνο* > y | 17 *ὁ* + y | 18 *κύριος* + y | 18 *ὁ θεὸς* xt, *φησιν* y | 18 *δίδωσιν* x | 20 *οὐδὲ* t | 22. 23 *Μωϋσέως* t | 23 *Δεββόρρα* t | 24 *Ιουδὴθ* t | 25 *προεφήτευσεν* x | 25 *ἡ* + t | 26 *συγγενὶς* x

*ἐν ὑμῖν κἂν ἀνήρ τις ᾖ κἂν γυνή, καὶ τύχῃ τοιαύτης τι-*
*νὸς χάριτος, ταπεινοφρονείτω, ἵν' ἐπ' αὐτῷ εὐδοκῇ ὁ θεός.*
*ἐπὶ τίνα γάρ, φησίν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν*
*καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; | τὰ μὲν οὖν* 3
*πρῶτα τοῦ λόγου ἐξεθέμεθα περὶ τῶν χαρισμάτων, ὅσαπερ*
*ὁ θεὸς κατ' ἰδίαν βούλησιν παρέσχεν ἀνθρώποις καὶ ὅπως*
*τῶν ψευδῆ ἐπιχειρούντων λέγειν ἢ ἀλλοτρίῳ πνεύματι κι-*
*νουμένων ἤλεγξε τὸν τρόπον καὶ ὅτι πονηροῖς πολλάκις*
*ἀπεχρήσατο ὁ θεὸς πρός τε προφητείαν καὶ τερατοποιίαν,*
*νῦν δὲ ἐπὶ τὸ κορυφαιότατον τῆς ἐκκλησιαστικῆς διατυ-*
*πώσεως ὁ λόγος ἡμᾶς ἐπείγει, * ὅπως καὶ ταύτην μαθόντες*
*παρ' ἡμῶν τὴν διάταξιν, οἱ ταχθέντες δι' ἡμῶν γνώμῃ χρι-*
*στοῦ ἐπίσκοποι, πάντα κατὰ τὰς παραδοθείσας ἡμῖν ἐντο-*
*λὰς ποιῆσθε, εἰδότες ὅτι ὁ ἡμῶν ἀκούων χριστοῦ ἀκούει,*
*ὁ δὲ χριστοῦ ἀκούων τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ ἀκούει,*
*ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. | ἅμα τοίνυν ὑπάρχοντες* 4
*ἡμεῖς οἱ δεκαδύο τοῦ κυρίου ἀπόστολοι τάσδε τὰς θείας*
*ὑμῖν ἐντελλόμεθα διατάξεις περὶ παντὸς ἐκκλησιαστικοῦ*
*τύπου, συμπαρόντων ἡμῖν καὶ τοῦ τῆς ἐκλογῆς σκεύους*
*Παύλου τοῦ συναποστόλου ἡμῶν καὶ Ἰακώβου τοῦ ἐπισκό-*
*που καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ τῶν ἑπτὰ διακόνων.*
*πρῶτος οὖν ἐγώ φημι Πέτρος * ἐπίσκοπον χειροτονεῖσθαι,*
*ὡς ἐν τοῖς προλαβοῦσιν ἅμα πάντες διεταξάμεθα, ἐν πᾶ-*
*σιν ἄμεμπτον, * ὑπὸ παντὸς τοῦ λαοῦ ἐκλεγόμενον· οὗ*
*ὀνομασθέντος καὶ ἀρέσαντος, συνελθὼν ὁ λαὸς ἅμα τῷ*
*πρεσβυτερίῳ καὶ τοῖς παροῦσιν ἐπισκόποις ἐν ἡμέρᾳ κυ-*
*ριακῇ *, ὁ * πρόκριτος τῶν λοιπῶν ἐρωτάτω τὸ πρεσβυ-*
*τέριον καὶ τὸν λαὸν εἰ αὐτός ἐστιν ὃν αἰτοῦνται εἰς ἄρ-*
*χοντα· καὶ ἐπινευσάντων, προσεπερωτάτω εἰ μαρτυρεῖται*

3 Isaj 66, 2 | 14 Luc 10, 16 | 19 Act 9, 15

1. 2 *χάριτός τινος* y | 2 *ἵνα* t | 8 *ἤλενξεν* x | 9 *ἀπεχαρίσατο* t, *ἐν ἄλλοις ἀπεχρήσατο* margo t | 10 *νυνὶ* yt [*ἰ* t] | 10 *τὸ*] *τῶ* x | 11 *ἡμᾶς ὁ λόγος* y | 11 *ἐπείγει* xt, *προςκαλεῖται* y | 11 *ἣν ὑμῖν καὶ διατάττομεν, καθὼς παρὰ τοῦ κυρίου παρελάβομεν* + y | 11. 12 *παρ' ἡμῶν μαθόντες* t | 14 *ποιεῖσθε* x, *ποιῆτε* y | 15 *αὐτοῦ καὶ πατρὸς* yt | 18 *ὑμῖν* xy, *ἡμῶν* t | 22 *ὅτι χρὴ* + y | 24 *ἀριστίνδην* + y, *ἀριστήνδην* + t | 24 *ἐκλελεγμένον* yt | 26 *πρεσβυτερείω* x | 27 *συνευδοκήτω* + t | 27 *δὲ* + t | 27. 28 *πρεσβυτερεῖον* x

ὑπὸ πάντων ἄξιος εἶναι τῆς μεγάλης τοῦ θεοῦ ταύτης καὶ λαμπρᾶς ἡγεμονίας, εἰ τὰ κατὰ τὴν εἰς θεὸν αὐτῷ εὐσέβειαν κατώρθωται, εἰ τὰ πρὸς ἀνθρώπους δίκαια πεφύλακται, εἰ τὰ κατὰ τὸν οἶκον αὐτοῦ καλῶς ᾠκονόμηται, εἰ τὰ κατὰ τὸν βίον ἀνεπιλήπτως· καὶ πάντων ἅμα κατὰ ἀλήθειαν, ἀλλ' οὐ κατὰ πρόληψιν μαρτυρησάντων τοιοῦτον αὐτὸν εἶναι, ὡς ἐπὶ δικαστῇ θεῷ καὶ χριστῷ, παρόντος δηλαδὴ καὶ τοῦ ἁγίου πνεύματος καὶ πάντων τῶν ἁγίων καὶ λειτουργικῶν πνευμάτων, ἐκ τρίτου πάλιν πυνθανέσθωσαν εἰ ἄξιός ἐστιν ἀληθῶς τῆς λειτουργίας, ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα· καὶ συνθεμένων αὐτῶν ἐκ τρίτου ἄξιον εἶναι, ἀπαιτείσθωσαν οἱ πάντες σύνθημα καὶ δόντες προθύμως ἀκουέσθωσαν. καὶ σιωπῆς γενομένης, εἷς τῶν πρώτων ἐπισκόπων ἅμα καὶ δυσὶν ἑτέροις πλησίον τοῦ θυσιαστηρίου ἑστώς, τῶν λοιπῶν ἐπισκόπων καὶ πρεσβυτέρων σιωπῇ προσευχομένων, τῶν δὲ διακόνων τὰ θεῖα εὐαγγέλια ἐπὶ τῆς τοῦ χειροτονουμένου κεφαλῆς
5 ἀνεπτυγμένα κατεχόντων, λεγέτω πρὸς θεὸν | Ὁ ὤν, δέσποτα κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἀγέννητος καὶ ἀβασίλευτος, ὁ ἀεὶ ὢν καὶ πρὸ τῶν αἰώνων ὑπάρχων, ὁ πάντῃ ἀνενδεὴς καὶ πάσης αἰτίας καὶ γενέσεως κρείττων, ὁ μόνος ἀληθινός, ὁ μόνος σοφός, ὁ ὢν μόνος ὕψιστος, ὁ τῇ φύσει ἀόρατος, οὗ ἡ γνῶσις ἄναρχος, ὁ μόνος ἀγαθὸς καὶ ἀσύγκριτος, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, ὁ τῶν κρυπτῶν γνώστης, ὁ ἀπρόσιτος, ὁ ἀδέσποτος, ὁ θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, ὁ δημιουργὸς τῶν ὅλων δι' αὐτοῦ, ὁ προνοητής, ὁ κηδεμών, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν· σὺ ὁ δοὺς ὅρους ἐκκλησίας διὰ τῆς ἐνσάρκου παρουσίας τοῦ χριστοῦ σου ὑπὸ μάρτυρι τῷ παρακλήτῳ διὰ τῶν σῶν ἀπο-

10 Matth 18, 16 | 28 Cor β 1, 3 | 29 Isaj 57, 15 | 29 Psalm 138, 6

1 τοῦ θεοῦ > yt | 2 λαμπρᾶς xt, φοβερᾶς y | 3 κατορθωται y | 5 τὰ ... ἀνεπιλήπτως xt, ἔστιν ἀνεπίληπτος y | 5 κατὰ alterum xt, κατ' y | 12 ἐκ τρίτου > y | 16 τε y | 20 καὶ ἀβασίλευτος > y | 20 ὑπάρχων > x | 21 παντὶ t | 21 κρείττων xt, ἀνώτερος y | 24 τὰ > yt | 29 σὺ > y

*στόλων καὶ ἡμῶν τῶν χάριτι σῇ παρεστώτων ἐπισκόπων, ὁ προορίσας ἐξ ἀρχῆς ἱερεῖς εἰς ἐπιστασίαν λαοῦ σου, Ἄβελ ἐν πρώτοις, Σὴθ καὶ Ἐνὼς καὶ Ἐνὼχ καὶ Νῶε καὶ Μελχισεδὲκ καὶ Ἰώβ, ὁ ἀναδείξας Ἀβραὰμ καὶ τοὺς λοιποὺς πατριάρχας σὺν τοῖς πιστοῖς σου θεράπουσιν Μωσεῖ καὶ Ἀαρὼν καὶ Ἐλεαζάρῳ καὶ Φινεές, ὁ ἐξ αὐτῶν προχειρισάμενος ἄρχοντας καὶ ἱερεῖς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ὁ τὸν Σαμουὴλ ἐκλεξάμενος εἰς ἱερέα καὶ προφήτην, ὁ τὸ ἁγίασμά σου ἀλειτούργητον μὴ ἐγκαταλιπών, ὁ εὐδοκήσας ἐν οἷς ᾑρετίσω δοξασθῆναι· αὐτὸς καὶ νῦν μεσιτείᾳ τοῦ χριστοῦ σου δι' ἡμῶν ἐπίχεε τὴν δύναμιν τοῦ ἡγεμονικοῦ σου πνεύματος, ὅπερ διακονεῖται τῷ ἠγαπημένῳ σου παιδὶ Ἰησοῦ χριστῷ, ὅπερ ἐδωρήσατο γνώμῃ σου τοῖς ἁγίοις ἀποστόλοις σου * τοῦ αἰωνίου θεοῦ. δὸς ἐν τῷ ὀνόματί σου, καρδιογνῶστα θεέ, ἐπὶ τὸν δοῦλόν σου τόνδε, ὃν ἐξελέξω εἰς ἐπίσκοπον ποιμαίνειν τὴν ἁγίαν σου ποίμνην καὶ ἀρχιερατεύειν σοι, ἀμέμπτως λειτουργοῦντα νυκτὸς καὶ ἡμέρας καὶ ἐξιλασκόμενόν σου τὸ πρόσωπον, ἐπισυναγαγεῖν τὸν ἀριθμὸν τῶν σωζομένων καὶ προσφέρειν σοι τὰ δῶρα τῆς ἁγίας σου ἐκκλησίας· δὸς αὐτῷ, δέσποτα παντοκράτωρ, διὰ τοῦ χριστοῦ σου τὴν μετουσίαν τοῦ ἁγίου πνεύματος, ὥστε ἔχειν ἐξουσίαν ἀφιέναι ἁμαρτίας κατὰ τὴν ἐντολήν σου, διδόναι κλήρους κατὰ τὸ πρόσταγμά σου, λύειν δὲ πάντα σύνδεσμον κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκας τοῖς ἀποστόλοις, εὐχαριστεῖν δέ σοι ἐν πραότητι καὶ καθαρᾷ καρδίᾳ, ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως προσφέροντά σοι καθαρὰν καὶ ἀναίμακτον * θυσίαν, ἣν διὰ χριστοῦ διετάξω, τὸ μυστήριον τῆς καινῆς διαθήκης, εἰς ὀσμὴν εὐωδίας διὰ τοῦ ἁγίου παιδός σου Ἰησοῦ χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος*

15 Act 1, 24 | 16 Ioh 21, 15 | 22 Ioh 20, 23 | 23 apocryphum | 23 Isaj 58, 6 | 24 Matth 18, 18 | 29 Act 4, 30

1 *παρεστηκότων* y | 2 *προωρίσας* y | 3 *καὶ* secundum et quartum > y | 5 *θεράπουσι* y, *θεθεράπουσιν* t | 5 *μωσῆ* y, *Μωΰσεῖ* t | 8. 9 *τῶ ἁγιάσμα τί σου* t | 9 *μὴ* > y | 9 *ἐγκαταλειπών* x, *καταλιπών* y | 10 *ᾑρετήσω* x | 11 *ἐπίχεαι* y | 13 *γνώμῃ σου* > y | 14 *γνώμῃ* + y | 15 *ἐπὶ … τόνδε* xt, *τῷ δούλῳ σου τῷδε* y | 20 *παντοκράτορ* yt | 21 *τοῦ* prius > x | 23 *δὲ* > y | 25 *εὐαρεστεῖν* yt | 25 *δέ* > y | 26 *ἀτρέπτως* xt, *ἀκαταγνώστως* y | 27 *τὴν* + y | 27 *διετάξατω* x

*ἡμῶν, μεθ' οὗ καὶ δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ
πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
καὶ ταῦτα ἐπευξαμένου, οἱ λοιποὶ ἱερεῖς ἐπιλεγέτωσαν * Ἀμήν,
καὶ σὺν αὐτοῖς ἅπας ὁ λαός. καὶ μετὰ τὴν προσευχὴν εἷς
τῶν ἐπισκόπων ἀναφερέτω τὴν θυσίαν ἐπὶ τῶν χειρῶν τοῦ
χειροτονηθέντος. καὶ τῇ ἕωθεν ἐνθρονιζέσθω εἰς τὸν αὐτῷ
διαφέροντα τόπον παρὰ τῶν λοιπῶν ἐπισκόπων, πάντων
αὐτὸν φιλησάντων τὸ ἐν κυρίῳ φίλημα. καὶ μετὰ τὴν ἀνά-
γνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν τῶν τε ἐπιστολῶν
ἡμῶν καὶ τῶν πράξεων καὶ τῶν εὐαγγελίων ἀσπασάσθω ὁ
χειροτονηθεὶς τὴν ἐκκλησίαν, λέγων Ἡ χάρις τοῦ κυρίου
ἡμῶν Ἰησοῦ χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ * καὶ ἡ
κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν· καὶ
πάντες ἀποκρινέσθωσαν Καὶ μετὰ τοῦ πνεύματός σου·
καὶ μετὰ τὴν πρόσρησιν προσλαλησάτω τῷ λαῷ λόγους πα-
ρακλήσεως. καὶ πληρώσαντος αὐτοῦ τὸν τῆς διδασκαλίας
λόγον, * φημὶ ἐγὼ Ἀνδρέας ὁ ἀδελφὸς Πέτρου, ἀναστάντων
ἁπάντων, ὁ διάκονος ἐφ' ὑψηλοῦ τινος ἀνελθὼν κηρυττέτω
Μήτις τῶν ἀκροωμένων, μήτις τῶν ἀπίστων· καὶ ἡσυ-*
6 *χίας γενομένης, λεγέτω | Εὔξασθε, οἱ κατηχούμενοι· καὶ πάν-
τες οἱ πιστοὶ κατὰ διάνοιαν ὑπὲρ αὐτῶν προσευχέσθωσαν
λέγοντες Κύριε ἐλέησον. διακονείτω δὲ ὑπὲρ αὐτῶν λέγων
Ὑπὲρ τῶν κατηχουμένων πάντες ἐκτενῶς τὸν θεὸν παρακα-
λέσωμεν, ἵνα ὁ ἀγαθὸς καὶ φιλάνθρωπος εὐμενῶς εἰσα-
κούσῃ τῶν δεήσεων αὐτῶν καὶ τῶν παρακλήσεων, καὶ προ-
σδεξάμενος αὐτῶν τὴν ἱκεσίαν ἀντιλάβηται αὐτῶν καὶ δῷ
αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ συμφέ-
ρον, ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τοῦ χριστοῦ αὐτοῦ,
φωτίσῃ αὐτοὺς καὶ συνετίσῃ, παιδεύσῃ αὐτοὺς τὴν θεογνω-
σίαν, διδάξῃ αὐτοὺς τὰ προστάγματα αὐτοῦ καὶ τὰ δικαιώ-*

11 Cor β 13, 13

1 *μεθ' οὗ καὶ* > yt | 2 *ἀμήν* > yt | 3 *τὸ* + y | 4 *εἷς* > x | 7 *τό-
πον*] *τὸντον* x | 8 *τῷ ἐν κ'' φιλήματι* t | 12 *καὶ* prius > t | 12 *καὶ
πατρὸς* + t | 17 *ἀπολυέσθω τῆς συνάξεως ὁ λαός: μετὰ τοῦτο δεύτε-
ρος* + y | 17 *ἐγώ φημι* y | 22 *ὑπὲρ αὐτῶν λέγων* > X | 23 *ἐκτενῶς*
> t | 24 *καὶ* > t | 28 *ἀποκαλύψει* x | 29 *φωτίσει α'' καὶ συνετίσει
παιδεύσει* x | 30 *διδάξει* x

ματα, ἐγκαταφυτεύσῃ ἐν αὐτοῖς τὸν ἁγνὸν αὐτοῦ καὶ σωτήριον φόβον, διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι ἡμέρας καὶ νυκτός· βεβαιώσῃ δὲ αὐτοὺς ἐν τῇ εὐσεβείᾳ, ἑνώσῃ καὶ ἐγκαταριθμήσῃ αὐτοὺς τῷ ἁγίῳ αὐτοῦ ποιμνίῳ καταξιώσας αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τῆς ὄντως ζωῆς, ῥύσηται δὲ αὐτοὺς ἀπὸ πάσης ἀσεβείας καὶ μὴ δῷ τόπον τῷ ἀλλοτρίῳ κατ' αὐτῶν, καθαρίσῃ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐνοικήσῃ τε ἐν αὐτοῖς καὶ ἐμπεριπατήσῃ διὰ τοῦ χριστοῦ αὐτοῦ, εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους καὶ κατευθύνῃ αὐτοῖς τὰ προκείμενα εἰς τὸ συμφέρον. ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν ἱκετεύσωμεν, ἵνα ἀφέσεως τυχόντες τῶν πλημμελημάτων διὰ τῆς μυήσεως ἀξιωθῶσι τῶν ἁγίων μυστηρίων καὶ τῆς μετὰ τῶν ἁγίων διαμονῆς. ἐγείρεσθε, οἱ κατηχούμενοι. τὴν εἰρήνην τοῦ θεοῦ διὰ τοῦ χριστοῦ αὐτοῦ αἰτήσασθε, εἰρηνικὴν τὴν ἡμέραν καὶ ἀναμάρτητον καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ὑμῶν, χριστιανὰ ὑμῶν τὰ τέλη, ἵλεω καὶ εὐμενῆ τὸν θεόν, ἄφεσιν πλημμελημάτων. ἑαυτοὺς τῷ μόνῳ ἀγεννήτῳ θεῷ διὰ τοῦ χριστοῦ αὐτοῦ παράθεσθε. κλίνατε καὶ εὐλογεῖσθε. ἐφ' ἑκάστῳ δὲ τούτων ὧν ὁ διάκονος προσφωνεῖ, ὡς προείπομεν, λεγέτω ὁ λαὸς Κύριε ἐλέησον, καὶ πρὸ πάντων τὰ παιδία. κλινόντων δὲ αὐτῶν τὰς κεφαλάς, εὐλογείτω αὐτοὺς ὁ χειροτονηθεὶς ἐπίσκοπος εὐλογίαν τοιάνδε Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ μόνος ἀληθινὸς θεός, ὁ θεὸς καὶ πατὴρ τοῦ χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ σου, ὁ * τοῦ παρακλήτου προβολεὺς καὶ τῶν ὅλων κύριος, ὁ διὰ χριστοῦ διδασκάλους τοὺς * μαθητὰς ἐπιστήσας πρὸς μάθησιν τῆς εὐσεβείας, αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ

6 Tit 3, 5 | 9 Cor β 7, 1 | 10 Cor β 6, 16 = Lev 26, 11. 12 | 11 Psalm 121, 8 | 12 Psalm 90, 17

1 ἐγκαταφυτεύσει x | 2 διανοίξει x | 2 ὦτα correct x, ὦ X | 4 βεβαιώσει x | 4 δὲ > y | 4 ἑνώσει καὶ ἐγκαταριθμήσει x | 5 καταξιώσῃ y | 7 δὲ > y | 8. 9 καθαρίσει x | 9 δὲ > y | 10 ἐνοικήσει x | 10 τε > y | 10 ἐμπεριπατήσει x | 11 εὐλογήσει x | 11 αὐτῶν > Y | 12 κατευθύνει x, κατευθυνεῖ y | 14. 15 ἀξιωθῶσιν x | 19 ἵλεων yt | 21 κλίνατε καὶ εὐλογεῖσθε > y | 22. 23 προείπαμεν y | 26 ἀγένvετος t | 28 θεὸς + yt | 28 προβολεὺς > yt | 29 αὐτοῦ + y

τοὺς δούλους σου τοὺς κατηχουμένους τὸ εὐαγγέλιον τοῦ χριστοῦ σου, καὶ δὸς αὐτοῖς καρδίαν καινὴν καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις αὐτῶν πρὸς τὸ εἰδέναι σε καὶ ποιεῖν τὸ θέλημά σου ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ. καταξίωσον αὐτοὺς τῆς ἁγίας μνήσεως καὶ ἕνωσον * τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ μετόχους ποίησον τῶν θείων μυστηρίων διὰ Ἰησοῦ χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος· δι' οὗ σοι δόξα καὶ τὸ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ μετὰ τοῦτο ὁ διάκονος λεγέτω Προέλθετε, οἱ κατηχούμενοι, ἐν εἰρήνῃ. καὶ μετὰ τὸ ἐξελθεῖν αὐτοὺς λεγέτω Εὔξασθε, οἱ ἐνεργούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων. ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν δεηθῶμεν, ὅπως ὁ φιλάνθρωπος θεὸς διὰ χριστοῦ ἐπιτιμήσῃ τοῖς ἀκαθάρτοις καὶ πονηροῖς πνεύμασι καὶ ῥύσηται τοὺς αὐτοῦ ἱκέτας ἀπὸ τῆς τοῦ ἀλλοτρίου καταδυναστείας· ὁ ἐπιτιμήσας τῷ λεγεῶνι τῶν δαιμόνων καὶ τῷ ἀρχεκάκῳ διαβόλῳ, ἐπιτιμήσῃ αὐτὸς καὶ νῦν τοῖς ἀποστάταις τῆς εὐσεβείας καὶ ῥύσηται τὰ ἑαυτοῦ πλάσματα ἀπὸ τῆς ἐνεργείας αὐτῶν καὶ καθαρίσῃ αὐτά, ἃ μετὰ πολλῆς σοφίας ἐποίησεν. ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν δεηθῶμεν. σῶσον καὶ ἀνάστησον αὐτούς, ὁ θεός, ἐν τῇ δυνάμει σου. κλίνατε, οἱ ἐνεργούμενοι, καὶ εὐλογεῖσθε. καὶ ὁ ἐπίσκο-
7 πος ἐπευχέσθω λέγων | Ὁ τὸν ἰσχυρὸν δήσας καὶ πάντα τὰ σκεύη αὐτοῦ διαρπάσας, ὁ δοὺς ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων * καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, ὁ τὸν ἀνθρωποκτόνον ὄφιν δεσμώτην παραδοὺς ἡμῖν ὡς στρουθίον παιδίοις, ὃν φρίττει καὶ τρέμει πάντα ἀπὸ προσώπου δυνάμεώς σου, ὁ ῥήξας αὐτὸν ὡς ἀστραπὴν ἐξ οὐρανοῦ εἰς γῆν, οὐ τοπικῷ ῥήγματι, ἀλλὰ ἀπὸ τιμῆς εἰς ἀτιμίαν δι' ἑκούσιον αὐτοῦ κακόνοιαν, οὗ τὸ βλέμμα ξη-

2 Psalm 51, 12 | 7 Tim α 1, 1 | 16 Marc 5, 9 | 23 Matth 12, 29 | 24 Luc 10, 19 | 27 Iob 41, 25? | 27 Esdr α 4, 36 | 28 Luc 10, 18

3 σε > t | 5 καὶ > y | 6 αὐτοὺς + t | 7 Ἰησοῦ > t | 8 αὐτὸν x | 10 λεγέτω y | 14 πνεύμασιν x | 15 οἰκέτας x | 17 ἐπιτιμήσει xy | 18 ἀσεβείας y | 18 ῥύσεται y | 19 αὐτῶν xy, αὐτοῦ t | 19 καθαρίσει xy | 22 καὶ alterum xt, εἶτα y | 23 δείσας t | 24 πατεῖν > t | 25 πατεῖν + t | 26 δεσμότην t | 27 τρουθίον x?? | 27 παιδίοις xt, παίζεσθαι y | 27 πάντα post ὃν t, post φρίττει y

ραίνει ἄβυσσον καὶ ἡ ἀπειλὴ τήκει ὄρη καὶ ἡ ἀλήθεια μένει εἰς τὸν αἰῶνα, ὃν αἰνεῖ τὰ νήπια καὶ εὐλογεῖ τὰ θηλάζοντα, ὃν ὑμνοῦσι καὶ προσκυνοῦσιν ἄγγελοι, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται, * ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτὴν καὶ πάντας τοὺς ποταμοὺς * ἐξερημῶν, οὗ νεφέλαι κονιορτὸς τῶν ποδῶν, ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ' ἐδάφους, μονογενῆ θεέ, μεγάλου πατρὸς υἱέ, ἐπιτίμησον τοῖς πονηροῖς πνεύμασι καὶ ῥῦσαι τὰ ἔργα τῶν χειρῶν σου ἐκ τῆς τοῦ ἀλλοτρίου πνεύματος ἐνεργείας· ὅτι σοὶ δόξα, τιμὴ καὶ σέβας, καὶ διὰ σοῦ τῷ * πατρὶ ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ * ὁ διάκονος λεγέτω Προσέλθετε, οἱ ἐνεργούμενοι. καὶ μετ' αὐτοῦ προσφωνείτω Εὔξασθε, οἱ φωτιζόμενοι. ἐκτενῶς, οἱ πιστοί, πάντες ὑπὲρ αὐτῶν παρακαλέσωμεν, ὅπως ὁ κύριος καταξιώσῃ αὐτούς, μυηθέντας εἰς τὸν τοῦ χριστοῦ θάνατον, συναναστῆναι αὐτῷ καὶ μετόχους γενέσθαι τῆς βασιλείας αὐτοῦ καὶ κοινωνοὺς τῶν μυστηρίων αὐτοῦ, ἑνώσῃ καὶ συγκαταλέξῃ αὐτοὺς μετὰ τῶν σωζομένων ἐν τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ. ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν δεηθῶμεν. σῶσον καὶ ἀνάστησον αὐτοὺς ἐν τῇ σῇ χάριτι. * κατασφραγισάμενοι τῷ θεῷ διὰ τοῦ χριστοῦ αὐτοῦ, κλίναντες εὐλογείσθωσαν παρὰ τοῦ ἐπισκόπου τήνδε τὴν εὐλογίαν | Ὁ προ- 8
ειπὼν διὰ τῶν ἁγίων σου προφητῶν τοῖς μυουμένοις Λούσασθε, καθαροὶ γένεσθε, καὶ διὰ * χριστοῦ νομοθετήσας τὴν πνευματικὴν ἀναγέννησιν, αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς βαπτιζομένους καὶ εὐλόγησον αὐτοὺς καὶ ἁγίασον, καὶ παρασκεύασον ἀξίους γενέσθαι τῆς πνευματικῆς σου δωρεᾶς καὶ τῆς ἀληθινῆς σου υἱοθεσίας, τῶν πνευματικῶν σου μυστηρίων, τῆς μετὰ τῶν σωζομένων ἐπισυναγωγῆς

1 Psalm 112, 9? | 1 Nahum 1, 4 | 2 Psalm 8, 3 | 3 Psalm 104, 32 | 6 Iob 14, 11 | 7 Nahum 1, 3 | 24 Isaj 1, 16 | 26 Ioh 3, 5

1 ἀβύσσους t | 3 ὑμνοῦσιν x | 5 ὁ + yt | 6 αὐτῆς + y, αὐτοὺς + t | 7 νεφέλαι > y | 7 τῶν > y | 8 ἐπὶ y | 8 μονογενὴς t | 9 πνεύμασιν x | 11 σῷ + y, σῶ + t | 12 εὐθέως + y | 13 προέλθετε yt [Π t] | 13 αὐτοὺς yt | 19 συγκαταλέξῃ xt, συγκαταξιώσῃ y | 19 σωζωμένων t | 20 ἔτι ... δεηθῶμεν > t | 21 καὶ + y | 25 γίνεσθε t | 25 τοῦ + yt | 29 ἀληθηνῆς y | 29 σου > yt

*διὰ χριστοῦ τοῦ σωτῆρος ἡμῶν· δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ * λεγέτω ὁ διάκονος Προέλθετε, οἱ φωτιζόμενοι. καὶ μετὰ τοῦτο κηρυττέτω Εὔξασθε, οἱ ἐν * μετανοίᾳ. ἐκτενῶς πάντες ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν παρακαλέσωμεν, ὅπως ὁ φιλοικτίρμων θεὸς ὑποδείξῃ αὐτοῖς ὁδὸν μετανοίας, * προσδέξηται αὐτῶν τὴν παλινῳδίαν καὶ τὴν ἐξομολόγησιν, καὶ συντρίψῃ τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας αὐτῶν ἐν τάχει, καὶ λυτρώσηται αὐτοὺς ἀπὸ τῆς παγίδος τοῦ διαβόλου καὶ τῆς ἐπηρείας τῶν δαιμόνων, καὶ ἐξέληται αὐτοὺς ἀπὸ παντὸς ἀθεμίτου λόγου καὶ πάσης ἀτόπου πράξεως καὶ πονηρᾶς ἐννοίας, συγχωρήσῃ δὲ αὐτοῖς πάντα τὰ παραπτώματα αὐτῶν τά τε ἑκούσια καὶ τὰ ἀκούσια καὶ ἐξαλείψῃ τὸ κατ' αὐτῶν χειρόγραφον καὶ ἐγγράψηται αὐτοὺς ἐν βίβλῳ ζωῆς, καθάρῃ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ ἑνώσῃ αὐτοὺς ἀποκαταστήσας εἰς τὴν ἁγίαν αὐτοῦ ποίμνην· ὅτι Αὐτὸς γινώσκει τὸ πλάσμα ἡμῶν, ὅτι Τίς καυχήσεται ἁγνὴν ἔχειν καρδίαν ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις. ἔτι ὑπὲρ αὐτῶν ἐκτενέστερον δεηθῶμεν (ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι), ὅπως ἀποστραφέντες πᾶν ἔργον ἀθέμιτον προσοικειωθῶσι πάσῃ πράξει ἀγαθῇ, ἵνα ὁ φιλάνθρωπος θεὸς ᾗ τάχος εὐμενῶς προσδεξάμενος αὐτῶν τὰς λιτάς, ἀποκαταστήσῃ αὐτοὺς εἰς τὴν προτέραν ἀξίαν καὶ ἀποδώσῃ αὐτοῖς τὴν ἀγαλλίασιν τοῦ σωτηρίου καὶ πνεύματι ἡγεμονικῷ στηρίσῃ αὐτούς, ἵνα μηκέτι σαλευθῶσι τὰ διαβήματα αὐτῶν, ἀλλὰ καταξιωθῶσι κοινωνοὶ γενέσθαι τῶν ἁγίων*

8 Rom 16, 20 | 14 Col 2, 14 | 14 Dan 12, 1 | 15 Cor β 7, 1 | 17 Psalm 103, 14 | 18 Prov 20, 9 | 19 Sirach 8, 5 | 21 Luc 15, 7 | 25 Psalm 51, 14 | 27 Psalm 17, 5

1 δόξα] ξα y | 3 *πάλιν* + y | 3 *λεγέτῳ* y | 4 *τῇ* + y, *τῇ* + t | 5 *ἡμῶν* > t | 7 *καὶ* + y | 8 *καὶ* > y | 8 *συντρίψει* x | 10 *καὶ* alterum > y | 11 *ἀθεμήτου* x | 12 *συγχωρήσει* x | 12 *δὲ* > y | 13 *καὶ* alterum > y | 14 *ἐξαλείψει* x | 14 *ἐγγράψῃ* y | 15 *δὲ* > y | 16 *ἑνώσει* x | 23 *πρὸσοίκειωθῶσιν* x | 25 *αὐτοὺς* ... *ἀποδώσῃ* > tPC | 25 *ἀποδῶ* y | 26 *τὴν* > t | 27 *στηρίξῃ* t | 27 *σαλευθῶσιν* x | 27 *τὰ* ... 28 *καταξιωθῶσι* > t | 28 *καταξιωθῶσιν* x

*αὐτοῦ ἱερῶν καὶ μέτοχοι τῶν θείων μυστηρίων, ἵνα ἄξιοι
ἀποφανθέντες τῆς υἱοθεσίας, τύχωσι τῆς αἰωνίου ζωῆς.
ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν πάντες εἴπωμεν Κύριε ἐλέησον·
σῶσον αὐτούς, ὁ θεός, καὶ ἀνάστησον τῷ ἐλέει σου. ἀνα-
στάντες τῷ θεῷ διὰ τοῦ χριστοῦ αὐτοῦ κλίνατε καὶ εὐλο-
γεῖσθε. ἐπευχέσθω δὲ ὁ ἐπίσκοπος τοιάδε | Παντοκρά-* 9
*τωρ θεὲ αἰώνιε, δέσποτα τῶν ὅλων, κτίστα καὶ πρύτανι τῶν
πάντων, ὁ τὸν ἄνθρωπον κόσμον κόσμου ἀναδείξας διὰ
χριστοῦ καὶ νόμον δοὺς αὐτῷ ἔμφυτον καὶ γραπτὸν πρὸς
τὸ ζῆν αὐτὸν ἐνθέσμως ὡς λογικόν, καὶ ἁμαρτόντι ὑποθή-
κην δοὺς πρὸς μετάνοιαν τὴν σαυτοῦ ἀγαθότητα· ἔπιδε
ἐπὶ τοὺς κεκλικότας σοι αὐχένα ψυχῆς καὶ σώματος, ὅτι
οὐ βούλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετά-
νοιαν, ὥστε ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς
πονηρᾶς καὶ ζῆν. ὁ Νινευιτῶν προσδεξάμενος τὴν μετά-
νοιαν, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπί-
γνωσιν ἀληθείας ἐλθεῖν, ὁ τὸν υἱὸν προσδεξάμενος τὸν
καταφαγόντα τὸν βίον αὐτοῦ ἀσώτως πατρικοῖς σπλάγχνοις
διὰ τὴν μετάνοιαν, αὐτὸς καὶ νῦν πρόσδεξαι τῶν ἱκετῶν
σου τὴν μετάγνωσιν, ὅτι οὐκ ἔστιν ὃς οὐχ ἁμαρτήσεταί
σοι (ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ, κύριε κύριε, τίς ὑπο-
στήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι) καὶ ἀποκατάστη-
σον αὐτοὺς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἐν τῇ προτέρᾳ ἀξίᾳ καὶ
τιμῇ διὰ * χριστοῦ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν, δι' οὗ
σοι δόξα καὶ προσκύνησις ἐν * ἁγίῳ πνεύματι εἰς τοὺς
αἰῶνας· ἀμήν. καὶ ὁ διάκονος λεγέτω Ἀπολύεσθε, οἱ
ἐν μετανοίᾳ. καὶ προστιθέτω Μήτις τῶν μὴ δυναμένων
προσελθέτω. ὅσοι πιστοί, κλίνωμεν γόνυ· * δεηθῶμεν τοῦ
θεοῦ διὰ τοῦ χριστοῦ αὐτοῦ, πάντες συντόνως τὸν θεὸν
διὰ τοῦ χριστοῦ αὐτοῦ παρακαλέσωμεν.* ] *ὑπὲρ τῆς εἰρήνης* 10
*καὶ τῆς εὐσταθείας τοῦ κόσμου καὶ τῶν ἁγίων ἐκκλησιῶν
δεηθῶμεν, ὅπως ὁ τῶν ὅλων θεὸς ἀΐδιον καὶ ἀναφαίρετον*

13 Ezech 33, 19 | 16 Tim α 2, 4 | 18 Luc 15, 13 | 21 Psalm 130, 3. 4

1 *ἱερέων* xy | 2 *τύχωσιν* x | 3 *πάντες ὑπὲρ αὐτῶν* yt | 6 *δὲ* x, *οὖν* yt | 6. 7 *παντοκράτορ* yt [*Π* t] | 8 *κόσμον κόσμον* yt | 10 *ἁμαρτῶντι* xt | 18 *πατρικοῖς* bis y | 22 *ἔστιν* x | 24 *τοῦ* + yt | 24 *καὶ* prius xy, *τοῦ* t | 25 *τῷ* + y, *τὰ* + t | 28 *προελθέτω* yt | 28 *καὶ* + y | 30 *τῆς* > x

τὴν ἑαυτοῦ εἰρήνην ἡμῖν παράσχοιτο, ἵνα ἐν πληροφορίᾳ τῆς κατ' εὐσέβειαν ἀρετῆς διατελοῦντας ἡμᾶς συντηρήσῃ. ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων δεηθῶμεν, ὅπως ὁ κύριος ἄσειστον αὐτὴν καὶ ἀκλυδώνιστον διαφυλάξῃ καὶ διατηρήσῃ μέχρι τῆς συντελείας τοῦ αἰῶνος τεθεμελιωμένην ἐπὶ τὴν πέτραν· * καὶ ὑπὲρ τῆς ἐνθάδε ἁγίας παροικίας δεηθῶμεν, ὅπως καταξιώσῃ ἡμᾶς ὁ τῶν ὅλων κύριος ἀνενδότως τὴν ἐπουράνιον αὐτοῦ ἐλπίδα μεταδιώκειν καὶ ἀδιάλειπτον αὐτῷ τῆς δεήσεως ἀποδιδόναι τὴν ὀφειλήν. ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὑπ' * οὐρανὸν τῶν ὀρθοτομούντων τὸν λόγον τῆς * ἀληθείας δεηθῶμεν· καὶ ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Ἰακώβου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Κλήμεντος καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Εὐοδίου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Ἀννιανοῦ καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὅπως ὁ οἰκτίρμων θεὸς χαρίσηται αὐτοὺς ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις σώους, ἐντίμους, μακροημερεύοντας, καὶ τίμιον αὐτοῖς τὸ γῆρας παράσχηται ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ· * καὶ ὑπὲρ τῶν πρεσβυτέρων ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς ἀπὸ παντὸς ἀτόπου καὶ πονηροῦ πράγματος καὶ σῶον καὶ ἔντιμον τὸ πρεσβυτέριον αὐτοῖς παράσχοι. * ὑπὲρ πάσης τῆς ἐν χριστῷ διακονίας καὶ * ὑπηρεσίας δεηθῶμεν, ὅπως ὁ κύριος ἄμεμπτον αὐτοῖς τὴν διακονίαν παράσχηται. ὑπὲρ ἀναγνωστῶν, ψαλτῶν, παρθένων, χηρῶν τε καὶ ὀρφανῶν δεηθῶμεν. ὑπὲρ τῶν ἐν συζυγίαις καὶ τεκνογονίαις δεηθῶμεν, ὅπως ὁ κύριος τοὺς πάντας αὐτοὺς ἐλεήσῃ. ὑπὲρ εὐνούχων ὁσίως πορευομένων δεηθῶμεν. ὑπὲρ τῶν ἐν ἐγκρατείᾳ καὶ εὐλαβείᾳ δεηθῶμεν. ὑπὲρ τῶν καρποφορούντων ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ ποιούντων τοῖς πένησι τὰς ἐλεημοσύνας δεηθῶμεν, * καὶ

4 Psalm 72, 8 | 6 Matth 7, 25 | 11 Tim β 2, 15

6 τεθεμελιωμελιωμένην t | 7 ἔτι + y | 11 ὑπὸ yt | 11 τὸν + yt | 12 σῆς + t | 15 εὐωδίου x | 16 ὑπὲρ ... 17 δεηθῶμεν > t | 16 ἀνιανοῦ y | 19. 20 παράσχηται xt, φυλάξῃ y | 20 ἔτι + y | 23 πρεσβυτερεῖον x, πρεσβεῖον y | 23 ἔτι, καὶ + y | 24 τῆς + y | 25 τὴν διακονίαν αὐτοῖς [ἀ t] yt | 28 τοὺς > y | 29 init δεηθῶμ t | 31 πένησιν x | 31 ἔτι + y

ὑπὲρ τῶν τὰς θυσίας καὶ τὰς ἀπαρχὰς προσφερόντων κυρίῳ τῷ θεῷ ἡμῶν δεηθῶμεν, ὅπως ὁ πανάγαθος θεὸς ἀμείψηται αὐτοὺς ταῖς ἐπουρανίαις αὐτοῦ δωρεαῖς καὶ δῷ αὐτοῖς ἐν τῷ παρόντι ἑκατονταπλασίονα καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον, καὶ χαρίσηται αὐτοῖς ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια. ὑπὲρ τῶν νεοφωτίστων ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος στηρίσῃ αὐτοὺς καὶ βεβαιώσῃ. ὑπὲρ τῶν ἐν ἀρρωστίᾳ ἐξεταζομένων ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς πάσης νόσου καὶ πάσης μαλακίας, καὶ σώους ἀποκαταστήσῃ τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ. ὑπὲρ πλεόντων καὶ ὁδοιπορούντων δεηθῶμεν. ὑπὲρ τῶν ἐν μετάλλοις καὶ ἐξορίαις καὶ φυλακαῖς καὶ δεσμοῖς ὄντων διὰ τὸ ὄνομα τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ καταπονουμένων δεηθῶμεν. ὑπὲρ ἐχθρῶν καὶ μισούντων ἡμᾶς δεηθῶμεν. ὑπὲρ τῶν διωκόντων ἡμᾶς διὰ τὸ ὄνομα τοῦ κυρίου δεηθῶμεν, ὅπως ὁ κύριος πραΰνας τὸν θυμὸν αὐτῶν διασκεδάσῃ τὴν καθ' ἡμῶν ὀργήν *. ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων δεηθῶμεν, ὅπως ὁ κύριος αὐτοὺς ἐπιστρέψῃ. * τῶν νηπίων τῆς ἐκκλησίας μνημονεύσωμεν, ὅπως ὁ κύριος τελειώσας αὐτὰ ἐν τῷ φόβῳ αὐτοῦ εἰς μέτρον ἡλικίας ἀγάγοι. ὑπὲρ ἀλλήλων δεηθῶμεν, ὅπως ὁ κύριος διατηρήσῃ ἡμᾶς καὶ φυλάξῃ τῇ αὐτοῦ χάριτι εἰς τέλος καὶ ῥύσηται ἡμᾶς τοῦ πονηροῦ καὶ πάντων τῶν σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον. ὑπὲρ πάσης ψυχῆς χριστιανῆς δεηθῶμεν. σῶσον καὶ ἀνάστησον ἡμᾶς, ὁ θεός, τῷ ἐλέει σου. ἐγειρώμεθα· δεηθέντες ἐκτενῶς ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι θεῷ διὰ τοῦ χριστοῦ αὐτοῦ παραθώμεθα. ἐπευχέσθω οὖν ὁ ἀρχιερεὺς καὶ λεγέτω | Κύριε παντοκράτορ, ὕψιστε * ἐν ὑψηλοῖς 11
κατοικῶν, ἅγιε * ἐν ἁγίοις ἀναπαυόμενε, ἄναρχε, μόναρχε, ὁ διὰ χριστοῦ κήρυγμα γνώσεως δοὺς ἡμῖν εἰς ἐπίγνωσιν

5 Cor β 4, 18 | 6 Ioh 3, 12 | 10 Matth 4, 23 | 16 Matth 10, 22 | 21 Eph 4, 13

3 ἐπουρανίοις yt | 7. 8 στηρίξῃ t | 12. 13 ἐξωρίαις x | 13 τοῦ > t | 18 δεηθῶμεν + x | 20 ἔτι ὑπὲρ + y | 20 μνημονεύσωμεν xt, δεηθῶμεν y | 21 ἀγάγῃ t | 22 τηρήσῃ t | 29 οὖν xy, δὲ t | 30 παντοκράτωρ x | 30 ὁ + t, καὶ + y | 31 καὶ + y

τῆς σῆς δόξης καὶ τοῦ ὀνόματός σου οὗ ἐφανέρωσεν ἡμῖν εἰς κατάληψιν· αὐτὸς καὶ νῦν ἔπιδε δι' αὐτοῦ ἐπὶ τὸ ποίμνιόν σου τοῦτο καὶ λύτρωσαι αὐτὸ πάσης ἀγνοίας καὶ πονηρᾶς πράξεως, καὶ δὸς φόβῳ φοβεῖσθαί σε καὶ ἀγάπῃ ἀγαπᾶν σε καὶ στέλλεσθαι ἀπὸ προσώπου δόξης σου· εὐμενὴς αὐτοῖς γενοῦ καὶ ἵλεως καὶ ἐπήκοος ἐν ταῖς προσευχαῖς αὐτῶν καὶ φύλαξον αὐτοὺς ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους, ἵνα ὦσιν ἅγιοι σώματι καὶ ψυχῇ, μὴ ἔχοντες σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ὦσιν ἄρτιοι καὶ μηδεὶς ἐν αὐτοῖς ᾖ κολοβὸς ἢ ἀτελής. ἀρωγὲ δυνατὲ ἀπροσωπόληπτε, γενοῦ ἀντιλήπτωρ τοῦ λαοῦ σου τούτου, ὃν ἐξελέξω ἐκ μυριάδων, ὃν ἐξηγόρασας τῷ τιμίῳ τοῦ χριστοῦ σου αἵματι, προστάτης, ἐπίκουρος, ταμίας, φύλαξ, τεῖχος ἐρυμνότατον, φραγμὸς ἀσφαλείας· ὅτι ἐκ τῆς σῆς χειρὸς οὐδεὶς ἁρπάσαι δύναται, οὐδὲ γάρ ἐστι θεὸς ὥσπερ σὺ ἕτερος, ὅτι ἐν σοὶ ἡ ὑπομονὴ ἡμῶν. ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου, ὅτι ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν, ἀπροσχάριστε, ἀπαραλόγιστε· ῥῦσαι αὐτοὺς πάσης νόσου καὶ πάσης μαλακίας, παντὸς παραπτώματος, πάσης ἐπηρείας καὶ ἀπάτης, ἀπὸ φόβου ἐχθροῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· καὶ καταξίωσον αὐτοὺς τῆς αἰωνίου ζωῆς τῆς ἐν τῷ χριστῷ σου τῷ υἱῷ σου τῷ μονογενεῖ, τῷ θεῷ καὶ σωτῆρι ἡμῶν, δι' οὗ σοι δόξα καὶ σέβας ἐν ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. καὶ μετὰ τοῦτο λεγέτω ὁ διάκονος Πρόσχωμεν. καὶ ἀσπαζέσθω ὁ ἐπίσκοπος τὴν ἐκκλησίαν καὶ λεγέτω Ἡ εἰρήνη τοῦ θεοῦ μετὰ πάντων ὑμῶν, καὶ ὁ λαὸς ἀποκρινάσθω Καὶ μετὰ τοῦ πνεύματός σου. καὶ ὁ διάκονος εἰπάτω πᾶσιν Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. καὶ ἀσπαζέσθωσαν οἱ τοῦ κλήρου τὸν ἐπίσκοπον, οἱ λαϊκοὶ ἄνδρες τοὺς λαϊκούς, αἱ γυναῖκες τὰς γυναῖκας. τὰ παιδία δὲ στηκέτωσαν πρὸς τῷ

7 Col 1, 22 | 8 Eph 5, 27 | 12 Act 20, 28 | 14 Ioh 10, 29 | 15 Isaj 45, 5 | 15 Psalm 62, 6 | 16 Ioh 17, 17 | 18 Matth 4, 23 | 19 Psalm 91, 5. 6 | 28 Cor α 16, 20

1 ὑμῖν y?? | 10 κολωβὸς t | 11 ὃν .... 12 μυριάδων > t | 14 ἀσφάλεια utrimque puncto inclusum t | 15 ἔστιν x | 19 καὶ > xy | 20 πετωμένου t | 22 τῶ χριστῶ σου xy [bis ῳ y], χριστῶ t | 27 ἀποκρινέσθω y 31 παιδεία x | 31 τῷ] τὸ x

βήματι, καὶ διάκονος αὐτοῖς ἕτερος ἔστω ἐφεστώς, ὅπως μὴ ἀτακτῶσιν· καὶ ἄλλοι διάκονοι περιπατείτωσαν καὶ σκοπείτωσαν τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, ὅπως μὴ θόρυβος * γένηται καὶ μή τις νεύσῃ ἢ ψιθυρίσῃ ἢ νυστάξῃ. οἱ δὲ διάκονοι ἱστάσθωσαν εἰς τὰς τῶν ἀνδρῶν θύρας καὶ οἱ ὑποδιάκονοι εἰς τὰς τῶν γυναικῶν, ὅπως μή τις ἐξέλθοι μήτε ἀνοιχθῇ ἡ θύρα, κἂν πιστός τις ᾖ, κατὰ τὸν καιρὸν τῆς ἀναφορᾶς. εἷς δὲ ὑποδιάκονος διδότω ἀπόρρυψιν χειρῶν τοῖς ἱερεῦσι, σύμβολον καθαρότητος ψυχῶν θεῷ ἀνακειμένων. | φημὶ δὴ κἀγὼ Ἰάκωβος, ὁ ἀδελφὸς Ἰωάννου τοῦ 12
Ζεβεδαίου *, ἵνα εὐθὺς ὁ διάκονος λέγῃ Μή τις τῶν κατηχουμένων; μή τις τῶν ἀκροωμένων; μή τις τῶν ἀπίστων; μή τις τῶν ἑτεροδόξων; οἱ τὴν πρώτην εὐχὴν εὐχόμενοι προέλθετε. τὰ παιδία προσλαμβάνεσθε, αἱ μητέρες. μή τις κατά τινος; μή τις ἐν ὑποκρίσει; ὀρθοὶ πρὸς κύριον μετὰ φόβου καὶ τρόμου ἑστῶτες ὦμεν προσφέρειν. ὧν γενομένων, οἱ διάκονοι προσαγέτωσαν τὰ δῶρα τῷ ἐπισκόπῳ πρὸς τὸ θυσιαστήριον, καὶ οἱ πρεσβύτεροι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων στηκέτωσαν, ὡς ἂν μαθηταὶ παρεστῶτες διδασκάλῳ· δύο δὲ διάκονοι ἐξ ἑκατέρων τῶν μερῶν τοῦ θυσιαστηρίου κατεχέτωσαν ἐξ ὑμένων λεπτῶν ῥιπίδιον ἢ πτερὸν ταῶνος ἢ ὀθόνης, καὶ ἠρέμα ἀποσοβείτωσαν τὰ μικρὰ τῶν ἱπταμένων ζῴων, ὅπως ἂν μὴ ἐγχρίμπτωνται εἰς τὰ κύπελλα. εὐξάμενος οὖν καθ' ἑαυτὸν ὁ ἀρχιερεὺς ἅμα τοῖς ἱερεῦσι καὶ λαμπρὰν ἐσθῆτα μετενδὺς καὶ στὰς πρὸς τῷ θυσιαστηρίῳ, τὸ τρόπαιον τοῦ σταυροῦ κατὰ τοῦ μετώπου τῇ χειρὶ ποιησάμενος * εἰπάτω Ἡ χάρις τοῦ παντοκράτορος θεοῦ καὶ ἡ ἀγάπη τοῦ κυρίου ἡμῶν

27. Cor β 13, 13

2 ἀτακτῶσι yt | 4 τις + yt | 4 καὶ μή xt, μὴδέ y | 4 ψιθυρίσει x | 4 νυστάξει x | 8 ἀπόρυψιν x, ἀπόῤῥυψιν y, ἀπόνιψιν t | 9 ἱερεῦσιν x | 10 φημὶ δὴ xt, ἔτι y | 10 ὁ > Y | 11 φημὶ + y | 11 ἵνα εὐθὺς xt [ἵν' t], στὰς y | 11 λεγέτω y | 14 προςλάβεσθαι y, προσλαμβάνεσθαι t | 16 προσφέρει xy utrimque puncto inclusum x, hinc virgula hinc puncto y | 18. 19 αὐτοῦ > x | 20 δὲ yt, μὲν x | 20 διαίκονοι x | 21. 22 ῥιπίδια t | 22 πτερῶν t | 22 ὀθόνην y | 23. 24 ἐγχρίπτονται x, ἐγχρίπτωνται y | 24 κύπελα y | 25 ἱερεῦσιν x | 26 τῷ] τὸ x | 27 μετόπου t | 27 εἰς πάντας + t | 27 εἰπάτῳ y | 28 παντοκράτωρος y

Ἰησοῦ χριστοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος ἔστω μετὰ πάντων ὑμῶν· καὶ πάντες συμφώνως λεγέτωσαν ὅτι Καὶ μετὰ τοῦ πνεύματός σου. καὶ ὁ ἀρχιερεὺς Ἄνω τὸν νοῦν, καὶ πάντες Ἔχομεν πρὸς τὸν κύριον. καὶ ὁ ἀρχιερεὺς Εὐχαριστήσωμεν τῷ κυρίῳ, καὶ πάντες Ἄξιον καὶ δίκαιον. καὶ ὁ ἀρχιερεὺς εἰπάτω Ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον πρὸ πάντων ἀνυμνεῖν σε τὸν ὄντως ὄντα θεὸν τὸν πρὸ τῶν γενητῶν ὄντα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, τὸν μόνον ἀγέννητον καὶ ἄναρχον καὶ ἀβασίλευτον καὶ ἀδέσποτον, τὸν ἀνενδεῆ, τὸν παντὸς ἀγαθοῦ χορηγόν, τὸν πάσης αἰτίας καὶ γενέσεως κρείττονα, τὸν πάντοτε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα· ἐξ οὗ τὰ πάντα, καθάπερ ἐκ τινὸς ἀφετηρίας, εἰς τὸ εἶναι παρῆλθεν. σὺ γὰρ εἶ ἡ ἄναρχος γνῶσις, ἡ ἀίδιος ὅρασις, ἡ ἀγέννητος ἀκοή, ἡ ἀδίδακτος σοφία, ὁ πρῶτος τῇ φύσει καὶ μόνος τῷ εἶναι καὶ κρείττων παντὸς ἀριθμοῦ, ὁ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν διὰ τοῦ μονογενοῦς σου υἱοῦ, αὐτὸν δὲ πρὸ πάντων αἰώνων γεννήσας βουλήσει καὶ δυνάμει καὶ ἀγαθότητι ἀμεσιτεύτως, υἱὸν μονογενῆ, λόγον θεόν, σοφίαν ζῶσαν, πρωτότοκον πάσης κτίσεως, ἄγγελον τῆς μεγάλης βουλῆς σου, ἀρχιερέα σόν, βασιλέα δὲ καὶ κύριον πάσης νοητῆς καὶ αἰσθητῆς φύσεως, τὸν πρὸ πάντων, δι' οὗ τὰ πάντα. σὺ γάρ, θεὲ αἰώνιε, δι' αὐτοῦ τὰ πάντα πεποίηκας καὶ δι' αὐτοῦ τῆς προσηκούσης προνοίας τὰ ὅλα ἀξιοῖς· δι' οὗ γὰρ τὸ εἶναι ἐχαρίσω, δι' αὐτοῦ καὶ τὸ εὖ εἶναι ἐδωρήσω· ὁ θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου, ὁ δι' αὐτοῦ πρὸ πάντων ποιήσας τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ αἰῶνάς τε καὶ στρατιὰς δυνάμεις τε καὶ ἐξουσίας ἀρχάς τε καὶ θρόνους ἀρχαγγέλους τε καὶ ἀγγέλους, καὶ μετὰ ταῦτα πάντα ποιήσας δι' αὐτοῦ τὸν φαινόμενον τοῦτον κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. σὺ

8 Eph 3, 15 | 12 Cor α 8, 6 | 17 Rom 4, 17? | 20 Col 1, 15 | 21 Isaj 9, 6 | 23 Cor α 8, 6 | 30 Ioh 1, 3

5. 6 καὶ δίκαιον > y | 6 εἰπάτω xt, ἐπευχέσθω y | 8 οὐρανῷ t | 9 ἀγένητον x | 10 ἀβασίλευτον καὶ > y | 13. 14 παρῆλθε y | 14. 15 ἀγένητος x | 16 μόνος xy, νόμος t | 16 τῷ εἶναι καὶ xt, ὢν ὁ y | 16 κρείττον x | 16 ὁ > t | 17 ὄντως x | 22 δὲ > y | 28 σεραφεὶμ y | 30 πάντα > y

γὰρ εἶ ὁ τὸν οὐρανὸν ὡς καμάραν στήσας καὶ ὡς δέρριν ἐκτείνας καὶ τὴν γῆν ἐπ' οὐδενὸς ἱδρύσας γνώμῃ μόνῃ, ὁ πήξας στερέωμα καὶ νύκτα καὶ ἡμέραν κατασκευάσας, ὁ ἐξαγαγὼν φῶς ἐκ θησαυρῶν καὶ τῇ τούτου συστολῇ ἐπαγαγὼν τὸ σκότος εἰς ἀνάπαυλαν τῶν ἐν τῷ κόσμῳ κινουμένων ζώων, ὁ τὸν ἥλιον τάξας εἰς ἀρχὰς τῆς ἡμέρας ἐν οὐρανῷ καὶ τὴν σελήνην εἰς ἀρχὰς τῆς νυκτὸς καὶ τὸν χορὸν τῶν ἀστέρων ἐν οὐρανῷ καταγράψας εἰς αἶνον τῆς σῆς μεγαλοπρεπείας, ὁ ποιήσας ὕδωρ πρὸς πόσιν καὶ κάθαρσιν, ἀέρα ζωτικὸν πρὸς εἰσπνοὴν καὶ ἀναπνοὴν καὶ φωνῆς ἀπόδοσιν διὰ γλώττης πληττούσης τὸν ἀέρα καὶ ἀκοὴν συνεργουμένην ὑπ' αὐτοῦ ὡς ἐπαΐειν εἰσδεχομένην τὴν προσπίπτουσαν αὐτῇ λαλιάν, ὁ ποιήσας πῦρ πρὸς σκότους παραμυθίαν, πρὸς ἐνδείας ἀναπλήρωσιν καὶ τὸ θερμαίνεσθαι ἡμᾶς καὶ φωτίζεσθαι ὑπ' αὐτοῦ, ὁ τὴν μεγάλην θάλασσαν χωρίσας τῆς γῆς καὶ τὴν μὲν ἀναδείξας πλωτήν, τὴν δὲ ποσὶ βάσιμον ποιήσας, καὶ τὴν μὲν ζῴοις μικροῖς καὶ μεγάλοις πληθύνας, τὴν δὲ ἡμέροις καὶ ἀτιθάσοις πληρώσας φυτοῖς τε διαφόροις στέψας καὶ βοτάναις στεφανώσας καὶ ἄνθεσι καλλύνας καὶ σπέρμασι πλουτίσας, ὁ συστησάμενος ἄβυσσον καὶ μέγα κύτος αὐτῇ περιθείς, ἁλμυρῶν ὑδάτων σεσωρευμένα πελάγη, περιφράξας δὲ αὐτὴν πύλαις ἄμμου λεπτοτάτης, ὁ πνεύμασί ποτε μὲν αὐτὴν κορυφῶν εἰς ὀρέων μέγεθος, ποτὲ δὲ στρωννύων αὐτὴν ὡς πεδίον, καὶ ποτὲ μὲν ἐκμαίνων χειμῶνι, ποτὲ δὲ πραΰνων γαλήνῃ ὡς ναυσιπόροις πλωτῆρσιν εὔκολον εἶναι πρὸς πορείαν, ὁ ποταμοῖς διαζώσας τὸν ὑπὸ σοῦ διὰ χριστοῦ γενόμενον κόσμον καὶ χειμάρροις ἐπικλύσας καὶ πηγαῖς ἀενάοις μεθύσας, ὄρεσι δὲ περισφίγξας εἰς ἕδραν ἀτρεμῆ γῆς * ἀσφαλεστάτην. ἐπλήρωσας γάρ σου τὸν κόσμον καὶ διεκόσμησας αὐτὸν βοτάναις εὐόσμοις καὶ ἰασίμοις, ζῴοις πολλοῖς καὶ διαφόροις, ἀλκίμοις καὶ ἀσθενεστέροις, ἐδωδίμοις καὶ ἐνεργοῖς, ἡμέροις

1 Isaj 40, 22 | 1 Psalm 104, 2 | 2 Iob 26, 7

4 στολῇ t | 10 καὶ ἀναπνοὴν > t | 14 καὶ τὸ > y | 14 τῷ θερμένεσθαι x | 15 χωρήσας y | 18 ἀτιθάσσοις t | 19. 20 καλλύνας xt, ποικίλας y | 20 πλουτήσας x | 21 κῆτος t | 22 τὲ y | 24 ὡς x, εἰς yt | 26 πλοτῆρσιν x | 28 χειμάροις x | 28 ἀεννάοις yt | 28 ὄρεσιν x | 28. 29 τε περισφίξας y | 29 ἕδρα x | 29 καὶ + y | 32 ἀσθενέσιν y

καὶ ἀτιθάσοις, ἑρπετῶν συριγμοῖς, πτηνῶν ποικίλων κλαγγαῖς, ἐνιαυτῶν κύκλοις, μηνῶν καὶ ἡμερῶν ἀριθμοῖς, τροπῶν τάξεσι, νεφῶν ὀμβροτόκων διαδρομαῖς εἰς καρπῶν γονὰς καὶ ζώων σύστασιν, σταθμὸν ἀνέμων διαπνεόντων, ὅτε προσταχθῶσι παρὰ σοῦ, τῶν φυτῶν καὶ τῶν βοτανῶν τὸ πλῆθος. καὶ οὐ μόνον τὸν κόσμον ἐδημιούργησας, ἀλλὰ καὶ τὸν κοσμοπολίτην ἄνθρωπον ἐν αὐτῷ ἐποίησας, κόσμου κόσμον * ἀναδείξας· εἶπας γὰρ τῇ σῇ σοφίᾳ Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ. διὸ καὶ πεποίηκας αὐτὸν ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος σκεδαστοῦ, τῆς μὲν ἐκ τοῦ μὴ ὄντος, τοῦ δὲ ἐκ τῶν τεσσάρων στοιχείων, καὶ δέδωκας αὐτῷ κατὰ μὲν τὴν ψυχὴν τὴν λογικὴν διάγνωσιν, εὐσεβείας καὶ ἀσεβείας διάκρισιν, δικαίου καὶ ἀδίκου παρατήρησιν, κατὰ δὲ τὸ σῶμα τὴν πένταθλον ἐχαρίσω αἴσθησιν καὶ τὴν μεταβατικὴν κίνησιν. σὺ γάρ, θεὲ παντοκράτορ, διὰ χριστοῦ παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς ἐφύτευσας παντοίων φυτῶν ἐδωδίμων κόσμῳ, καὶ ἐν αὐτῷ, ὡς ἂν ἐν ἑστίᾳ πολυτελεῖ, εἰσήγαγες αὐτόν, κἂν τῷ ποιεῖν νόμον δέδωκας αὐτῷ ἔμφυτον, ὅπως οἴκοθεν καὶ παρ' ἑαυτοῦ ἔχοι τὰ σπέρματα τῆς θεογνωσίας. εἰσαγαγὼν δὲ εἰς τὸν τῆς τρυφῆς παράδεισον, πάντων μὲν ἀνῆκας αὐτῷ τὴν ἐξουσίαν πρὸς μετάληψιν, ἑνὸς δὲ μόνου τὴν γεῦσιν ἀπεῖπας ἐπ' ἐλπίδι κρειττόνων, ἵν', ἐὰν φυλάξῃ τὴν ἐντολήν, μισθὸν ταύτης τὴν ἀθανασίαν κομίσηται. ἀμελήσαντα δὲ τῆς ἐντολῆς καὶ γευσάμενον ἀπηγορευμένου καρποῦ ἀπάτῃ ὄφεως καὶ συμβουλίᾳ γυναικὸς τοῦ μὲν παραδείσου δικαίως ἐξώσας αὐτόν, ἀγαθότητι δὲ εἰς τὸ παντελὲς ἀπολλύμενον οὐχ ὑπερεῖδες (σὸν γὰρ ἦν δημιούργημα), ἀλλὰ καθυποτάξας

8 Gen 1, 26 | 18 Gen 2, 8

1 ἀτιθάσσοις t | 1 ποικίλαις y | 3 τάξεσιν x | 4 σταθμοῖς y | 5 προσταχθῶσιν x | 5 τῶν utrumque > y | 6 τὸ πλῆθος xt, πλήθεσι y | 8 αὐτὸν + yt | 8. 9 ποιήσομεν t | 16 ἐχαρήσω x | 17 παντοκράτωρ xy | 19 ἐδοδίμων x | 19 κόσμω xt, πεπληρωμένον y | 20 κἂν τῷ ποιεῖν] εἶτα καὶ y | 22 τῆς alterum > y | 25 ἵνα yt | 26 ἀμελήσας xy | 27 γευσάμενος xy | 28 συμβουλεία y | 28. 29 ἔξωσας xt, ἐξῶσας y | 30 υπερίδες x

*αὐτῷ τὴν κτίσιν δέδωκας αὐτῷ οἰκείοις ἱδρῶσι καὶ πόνοις πορίζειν ἑαυτῷ τὴν τροφήν, σοῦ πάντα φύοντος καὶ αὔξοντος καὶ πεπαίνοντος, χρόνῳ δὲ πρὸς ὀλίγον αὐτὸν κοιμίσας ὅρκῳ εἰς παλιγγενεσίαν ἐκάλεσας, ὅρον * θανάτου λύσας ζωὴν ἐξ ἀναστάσεως ἐπηγγείλω. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος ἀναρίθμητον χέας, τοὺς ἐμμείναντάς σοι ἐδόξασας, τοὺς δὲ ἀποστάντας σου ἐκόλασας, καὶ τοῦ μὲν Ἄβελ ὡς ὁσίου προσδεξάμενος τὴν θυσίαν, τοῦ δὲ ἀδελφοκτόνου Κάιν ἀποστραφεὶς τὸ δῶρον ὡς ἐναγοῦς· καὶ πρὸς τούτοις τὸν Σὴθ καὶ τὸν Ἐνὼς προσελάβου καὶ τὸν Ἐνὼχ μετέθηκας. σὺ γὰρ εἶ ὁ δημιουργὸς τῶν ἀνθρώπων καὶ τῆς ζωῆς χορηγὸς καὶ τῆς ἐνδείας * πληρωτὴς καὶ τῶν νόμων δοτὴρ καὶ τῶν φυλαττόντων αὐτοὺς μισθαποδότης καὶ τῶν παραβαινόντων αὐτοὺς ἔκδικος, ὁ τὸν μέγαν κατακλυσμὸν ἐπαγαγὼν τῷ κόσμῳ διὰ * πλῆθος τῶν ἀσεβησάντων, καὶ τὸν δίκαιον Νῶε ῥυσάμενος ἐκ τοῦ κατακλυσμοῦ ἐν λάρνακι σὺν ὀκτὼ ψυχαῖς, τέλος μὲν τῶν παρῳχηκότων, ἀρχὴν δὲ τῶν μελλόντων ἐπιγίνεσθαι, ὁ τὸ φοβερὸν πῦρ κατὰ τῆς σοδομηνῆς πενταπόλεως ἐξάψας καὶ γῆν καρποφόρον εἰς ἅλμην θέμενος ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ, καὶ τὸν ὅσιον Λὼτ ἐξαρπάσας τοῦ ἐμπρησμοῦ. σὺ εἶ ὁ τὸν Ἀβραὰμ ῥυσάμενος προγονικῆς ἀσεβείας καὶ κληρονόμον τοῦ κόσμου καταστήσας καὶ ἐμφανίσας αὐτῷ τὸν χριστόν σου, ὁ τὸν Μελχισεδὲκ ἀρχιερέα σῆς λατρείας προχειρισάμενος, ὁ τὸν πολύτλαν θεράποντά σου Ἰὼβ νικητὴν τοῦ ἀρχεκάκου ὄφεως ἀναδείξας, ὁ τὸν Ἰσαὰκ ἐπαγγελίας υἱὸν ποιησάμενος, ὁ τὸν Ἰακὼβ πατέρα δώδεκα παίδων καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος χέας*

17 Petr α 3, 20

1 *αὐτῷ* alterum > y | 1 *ἱδρῶσιν* x | 3 *παίνοντος* X | 3. 4 *κοιμήσας* x | 4 *ὅρῳ* xy | 4 *τε* + y | 6 *ἀνήριθμον* y, *ἀνάριθμον* t | 6 *χέας* xt, *ποιήσας* y | 7 *ἐμμείνοντάς* y | 8 *προσεδέξω* y | 9 *ἀπεστράφης* y | 10 *καὶ* prius > y | 10 *Σὴθ* t | 11 *μετετέθεικας* t | 12 *καὶ* alterum > y | 13 *ὁ* + y | 13 *καὶ* alterum xt, *ὁ* y | 15 *ὁ* > y | 15 *τὸ* + yt | 16 *ἀσεβημάτων* y | 18 *παροχηκότων* x | 20 *γῆν* xt, *τὴν* y | 21 *ἐνοικούντων* y | 22 *ἐμπρισμοῦ* x | 25 *σῆς* xy, *τῆς* t | 25 *προχειρησάμενος* x | 25 *ὁ* > xy | 25 *πολύαθλον* y | 27 *ὁ* utrumque > x, alterum > y | 28 *χέας* xt, *ἐκτείνας* y

καὶ εἰσαγαγὼν εἰς Αἴγυπτον ἐν ἑβδομήκοντα πέντε ψυχαῖς. σύ, κύριε, τὸν Ἰωσὴφ οὐχ ὑπερεῖδες, ἀλλὰ μισθὸν τῆς διὰ σὲ σωφροσύνης ἔδωκας αὐτῷ τὸ τῶν Αἰγυπτίων ἄρχειν. σύ, κύριε, Ἑβραίους ὑπὸ Αἰγυπτίων καταπονουμένους οὐ περιεῖδες διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίας, ἀλλ' ἐρρύσω, κολάσας Αἰγυπτίους. παραφθειράντων δὲ τῶν ἀνθρώπων τὸν φυσικὸν νόμον, καὶ τὴν κτίσιν ποτὲ μὲν αὐτόματον νομισάντων, ποτὲ δὲ πλεῖον ἢ δεῖ τιμησάντων καὶ σοὶ τῷ θεῷ τῶν πάντων συνταττόντων, οὐκ εἴασας πλανᾶσθαι, ἀλλὰ ἀναδείξας τὸν ἅγιόν σου θεράποντα Μωϋσῆν, δι' αὐτοῦ πρὸς βοήθειαν τοῦ φυσικοῦ τὸν γραπτὸν νόμον δέδωκας, καὶ τὴν κτίσιν ἔδειξας σὸν ἔργον εἶναι, τὴν δὲ πολύθεον πλάνην ἐξώρισας, τὸν Ἀαρὼν καὶ τοὺς ἐξ αὐτοῦ ἱερατικῇ τιμῇ ἐδόξασας, Ἑβραίους ἁμαρτόντας ἐκόλασας, ἐπιστρέφοντας ἐδέξω. τοὺς Αἰγυπτίους δεκαπλήγῳ * ἐτιμωρήσω, θάλασσαν διελὼν Ἰσραηλίτας διεβίβασας, Αἰγυπτίους ἐπιδιώξαντας ὑποβρυχίους ἐκόλασας, ξύλῳ πικρὸν ὕδωρ ἐγλύκανας, ἐκ πέτρας ἀκροτόμου ὕδωρ ἀνέχεας, ἐξ οὐρανοῦ τὸ μάννα ὕσας, τροφὴν ἐξ ἀέρος ὀρτυγομήτραν, στύλον πυρὸς τὴν νύκτα πρὸς φωτισμὸν καὶ στύλον νεφέλης ἡμέρας πρὸς σκιασμὸν θάλπους. τὸν Ἰησοῦν στρατηγὸν ἀναδείξας, ἑπτὰ ἔθνη Χαναναίων δι' αὐτοῦ καθεῖλες, Ἰορδάνην διέρρηξας, τοὺς ποταμοὺς Ἠθὰμ ἐξήρανας, τείχη κατέρρηξας ἄνευ μηχανημάτων καὶ χειρὸς ἀνθρωπίνης. ὑπὲρ πάντων σοι ἡ δόξα, δέσποτα παντοκράτορ. σὲ προσκυνοῦσιν ἀναρίθμητοι στρατιαὶ ἀγγέλων, ἀρχαγγέλων, θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν, δυνάμεων, στρατιῶν αἰωνίων· τὰ Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ ταῖς μὲν δυσὶ κατακαλύπτοντα τοὺς πόδας,

23 Psalm 74, 15 | 29 Isaj 6, 2

2 τὸν > t | 2 ὑπερίδες x | 3 τὸ > y | 4 καταπονουνουμένους t | 5 περιῖδες x | 6 κολάσεως x | 14. 15 ἁμαρτῶντας t | 16 κολάσει + y | 17 ἐκόλασας x, ἀπώλεσας yt | 18. 19 ἀνέχεας xt, ἐξήγαγες y | 20 τῆς νυκτὸς y | 21 ἡμέραν t | 23 ἴθὰμ x | 24 κατέῤῥιψας yt [ρρ t] | 25 ἁπάντων yt | 25. 26 παντοκράτωρ x | 26 ἀνήριθμοι y, ἀνάριθμοι t | 28 χερουβεὶμ y | 29 σεραφεὶμ y | 29 ταῖς μὲν δυσὶ] δυσὶ μὲν y | 29 δυσὶν x | 29 κατακαλύπτονται x

ταῖς δὲ δυσὶ τὰς κεφαλάς, ταῖς δὲ δυσὶ πετόμενα, καὶ λέγοντα ἅμα χιλίαις χιλιάσιν ἀρχαγγέλων καὶ μυρίαις μυριάσιν ἀγγέλων ἀκαταπαύστως καὶ ἀσιγήτως βοώσαις (καὶ πᾶς ὁ λαὸς ἅμα εἰπάτω) Ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ· εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ ὁ ἀρχιερεὺς ἑξῆς λεγέτω Ἅγιος γὰρ εἶ ὡς ἀληθῶς καὶ πανάγιος, ὕψιστος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· ἅγιος δὲ καὶ ὁ μονογενής σου υἱός, ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ χριστός, ὃς εἰς πάντα ὑπηρετησάμενός σοι τῷ θεῷ καὶ πατρὶ αὐτοῦ, εἴς τε δημιουργίαν διάφορον καὶ πρόνοιαν κατάλληλον, * οὐ περιεῖδε τὸ γένος τῶν ἀνθρώπων ἀπολλύμενον, ἀλλὰ μετὰ φυσικὸν νόμον, μετὰ νομικὴν παραίνεσιν, μετὰ προφητικοὺς ἐλέγχους καὶ τὰς τῶν ἀγγέλων ἐπιστασίας (παραφθειρόντων σὺν τῷ θετῷ καὶ τὸν φυσικὸν νόμον καὶ τῆς μνήμης ἐκβαλλόντων τὸν κατακλυσμόν, τὴν ἐκπύρωσιν, τὰς κατ' Αἰγυπτίων πληγάς, τὰς κατὰ Παλαιστινῶν σφαγάς, καὶ μελλόντων ὅσον οὐδέπω * ἀπόλλυσθαι πάντων) εὐδόκησεν αὐτὸς γνώμῃ σῇ ὁ δημιουργὸς ἀνθρώπου ἄνθρωπος γενέσθαι, ὁ νομοθέτης ὑπὸ νόμους, ὁ ἀρχιερεὺς ἱερεῖον, ὁ ποιμὴν πρόβατον, καὶ ἐξευμενίσατό σε τὸν ἑαυτοῦ θεὸν καὶ πατέρα καὶ τῷ κόσμῳ κατήλλαξε καὶ τῆς ἐπικειμένης ὀργῆς τοὺς πάντας ἠλευθέρωσε γενόμενος ἐκ παρθένου, γενόμενος ἐν σαρκὶ ὁ θεὸς λόγος, ὁ ἀγαπητὸς υἱός, ὁ πρωτότοκος πάσης κτίσεως, κατὰ τὰς περὶ αὐτοῦ ὑπ' αὐτοῦ προρρηθείσας προφητείας ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραάμ, φυλῆς Ἰούδα, καὶ γέγονεν ἐν μήτρᾳ παρθένου ὁ διαπλάσσων πάντας τοὺς γεννωμένους, καὶ ἐσαρκώθη ὁ ἄσαρκος, * ὁ ἀχρόνως γεννηθεὶς ἐν χρόνῳ γεγέννηται. πολιτευσάμενος * ὁσίως καὶ παιδεύσας ἐνθέσμως, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐξ

4 Isaj 6, 3 | 24 Col 1, 15 | 30 Matth 4, 23

1 ταῖς δὲ δυσὶ bis] δυσὶ δὲ y | 1 δυσὶν x bis | 2 ἀρχαγγέλων > x | 3 βοῶσιν y | 3 καὶ alterum xt, ἔπειτα y | 9 ὃς t, ὁ xy | 10 ὑπηρετισάμενος y | 10 αὐτοῦ καὶ πατρὶ yt | 11 ὃς δι' οἰκτιρμοὺς + y | 11 περιῖδεν x | 14 παραφθειράντων y | 15 θεῷ Y | 15. 16 ἐκβαλόντων xy | 17 κατὰ > y | 17 παλαιστηνῶν t | 17. 18 ὅσον οὐδέπω μελλόντων y | 18 οὐδέπω + y | 22 κατήλλαξεν x | 23 ἠλευθέρωσεν x | 25 πρὸρηθείσας x | 28 καὶ + y | 29 τε + y

ἀνθρώπων ἀπελάσας σημεῖά τε καὶ τέρατα ἐν τῷ λαῷ ποιήσας, * τροφῆς καὶ ποτοῦ καὶ ὕπνου μεταλαβὼν ὁ τρέφων πάντας τοὺς χρήζοντας τροφῆς καὶ ἐμπιπλῶν πᾶν ζῷον εὐδοκίας, ἐφανέρωσέ σου τὸ ὄνομα τοῖς ἀγνοοῦσιν αὐτό, τὴν ἄγνοιαν ἐφυγάδευσε, τὴν εὐσέβειαν ἀνεζωπύρησε, τὸ θέλημά σου ἐπλήρωσε, τὸ ἔργον ὃ ἔδωκας αὐτῷ ἐτελείωσε· καὶ ταῦτα πάντα κατορθώσας, χερσὶν ἀνόμων κατασχεθεὶς ἱερέων καὶ ἀρχιερέων ψευδωνύμων καὶ λαοῦ παρανόμου προδοσίᾳ τοῦ τὴν κακίαν νοσήσαντος καὶ πολλὰ παθὼν ὑπ' αὐτῶν καὶ πᾶσαν * ἀτιμίαν ὑποστὰς σῇ συγχωρήσει, παραδοθεὶς Πιλάτῳ τῷ ἡγεμόνι καὶ κριθεὶς ὁ κριτὴς καὶ κατακριθεὶς ὁ σωτήρ, σταυρῷ προσηλώθη ὁ ἀπαθὴς καὶ ἀπέθανεν ὁ τῇ φύσει ἀθάνατος καὶ ἐτάφη ὁ ζωοποιός, ἵνα πάθους λύσῃ καὶ θανάτου ἐξέληται τούτους * δι' οὓς παρεγένετο, καὶ ῥήξῃ τὰ δεσμὰ τοῦ διαβόλου καὶ ῥύσηται τοὺς ἀνθρώπους ἐκ τῆς ἀπάτης αὐτοῦ. καὶ ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ τεσσαράκοντα ἡμερῶν συνδιατρίψας τοῖς μαθηταῖς ἀνελήφθη εἰς τοὺς οὐρανοὺς καὶ ἐκαθέσθη ἐκ δεξιῶν σου τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ. μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι, θεὲ παντοκράτορ, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν. ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσὶ καὶ ἀναβλέψας πρὸς σέ, τὸν θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς, εἰπὼν Τοῦτο τὸ μυστήριον τῆς καινῆς διαθήκης, λάβετε ἐξ αὐτοῦ, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὡσαύτως καὶ τὸ ποτήριον κεράσας ἐξ οἴνου καὶ ὕδατος καὶ ἁγιάσας ἐπέδωκεν αὐτοῖς, λέγων Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις

3 Psalm 145, 16 | 6 Ioh 17, 4 | 22 Cor α 11, 23—26

1 ἀπήλασε y | 2 καὶ + y | 4 ἐφανέρωσέν x | 5 ἐφυγάδευσεν x | 5 ἐξωπύρισεν x, ἀνεζωπύρησε y, ἀνεζωπήρωσε t | 6 ἐπλήρωσεν x | 6 ἐτελείωσεν x | 10 ἄτι + t | 12 ἀπαθείς X | 14 τούτοις y? | 14 τοὺς + yt | 15 ῥήξει x | 17 ἡμέρας ἐνδιατρίψας t | 20 παντοκράτωρ x | 23 χερσὶν x | 24 ἔδωκεν x | 26 ἐστιν x | 29 πίστε x | 30 ἐστιν x

*γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τὸν ἐμὸν καταγγέλλετε, ἄχρις ἂν ἔλθω. μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ καὶ τοῦ θανάτου καὶ τῆς * ἀναστάσεως καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ ἔρχεται * κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομέν σοι, τῷ βασιλεῖ καὶ θεῷ, κατὰ τὴν αὐτοῦ διάταξιν τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο, εὐχαριστοῦντές σοι δι' αὐτοῦ ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου καὶ ἱερατεύειν σοι· καὶ ἀξιοῦμέν σε ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς θεός, καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς τιμὴν τοῦ χριστοῦ σου καὶ καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σῶμα τοῦ χριστοῦ σου καὶ τὸ ποτήριον τοῦτο αἷμα τοῦ χριστοῦ σου· ἵνα οἱ μεταλαβόντες αὐτοῦ βεβαιωθῶσι πρὸς εὐσέβειαν, ἀφέσεως * ἁμαρτημάτων τύχωσι, τοῦ διαβόλου καὶ τῆς πλάνης αὐτοῦ ῥυσθῶσι, πνεύματος ἁγίου πληρωθῶσιν, ἄξιοι τοῦ χριστοῦ σου γένωνται, ζωῆς αἰωνίου τύχωσι, σοῦ καταλλαγέντος αὐτοῖς, δέσποτα παντοκράτορ. ἔτι δεόμεθά σου, κύριε, καὶ ὑπὲρ τῆς ἁγίας σου ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ σου, ὅπως αὐτὴν διαφυλάξῃς ἄσειστον καὶ ἀκλυδώνιστον ἄχρι τῆς συντελείας τοῦ αἰῶνος· καὶ ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὀρθοτομούσης τὸν λόγον τῆς ἀληθείας. ἔτι * παρακαλοῦμέν σε καὶ ὑπὲρ τῆς ἐμῆς τοῦ προσφέροντός σοι οὐδενίας καὶ ὑπὲρ παντὸς τοῦ πρεσβυτερίου, ὑπὲρ τῶν διακόνων καὶ παντὸς τοῦ κλήρου, ἵνα πάντας σοφίσας πνεύματος ἁγίου πληρώσῃς. ἔτι παρακαλοῦμέν σε, κύριε, ὑπὲρ τοῦ βασιλέως καὶ τῶν ἐν ὑπεροχῇ καὶ παντὸς τοῦ στρατοπέδου, ἵνα*

5 Petr α 4, 5 | 6 Rom 2, 6 | 22 Psalm 72, 8 | 23 Act 20, 28 | 25 Tim β 2, 15

1 *ἐὰν* t | 1. 2 *πίνητε τὸ ποτήριον τοῦτο* yt | 4 *ἐκ νεκρῶν* + yt | 5 *μετὰ δόξης καὶ δυνάμεως* + yt | 10 *ἐπιβλέψεις* x | 12 *εὐδοκήσεις* x | 15 *καὶ* .... 16 *σου* > y | 17 *βεβαιωθῶσιν* x | 17 *τε* + y | 18 *τύχωσιν* x | 18 *ρυσθῶσιν* x | 20 *τύχωσιν* x | 21 *παντοκράτωρ* x | 24 *διαφυλάξεις* X | 26 *δεόμεθα* + Y | 27 *οὐδενείας* y | 27 *καὶ* alterum > y

εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς, ὅπως ἐν ἡσυχίᾳ καὶ ὁμονοίᾳ διάγοντες τὸν πάντα χρόνον τῆς ζωῆς ἡμῶν δοξάζωμέν σε διὰ Ἰησοῦ χριστοῦ τῆς ἐλπίδος ἡμῶν. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι ἁγίων, πατριαρχῶν, προφητῶν, δικαίων, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, παρθένων, χηρῶν, λαϊκῶν καὶ πάντων ὧν ἐπίστασαι αὐτὸς τὰ ὀνόματα. ἔτι προσφέρομέν σοι ὑπὲρ τοῦ λαοῦ τούτου, ἵνα ἀναδείξῃς αὐτὸν εἰς ἔπαινον τοῦ χριστοῦ σου βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ, ὑπὲρ τῶν χηρῶν τῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν σεμνοῖς γάμοις καὶ τεκνογονίαις, ὑπὲρ τῶν νηπίων τοῦ λαοῦ σου, ὅπως μηδένα ἡμῶν ἀπόβλητον ποιήσῃς. ἔτι ἀξιοῦμέν σε καὶ ὑπὲρ τῆς πόλεως ταύτης καὶ τῶν ἐνοικούντων *, ὑπὲρ τῶν ἐν ἀρρωστίαις, ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ, ὑπὲρ τῶν ἐν ἐξορίαις, ὑπὲρ τῶν ἐν δημεύσει, ὑπὲρ πλεόντων καὶ ὁδοιπορούντων, ὅπως πάντων ἐπίκουρος γένῃ, πάντων βοηθὸς καὶ ἀντιλήπτωρ. ἔτι παρακαλοῦμέν σε * ὑπὲρ τῶν μισούντων ἡμᾶς καὶ διωκόντων ἡμᾶς διὰ τὸ ὄνομά σου, ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων, ὅπως ἐπιστρέψῃς αὐτοὺς εἰς ἀγαθὸν καὶ τὸν θυμὸν αὐτῶν πραΰνῃς. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν κατηχουμένων τῆς ἐκκλησίας καὶ ὑπὲρ τῶν χειμαζομένων ὑπὸ τοῦ ἀλλοτρίου καὶ ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν, ὅπως τοὺς μὲν τελειώσῃς ἐν τῇ πίστει, τοὺς δὲ καθαρίσῃς * ἐνεργείας τοῦ πονηροῦ, τῶν δὲ τὴν μετάνοιαν προσδέξῃ, καὶ συγχωρήσῃς καὶ αὐτοῖς καὶ ἡμῖν τὰ παραπτώματα ἡμῶν. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ τῆς εὐκρασίας τοῦ ἀέρος καὶ τῆς εὐφορίας τῶν καρπῶν, ὅπως ἀνελλιπῶς μεταλαμβάνοντες τῶν παρὰ σοῦ ἀγαθῶν, αἰνῶμέν σε ἀπαύστως τὸν διδόντα τροφὴν πάσῃ σαρκί. ἔτι πα-

3 Tim α 1, 1 | 10 Petr α 2, 9 | 20 Matth 10, 22 | 31 Psalm 136, 25

1 εἰρηνεύονται x | 2 δοξάζομέν y | 4 σοι εὐαρεστησάντων y | 8 αὐτὸς ἐπίστασαι yt | 15 ἐν αὐτῇ + y | 16 ἐξωρίαις x | 18 πάντων prius > t | 19 καὶ + yt | 22 αὐτὸν πραύνεις x, sed ″νῃς corr | 23 καὶ > y | 24 καὶ > y | 26 ἐκ τῆς + yt | 30 ἀνελλειπῶς xt | 30. 31 αἰνοῦμέν xyt

*ρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν δι' εὔλογον αἰτίαν ἀπόντων, ὅπως ἅπαντας ἡμᾶς διατηρήσας ἐν τῇ εὐσεβείᾳ ἐπισυναγάγῃς ἐν τῇ βασιλείᾳ τοῦ χριστοῦ σου, τοῦ θεοῦ πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, τοῦ βασιλέως ἡμῶν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους· ὅτι σοὶ πᾶσα δόξα, σέβας καὶ εὐχαριστία, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀνεκλιπεῖς καὶ ἀτελευτήτους. καὶ πᾶς ὁ λαὸς λεγέτω Ἀμήν. καὶ ὁ ἐπίσκοπος εἰπάτω Ἡ εἰρήνη τοῦ θεοῦ εἴη μετὰ πάντων ὑμῶν· καὶ πᾶς ὁ λαὸς λεγέτω Καὶ μετὰ τοῦ πνεύματός σου. καὶ ὁ διάκονος κηρυσσέτω πάλιν Ἔτι καὶ ἔτι δεηθῶμεν τοῦ θεοῦ διὰ τοῦ χριστοῦ αὐτοῦ. ὑπὲρ τοῦ δώρου τοῦ προσκομισθέντος κυρίῳ τῷ θεῷ δεηθῶμεν, ὅπως ὁ ἀγαθὸς θεὸς προσδέξηται αὐτὸ διὰ τῆς μεσιτείας τοῦ χριστοῦ αὐτοῦ εἰς τὸ ἐπουράνιον αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας. ὑπὲρ τῆς ἐκκλησίας ταύτης καὶ τοῦ λαοῦ δεηθῶμεν. ὑπὲρ πάσης ἐπισκοπῆς, παντὸς πρεσβυτερίου, πάσης τῆς ἐν χριστῷ διακονίας,* * *παντὸς τοῦ πληρώματος τῆς ἐκκλησίας δεηθῶμεν, ὅπως ὁ κύριος πάντας διατηρήσῃ καὶ φυλάξῃ. ὑπὲρ βασιλέων καὶ τῶν ἐν ὑπεροχῇ δεηθῶμεν, ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς, ὅπως ἤρεμον καὶ ἡσύχιον βίον ἔχοντες διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. τῶν ἁγίων μαρτύρων μνημονεύσωμεν, ὅπως κοινωνοὶ γενέσθαι τῆς ἀθλήσεως αὐτῶν καταξιωθῶμεν. ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων δεηθῶμεν. ὑπὲρ τῆς εὐκρασίας τῶν ἀέρων καὶ τελεσφορίας τῶν καρπῶν δεηθῶμεν. ὑπὲρ τῶν νεοφωτίστων δεηθῶμεν, ὅπως βεβαιωθῶσιν ἐν τῇ πίστει. πάντες ὑπὲρ ἀλλήλων παρακαλέσωμεν. ἀνάστησον ἡμᾶς, ὁ θεός, ἐν τῇ χάριτί σου. ἀναστάντες ἑαυτοὺς τῷ θεῷ διὰ τοῦ χριστοῦ αὐτοῦ παραθώμεθα. καὶ ὁ ἐπίσκοπος λεγέτω Ὁ θεὸς ὁ*

16 Eph 5, 2 | 22 Tim α 2, 2

7 *καὶ* primum > y | 8 *ἀνεκλιπεῖς καὶ ἀτελευτήτους* ante *αἰῶνας* 7 yt, sed *ἀνελλειπεῖς* t: *ἀνεκλειπεῖς* x | 9 *λεγέτῳ* y | 14 *αὐτῷ* X | 15 *μεσιτίας* x | 16 *εὐοδίας* t | 18 *καὶ ὑπηρεσίας* + yt | 20 *διαφυλάξῃ* yt | 21 *εἰρηνεύονται* x | 27 *ὑπὲρ* ... 28 *δεηθῶμεν* > y | 28. 29 *ὑπ' ἄλλων παρακαλέσθωσαν* t

μέγας καὶ μεγαλώνυμος, ὁ μέγας τῇ βουλῇ καὶ κραταιὸς τοῖς ἔργοις, ὁ θεὸς καὶ πατὴρ τοῦ ἁγίου παιδός σου Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸ ποίμνιόν σου τοῦτο, ὃ δι' αὐτοῦ ἐξελέξω εἰς δόξαν τοῦ ὀνόματός σου· καὶ ἁγιάσας ἡμῶν τὰ σώματα καὶ τὴν ψυχὴν καταξίωσον, καθαροὺς γενομένους ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, τυχεῖν τῶν προκειμένων ἀγαθῶν· καὶ μηδένα ἡμῶν ἀνάξιον κρίνῃς, ἀλλὰ βοηθὸς ἡμῶν γενοῦ, ἀντιλήπτωρ, ὑπερασπιστὴς διὰ τοῦ χριστοῦ σου· μεθ' οὗ σοι δόξα, τιμή, αἶνος, δοξολογία, εὐχαριστία καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ μετὰ τὸ πάντας εἰπεῖν Ἀμὴν ὁ διάκονος λεγέτω Πρόσχωμεν· καὶ ὁ ἐπίσκοπος προσφωνησάτω τῷ λαῷ οὕτως Τὰ ἅγια τοῖς ἁγίοις· καὶ ὁ λαὸς ὑπακουέτω Εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς χριστὸς εἰς δόξαν θεοῦ πατρὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν. δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. καὶ μετὰ τοῦτο μεταλαμβανέτω ὁ ἐπίσκοπος, ἔπειτα οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι καὶ οἱ ὑποδιάκονοι καὶ οἱ ἀναγνῶσται καὶ οἱ ψάλται καὶ οἱ ἀσκηταί, καὶ ἐν ταῖς γυναιξὶν αἱ διάκονοι καὶ αἱ παρθένοι καὶ αἱ χῆραι, εἶτα τὰ παιδία, καὶ τότε πᾶς ὁ λαὸς κατὰ τάξιν μετὰ αἰδοῦς καὶ εὐλαβείας ἄνευ θορύβου. καὶ ὁ μὲν ἐπίσκοπος διδότω τὴν προσφορὰν λέγων Σῶμα χριστοῦ, καὶ ὁ δεχόμενος λεγέτω Ἀμήν· ὁ δὲ διάκονος κατεχέτω τὸ ποτήριον καὶ ἐπιδιδοὺς λεγέτω Αἷμα χριστοῦ, ποτήριον ζωῆς, καὶ ὁ πίνων λεγέτω Ἀμήν. ψαλμὸς δὲ λεγέσθω λγ ἐν τῷ μεταλαμβάνειν πάντας τοὺς λοιπούς. καὶ ὅταν πάντες μεταλάβωσι καὶ πᾶσαι, λαβόντες οἱ διάκονοι τὰ περισσεύσαντα εἰσφερέτωσαν εἰς τὰ παστοφόρια. καὶ ὁ διάκονος λε-

1 Deut 7, 21? | 2 Act 4, 27 | 6 Cor β 7, 1 | 16 Luc 2, 14 | 17 Matth 21, 9 | 28 Psalm 34

5 τὸ σῶμα yt | 11 τοὺς ὦνας x | 11 ἀμήν > y | 13 προσφωνησάτω y | 13 οὕτω yt | 19 λαμβανέτω y | 20 οἱ tertium > t | 21 καὶ primum > y | 25 διδότῳ y | 27 ἐπιδοὺς x | 28 ψαλμὸς ... λγ xt [τριακοστός τρίτος t], ὁ τριακοστὸς δὲ τρίτος ψαλμὸς λεγέσθω y | 29. 30 μεταλάβωσιν x | 30 πᾶ σαι litera erasa x | 31 πασταφόρια y

*γέτω, παυσαμένου τοῦ ψάλλοντος* | *Μεταλαβόντες τοῦ τι-* 13
*μίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ χριστοῦ εὐχα-*
*ριστήσωμεν τῷ καταξιώσαντι ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων*
*αὐτοῦ μυστηρίων, καὶ παρακαλέσωμεν μὴ εἰς κρίμα, ἀλλ'*
*εἰς σωτηρίαν ἡμῶν γενέσθαι, εἰς ὠφέλειαν ψυχῆς καὶ σώ-*
*ματος, εἰς φυλακὴν εὐσεβείας, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς*
*ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἐγειρώμεθα· ἐν χάριτι χρι-*
*στοῦ ἑαυτοὺς * τῷ μόνῳ ἀγεννήτῳ θεῷ καὶ τῷ χριστῷ αὐ-*
*τοῦ παραθώμεθα. καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω ** | *Δέ-* 14
*σποτα ὁ θεὸς ὁ παντοκράτωρ, ὁ πατὴρ τοῦ χριστοῦ σου τοῦ*
*εὐλογητοῦ παιδός, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων*
*σε ἐπήκοος, ὁ καὶ τῶν σιωπώντων ἐπιστάμενος τὰς ἐντεύ-*
*ξεις· εὐχαριστοῦμέν σοι ὅτι κατηξίωσας ἡμᾶς μεταλαβεῖν*
*τῶν ἁγίων σου μυστηρίων, ἃ παρέσχου ἡμῖν εἰς πληροφο-*
*ρίαν τῶν καλῶς ἐγνωσμένων, εἰς φυλακὴν τῆς εὐσεβείας,*
*εἰς ἄφεσιν πλημμελημάτων· ὅτι τὸ ὄνομα τοῦ χριστοῦ σου*
*ἐπικέκληται ἐφ' ἡμᾶς, καὶ σοὶ προσῳκειώμεθα. ὁ χωρίσας*
*ἡμᾶς τῆς τῶν ἀσεβῶν κοινωνίας, ἕνωσον ἡμᾶς μετὰ τῶν*
*καθωσιωμένων σοι, στήριξον ἡμᾶς ἐν τῇ ἀληθείᾳ τῇ τοῦ*
*ἁγίου πνεύματος ἐπιφοιτήσει, τὰ ἀγνοούμενα ἀποκάλυψον,*
*τὰ λείποντα προσαναπλήρωσον, τὰ ἐγνωσμένα κράτυνον.*
*τοὺς ἱερεῖς ἀμώμους φύλαξον ἐν τῇ λατρείᾳ σου· τοὺς*
*βασιλεῖς διατήρησον ἐν εἰρήνῃ, τοὺς ἄρχοντας ἐν δικαιο-*
*σύνῃ, τοὺς ἀέρας ἐν εὐκρασίᾳ, τοὺς καρποὺς ἐν εὐφορίᾳ,*
*τὸν κόσμον ἐν παναρκεῖ προνοίᾳ· τὰ ἔθνη τὰ πολεμικὰ*
*πράυνον, τὰ πεπλανημένα ἐπίστρεψον· τὸν λαόν σου ἁγία-*
*σον· τοὺς ἐν παρθενίᾳ διατήρησον, τοὺς ἐν γάμῳ διαφύ-*
*λαξον ἐν πίστει, τοὺς ἐν ἁγνείᾳ ἐνδυνάμωσον· τὰ νήπια*
*ἄδρυνον, τοὺς νεοτελεῖς βεβαίωσον, τοὺς ἐν κατηχήσει παί-*
*δευσον καὶ τῆς μυήσεως ἀξίους ἀνάδειξον· καὶ πάντας ἡμᾶς*
*ἐπισυνάγαγε εἰς τὴν τῶν οὐρανῶν βασιλείαν ἐν χριστῷ Ἰη-*
*σοῦ τῷ κυρίῳ ἡμῶν· μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ*
*τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ ὁ διάκονος*

2 Petr α 1, 19

5 ἡμῖν yt | 7 ἐγειρώμεθα xt, ἀναστῶμεν y | 8 τῷ θεῷ + t | 9 λέγει + y | 10 παντοκράτορ t | 11 εὐλογημένου y | 11 ἐπικαλούμενόν x | 17 προσοικειώμεθα xy | 19 καθοσιωμένων x | 19 στήριξον t | 21 λειπόμενα x | 22 διαφύλαξον yt | 24 ἀέαρας x | 25 παναλκεῖ t

λεγέτω Τῷ θεῷ διὰ τοῦ χριστοῦ αὐτοῦ κλίνατε καὶ εὐλογεῖσθε· καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀσύγκριτος, ὁ πανταχοῦ ὢν καὶ τοῖς πᾶσι παρὼν καὶ ἐν οὐδενὶ ὡς ἐνόν τι ὑπάρχων, ὁ τόποις μὴ περιγραφόμενος, ὁ χρόνοις μὴ παλαιούμενος, ὁ αἰῶσι μὴ περαιούμενος, ὁ λόγοις μὴ παραγόμενος, ὁ γενέσει μὴ ὑποκείμενος, ὁ φυλακῆς μὴ δεόμενος, ὁ φθορᾶς ἀνώτερος, ὁ τροπῆς ἀνεπίδεκτος, ὁ φύσει ἀναλλοίωτος, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὁ τῇ φύσει ἀόρατος, ὁ γνωστὸς πάσαις ταῖς μετ' εὐνοίας ἐκζητούσαις σε λογικαῖς φύσεσιν, ὁ καταλαμβανόμενος ὑπὸ τῶν ἐν εὐνοίᾳ ἐπιζητούντων σε, ὁ θεὸς Ἰσραήλ, τοῦ ἀληθινῶς ὁρῶντος, τοῦ εἰς χριστὸν πιστεύσαντος λαοῦ σου· εὐμενὴς γενόμενος ἐπάκουσόν μου διὰ τὸ ὄνομά σου καὶ εὐλόγησον τούς σοι κεκλικότας τοὺς ἑαυτῶν αὐχένας, καὶ δὸς αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν τὰ ἐπὶ συμφέροντι καὶ μηδένα αὐτῶν ἀπόβλητον ποιήσῃς ἐκ τῆς βασιλείας σου, ἀλλὰ ἁγίασον αὐτούς, φρούρησον, σκέπασον, ἀντιλαβοῦ, ῥῦσαι τοῦ ἀλλοτρίου, παντὸς ἐχθροῦ, τοὺς οἴκους αὐτῶν φύλαξον, τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους φρούρησον· ὅτι σοὶ δόξα, αἶνος, μεγαλοπρέπεια, σέβας, προσκύνησις καὶ τῷ σῷ παιδὶ Ἰησοῦ τῷ χριστῷ σου, τῷ κυρίῳ ἡμῶν καὶ θεῷ καὶ βασιλεῖ, καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. καὶ ὁ διάκονος ἐρεῖ Ἀπολύεσθε ἐν εἰρήνῃ. ταῦτα περὶ τῆς μυστικῆς λατρείας διατασσόμεθα ἡμεῖς οἱ ἀπόστολοι ὑμῖν τοῖς ἐπισκόποις καὶ τοῖς πρεσβυτέροις καὶ
15 τοῖς διακόνοις. | περὶ δὲ χειροτονίας πρεσβυτέρων ἐγὼ ὁ φιλούμενος ὑπὸ τοῦ κυρίου διατάσσομαι ὑμῖν τοῖς ἐπισκόποις Πρεσβύτερον χειροτονῶν, ὦ ἐπίσκοπε, τὴν χεῖρα ἐπὶ τῆς κεφαλῆς ἐπιτίθει αὐτός, τοῦ πρεσβυτερίου παρεστῶτός

8 Tim α 6, 16 | 19 Psalm 121, 8

3 ἀληθηνὸς y | 5 περιγραπτόμενος x | 5. 6 αἰῶσιν x | 6 περατούμενος yt [όν y] | 9 ὁ alterum > y | 17 αὐτάς y | 20 φρούρησον xt, εὐλόγησον y | 26 τοῖς alterum > x | 27 διαταγαὶ περὶ χειροτονίας πρεσβυτέρων, διακόνων, ἀναγνώστων, ὑποδιακόνων, διακονισσῶν, βιβλίον η titulus w, sed pr m ὑποδιακόνων ἀναγνώστων correctum: 27 περὶ ... 29 ποις x ut solet rubricas scribere m pr in margine | 27 δὲ > w | 30 ἐπίθεται w | 30 παρεστῶτω W, ν + corrector

*σοι καὶ τῶν διακόνων, καὶ εὐχόμενος λέγε Κύριε παντο-*
*κράτωρ, ὁ θεὸς ἡμῶν ὁ διὰ χριστοῦ σου τὰ πάντα δημιουργή-*
*σας καὶ δι' αὐτοῦ τῶν ὅλων προνοῶν καταλλήλως· ᾧ γὰρ*
*δύναμις διάφορα ποιῆσαι, τούτῳ δύναμις καὶ διαφόρως προ-*
*νοῆσαι· διὰ γὰρ αὐτοῦ, ὁ θεός, προνοεῖς τῶν μὲν ἀθανά-*
*των φυλακῇ μόνῃ, τῶν δὲ θνητῶν διαδοχῇ, τῆς ψυχῆς*
*φροντίδι νόμων, τοῦ σώματος ἀναπληρώσει τῆς ἐνδείας·*
*αὐτὸς οὖν καὶ νῦν ἐπίβλεψον ἐπὶ τὴν ἁγίαν σου ἐκκλησίαν*
*καὶ αὔξησον αὐτήν, καὶ πλήθυνον τοὺς ἐν αὐτῇ προεστῶ-*
*τας καὶ δὸς δύναμιν πρὸς τὸ κοπιᾶν αὐτοὺς λόγῳ καὶ ἔργῳ*
*εἰς οἰκοδομὴν τοῦ λαοῦ σου. αὐτὸς καὶ νῦν ἔπιδε * ἐπὶ τὸν*
*δοῦλόν σου τοῦτον τὸν ψήφῳ καὶ κρίσει τοῦ κλήρου παν-*
*τὸς εἰς πρεσβυτέριον ἐπιδοθέντα, καὶ ἔμπλησον αὐτὸν πνεῦ-*
*μα χάριτος καὶ συμβουλίας * τοῦ ἀντιλαμβάνεσθαι καὶ κυ-*
*βερνᾶν τὸν λαόν σου ἐν καθαρᾷ καρδίᾳ, ὃν τρόπον ἐπεῖ-*
*δες ἐπὶ λαὸν ἐκλογῆς σου καὶ προσέταξας Μωϋσεῖ αἱρήσασθαι*
*πρεσβυτέρους, οὓς * ἐνέπλησας πνεύματος· καὶ νῦν, κύριε,*
*παράσχου, ἀνελλιπὲς τηρῶν ἐν ἡμῖν τὸ πνεῦμα τῆς χάριτός*
*σου, ὅπως, πλησθεὶς ἐνεργημάτων ἰατικῶν καὶ λόγου διδα-*
*κτικοῦ, ἐν πραότητι παιδεύῃ σου τὸν λαὸν καὶ δουλεύῃ σοι*
*εἰλικρινῶς ἐν καθαρᾷ διανοίᾳ καὶ ψυχῇ θελούσῃ, καὶ τὰς*
*ὑπὲρ τοῦ λαοῦ σου ἱερουργίας ἀμώμους ἐκτελῇ· διὰ τοῦ χρι-*
*στοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύ-*
*ματι εἰς τοὺς αἰῶνας· ἀμήν.* | *περὶ δὲ χειροτονίας διακόνων* 16
*ἐγὼ Φίλιππος διατάσσομαι Διάκονον καταστήσεις, ὦ ἐπί-*
*σκοπε, ἐπιθεὶς αὐτῷ τὰς χεῖρας, παρεστῶτός σοι παντὸς*
*τοῦ πρεσβυτερίου καὶ τῶν διακόνων· καὶ ἐπευξάμενος ἐρεῖς*
| *Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀψευδής, ὁ πλου-* 17

28 Rom 10, 12

1. 2 *παντοκράτορ* y | 2 *σου* > yt | 5 *αὐτοῦ* wxy, *τοῦτο* t | 7 *φρωντίδι* w | 8 *οὖν* > y | 9 *καὶ αὔξησον αὐτὴν* > y | 11 *αὐτὸς καὶ νῦν* > y | 11 *καὶ* + y | 13. 14 *πνσ̄* w, sed *σ* a correctore, *πνεῦμα* xt, > y | 14 *συμβουλείας* w | 14 *πνευματικῆς* + y | 15 *τρόπωϋν* w | 15. 16 *ἐπίδες* Wxt | 16 *μωϋσῆι* w, *μωϋσῆ* X, *μωσῆ* y, *ω σεῖ* t duarum literarum spatio vacuo | 16 *αἱρήσασθαι* wx, *αἱρεῖσθαι* t, *ἑλέσθαι* y | 17 *καὶ* + y | 17 *ἔπλησας* yt | 17 *καὶ .... 18 ἡμῖν* wxt [*ἀνελληπὲς* w, *ἀνεκλειπες* x], *τήρησον ἐν αὐτῷ ἀνεκλειπές* y | 19 *ἐνεργημάτων ἰατικῶν* wxt, *σοφίας* y | 20 *τὸν λαόν σου* wy | 20 *δουλεύει* w | 22 *σου* > t | 22 *ἐκτελεῖ* W, *ἐκτελεῖν* w | 24 *δὲ* > w | 28 *παντοκράτορ* y

τῶν εἰς πάντας τοὺς ἐπικαλουμένους σε ἐν ἀληθείᾳ, ὁ φο-
βερὸς ἐν βουλαῖς, ὁ σοφὸς * διανοίᾳ, ὁ κραταιὸς καὶ μέγας·
εἰσάκουσον προσευχῆς ἡμῶν, κύριε, καὶ ἐνώτισαι τὴν δέη-
σιν ἡμῶν, καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν
σου τόνδε τὸν προχειριζόμενόν σοι εἰς διακονίαν, καὶ πλῆ-
σον αὐτὸν πνεύματος * καὶ δυνάμεως, ὡς ἔπλησας Στέ-
φανον τὸν μάρτυρα καὶ μιμητὴν τῶν παθημάτων τοῦ χρι-
στοῦ σου· καὶ καταξίωσον αὐτόν, εὐαρέστως λειτουργήσαντα
τὴν ἐγχειρισθεῖσαν αὐτῷ διακονίαν ἀτρέπτως, ἀμέμπτως,
ἀνεγκλήτως, μείζονος ἀξιωθῆναι βαθμοῦ· διὰ τῆς μεσιτείας
τοῦ μονογενοῦς σου υἱοῦ, μεθ᾽ οὗ σοι δόξα, τιμὴ καὶ σέ-
18 βας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. | περὶ
* διακονίσσης * Βαρθολομαῖος διατάσσομαι· Ὦ ἐπίσκοπε,
ἐπιθήσεις αὐτῇ τὰς χεῖρας, παρεστῶτος τοῦ πρεσβυτερίου
19 καὶ τῶν διακόνων καὶ τῶν διακονισσῶν, καὶ ἐρεῖς | Ὁ θεὸς
ὁ αἰώνιος, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ὁ ἀν-
δρὸς καὶ γυναικὸς δημιουργός, ὁ πληρώσας πνεύματος Μα-
ριὰμ καὶ Δεββῶραν καὶ Ἄνναν καὶ Ὀλδάν, ὁ μὴ ἀπαξιώ-
σας τὸν μονογενῆ σου υἱὸν γεννηθῆναι ἐκ γυναικός, ὁ καὶ
ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου καὶ ἐν τῷ ναῷ προχειρισάμε-
νος τὰς φρουροὺς τῶν ἁγίων σου πυλῶν· αὐτὸς καὶ νῦν
ἔπιδε ἐπὶ τὴν δούλην σου τήνδε τὴν προχειριζομένην εἰς
διακονίαν, καὶ δὸς αὐτῇ πνεῦμα ἅγιον καὶ καθάρισον αὐ-
τὴν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος πρὸς τὸ
ἀξίως ἐπιτελεῖν αὐτὴν τὸ ἐγχειρισθὲν αὐτῇ ἔργον εἰς δό-
ξαν σὴν καὶ ἔπαινον τοῦ χριστοῦ σου, μεθ᾽ οὗ σοι δόξα
καὶ προσκύνησις καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας·
20 ἀμήν. | περὶ δὲ ὑποδιακόνων ἐγὼ Θωμᾶς διατάσσομαι ὑμῖν
τοῖς ἐπισκόποις· Ὑποδιάκονον χειροτονῶν, ὦ ἐπίσκοπε, ἐπι-
θήσεις ἐπ᾽ αὐτῷ τὰς χεῖρας καὶ ἐρεῖς Δέσποτα θεέ, οὐρα-

4 Psalm 31, 17 | 24 Cor β 7, 1

2 ἐν + w | 5 τὸν > Y | 5 σοι > wy | 5. 6 πλῆσσον W | 6 ἁγίου + t | 8 ἐνχαρίστως w | 8 λειτουργήσαντα wxt, ἐπιτελέσαντα y | 11 μονογενοῦ w | 13 δὲ + yt | 13 διακονίσης w | 13 ἐγὼ + y | 17 πνεύματι x | 18 δεββώῤῥαν y, δεβόρραν t | 19 μονογενῆι w | 25 ἐπαξίως yt | 27 καὶ prius > w | 28. 29 ὑμῖν τοῖς ἐπισκόποις > w | 30 αὐτὸν w

νοῦ καὶ γῆς δημιουργὲ καὶ πάντων τῶν ἐν αὐτοῖς, ὁ καὶ
ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου τοὺς νεωκόρους ἀναδείξας τῶν
ἁγίων σου σκευῶν φύλακας, αὐτὸς καὶ νῦν ἐπίβλεψον ἐπὶ
τὸν δοῦλόν σου τόνδε τὸν χειροτονηθέντα ὑποδιάκονον, καὶ
δὸς αὐτῷ πνεῦμα ἅγιον πρὸς τὸ ἐπαξίως ἐφάπτεσθαι τῶν
λειτουργικῶν σου σκευῶν καὶ ποιεῖν τὸ θέλημά σου δια-
παντὸς διὰ τοῦ χριστοῦ σου, μεθ᾽ οὗ σοι δόξα, τιμὴ καὶ
σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. | περὶ 21
δὲ ἀναγνωστῶν ἐγὼ Ματθαῖος ὁ καὶ Λευὶς ὅ ποτε τελώνης
διατάσσομαι Ἀναγνώστην προχείρισαι ἐπιθεὶς αὐτῷ τὴν
χεῖρα, καὶ ἐπευξάμενος πρὸς τὸν θεὸν λέγε | Ὁ θεὸς ὁ αἰώ- 22
νιος, ὁ πολὺς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὁ τὴν τοῦ κόσμου
σύστασιν διὰ τῶν ἐνεργουμένων φανεροποιήσας καὶ τὸν
ἀριθμὸν * τῶν ἐκλεκτῶν σου διαφυλάττων· αὐτὸς καὶ
νῦν ἔπιδε ἐπὶ τὸν * ἐγχειριζόμενον τὰς ἁγίας σου γρα-
φὰς ἀναγινώσκειν τῷ λαῷ σου, καὶ δὸς αὐτῷ πνεῦμα ἅγιον,
πνεῦμα προφητικόν. ὁ σοφίσας Ἔσδραν τὸν θεράποντά σου
ἐπὶ τὸ ἀναγινώσκειν τοὺς νόμους σου τῷ λαῷ σου, καὶ νῦν
παρακαλούμενος ὑφ᾽ ἡμῶν σόφισον τὸν δοῦλόν σου καὶ δὸς
αὐτῷ, ἀκατάγνωστον διανύσαντα τὸ ἐγχειρισθὲν αὐτῷ ἔργον,
ἄξιον ἀναδειχθῆναι μείζονος βαθμοῦ διὰ χριστοῦ, μεθ᾽ οὗ
σοι ἡ δόξα καὶ τὸ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς
αἰῶνας· ἀμήν. | Ἰάκωβος * ὁ Ἀλφαίου κἀγὼ διατάσσομαι 23
περὶ ὁμολογητῶν Ὁμολογητὴς οὐ χειροτονεῖται· γνώμης γὰρ
τοῦτο καὶ ὑπομονῆς· τιμῆς δὲ μεγάλης ἐπάξιος, ὡς ὁμολο-
γήσας τὸ ὄνομα τοῦ θεοῦ καὶ τοῦ χριστοῦ αὐτοῦ ἐνώπιον
ἐθνῶν καὶ βασιλέων. ἐὰν δὲ χρεία αὐτοῦ ᾖ εἰς ἐπίσκοπον
ἢ πρεσβύτερον ἢ διάκονον, χειροτονεῖται. εἰ δέ τις ὁμολο-
γητὴς μὴ χειροτονηθεὶς ἁρπάσῃ ἑαυτῷ ἀξίωμά τι τοιοῦτον

17 Esdr α 9, 4

4 σου > w | 4 χειροτονηθέντα wx, προχειρισθέντα yt | 5 αὐτὸ x | 6 λειτουργικῶν wyt, ἱερῶν x | 7 διὰ > y | 8 στοὺς w | 9 δὲ > w | 9 λευῆς w, λευὴς x | 10 προχείρησαι x | 11 ἐπευχόμενος y | 11 πρὸς τὸν θεὸν > y | 14 καὶ + w | 15 δοῦλον σου τὸν + t | 17 σοφήσας w | 19 σόφησον w | 20 ἀκαταγνώστως y | 20 ἀκατάγνωστον ... αὐτῷ > t | 23 Ἰάκωβος ... 24 ὁμολογητῶν m pr in margine x [ἀλφεοῦ x], περὶ δὲ ὁμολογητῶν ἐγὼ ἰάκωβος ὁ ἀλφαίου διατάσσομαι y | 23 δὲ + t | 25 δὲ xyt, γὰρ w | 28 ἢ διάκονον ... ὁμολογητὴς > w | 29 ἁρπάσει x

ὡς διὰ τὴν ὁμολογίαν, οὗτος καθαιρείσθω καὶ ἀποβαλλέ-
σθω· οὐ γάρ ἐστιν, ἐπείπερ ἤρνηται τὴν χριστοῦ διάταξιν
24 καὶ ἔστιν ἀπίστου χείρων. | ὁ αὐτὸς περὶ παρθένων * Παρ-
θένος οὐ χειροτονεῖται· ἐπιταγὴν γὰρ κυρίου οὐκ ἔχο-
μεν· γνώμης γάρ ἐστι τὸ ἔπαθλον, οὐκ ἐπὶ διαβολῇ τοῦ
25 γάμου, ἀλλ' ἐπὶ σχολῇ τῆς εὐσεβείας. | κἀγὼ Λεββαῖος
ὁ ἐπικληθεὶς Θαδδαῖος τάδε περὶ χηρῶν διατάσσομαι Χήρα
οὐ χειροτονεῖται, ἀλλ' εἰ μὲν ἐκ πολλοῦ ἀπέβαλε τὸν ἄν-
δρα καὶ σωφρόνως καὶ ἀκαταγνώστως ἔζησε καὶ τῶν οἰ-
κείων ἄριστα ἐπεμελήθη, ὡς Ἰουδὶθ καὶ Ἄννα αἱ σεμνότα-
ται, κατατασσέσθω εἰς τὸ χηρικόν· εἰ δὲ νεωστὶ ἀπέβαλε τὸν
ὁμόζυγον, μὴ πιστευέσθω, ἀλλὰ χρόνῳ νεότης κρινέσθω·
τὰ γὰρ πάθη ἔσθ' ὅτε καὶ συγγηρᾷ ἀνθρώποις, * μὴ ὑπὸ
κρείττονος χαλινοῦ εἰργόμενα. ὁ αὐτὸς περὶ ἐπορκιστοῦ
* Ἐπορκιστὴς οὐ χειροτονεῖται· εὐνοίας γὰρ ἑκουσίου
τὸ ἔπαθλον καὶ χάριτος θεοῦ διὰ χριστοῦ ἐπιφοιτήσει τοῦ
ἁγίου πνεύματος· ὁ γὰρ λαβὼν χάρισμα ἰαμάτων δι' ἀπο-
καλύψεως ὑπὸ θεοῦ ἀναδείκνυται, φανερᾶς οὔσης πᾶ-
σιν τῆς ἐν αὐτῷ χάριτος. ἐὰν δὲ χρεία αὐτοῦ γένηται εἰς
26 ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, χειροτονεῖται. | Σίμων
δὲ ὁ Κανανίτης κἀγὼ διατάσσομαι ὑπὸ πόσων ὀφείλει χει-
ροτονεῖσθαι ὁ ἐπίσκοπος Ἐπίσκοπος ὑπὸ τριῶν ἢ δύο ἐπι-
σκόπων χειροτονείσθω· ἐὰν δέ τις ὑπὸ ἑνὸς χειροτονηθῇ
ἐπισκόπου, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας αὐ-
τόν· ἐὰν δὲ ἀνάγκη καταλάβῃ ὑπὸ ἑνὸς ἐπισκόπου χειροτο-
νηθῆναι διὰ τὸ μὴ δύνασθαι πλείονας παραγενέσθαι, διω-
γμοῦ ὄντος ἢ ἄλλης τοιαύτης αἰτίας, ψήφισμα κομιζέτω τῆς

4 Cor α 7, 25

1 ὡς > y | 3 ἀπίστων w | 3 διατάσσομαι + t | 5 γνώμης in x ω habet ab homine non graeco scr, quid subsit nescio | 5 ἐστιν x | 7 Θαδαῖος t | 7 χειρῶν X | 8 ἀπέβαλεν x | 9 ἔζησεν x | 10 ἰουδὴθ X | 11 χειρικὸν w | 11 ἀπέβαλεν x | 13 ἐν ἄλλῳ. τὰ γὰρ πάθη ἐσθότε συνηγορεῖ ἀνθρώποις μὴ ὑπὸ κρείττονος χαλινοῦ εἰργόμενα margo t | 13 σὺνγηρᾷ y | 13 εἰ + t | 14 εἰργόμεθα t | 15 διατάσσομαι + t | 15 ἑκουσίου > w | 18. 19 πᾶσι yt | 20 ἐπόσκοπον X | 20. 21 διατάσσομαι κἀγὼ σίμων ὁ κανανίτης w, κἀγὼ σίμων ὁ κανανίτης διατάσσομαι y | 23 ὑφ' x | 23 χειροτονηθεῖ w | 24 ἐσκόπου W | 25 ἐπισκόπου > yt | 26 πλείονας παραγενέσθαι > w | 27 ὄντως x | 27 κομιζέσθω t | 27 τῆς > y

*ἐπιτροπῆς πλειόνων ἐπισκόπων.* | *ὁ αὐτὸς* * *περὶ κανόνων* 27 *Ἐπίσκοπος εὐλογεῖ, οὐκ εὐλογεῖται· χειροθετεῖ, χειροτονεῖ, προσφέρει· εὐλογίαν παρὰ ἐπισκόπων λαμβάνει, παρὰ δὲ πρεσβυτέρων οὐδαμῶς. ἐπίσκοπος καθαιρεῖ πάντα κληρικὸν ὄντα καθαιρέσεως ἄξιον, πλὴν ἐπισκόπου· μόνος γὰρ οὐχ οἷός τε ἐστίν. πρεσβύτερος εὐλογεῖ, οὐκ εὐλογεῖται· εὐλογίας δέχεται παρὰ ἐπισκόπου καὶ παρὰ συμπρεσβυτέρου, ὡσαύτως ἐπιδίδωσι συμπρεσβυτέρῳ· χειροθετεῖ, οὐ χειροτονεῖ, οὐ καθαιρεῖ, ἀφορίζει δὲ τοὺς ὑποβεβηκότας, ἐὰν ὦσιν ὑπεύθυνοι τῇ τοιαύτῃ τιμωρίᾳ. διάκονος οὐκ εὐλογεῖ· οὐ δίδωσιν εὐλογίαν, λαμβάνει δὲ παρὰ ἐπισκόπου καὶ πρεσβυτέρου· οὐ βαπτίζει, οὐ προσφέρει· τοῦ δὲ ἐπισκόπου προσενεγκόντος ἢ τοῦ πρεσβυτέρου, αὐτὸς ἐπιδίδωσι τῷ λαῷ, οὐχ ὡς ἱερεύς, ἀλλ' ὡς διακονούμενος ἱερεῦσιν. τῶν δὲ ἄλλων κληρικῶν τὸ τοῦ διακόνου ἔργον ποιῆσαι οὐδενὶ ἐξόν. διακόνισσα οὐκ εὐλογεῖ, ἀλλ' οὐδέ τι ὧν ποιοῦσιν οἱ πρεσβύτεροι ἢ οἱ διάκονοι ἐπιτελεῖ, ἀλλ' ἢ τοῦ φυλάττειν τὰς θύρας καὶ ἐξυπηρετεῖσθαι τοῖς πρεσβυτέροις ἐν τῷ βαπτίζεσθαι τὰς γυναῖκας διὰ τὸ εὐπρεπές. διάκονος ἀφορίζει ὑποδιάκονον, ἀναγνώστην, ψάλτην, διακόνισσαν, ἐὰν ᾖ τι τοιοῦτον, μὴ παρόντος πρεσβυτέρου. ὑποδιακόνῳ οὐκ ἔξεστιν ἀφορίσαι οὔτε μὴν ἀναγνώστῃ οὔτε ψάλτῃ οὔτε διακονίσσῃ, οὐ κληρικόν, οὐ λαϊκόν· ὑπηρέται γάρ εἰσι διακόνων.* | *περὶ* 28 * *ὕδατος καὶ ἐλαίου ἐγὼ Ματθίας διατάσσομαι Εὐλογείτω ὁ ἐπίσκοπος τὸ ὕδωρ ἢ τὸ ἔλαιον· ἐὰν δὲ μὴ παρῇ, εὐλογείτω ὁ πρεσβύτερος, παρεστῶτος τοῦ διακόνου. ἐπὰν δὲ ὁ ἐπίσκοπος παρῇ, παριστάσθω ὁ πρεσβύτερος καὶ ὁ διάκονος. λεγέτω δὲ οὕτως Κύριε Σαβαώθ, ὁ θεὸς τῶν δυνάμεων, κτίστα τῶν ὑδάτων καὶ χορηγὲ τοῦ ἐλαίου, οἰκτίρμων καὶ φιλάνθρωπε, ὁ δοὺς τὸ ὕδωρ πρὸς πόσιν καὶ κά-*

1 *διατάσσομαι* + t | 5 *ἄξιον ὄντα καθαιρέσεως* yt | 6 *οἷον* y | 6 *ἐστίν* > yt | 7 *παρὰ* alterum > yt | 7 *πρεσβυτέρου* w | 8 *ἐπιδίδωσιν* x | 8 *χειροτεθεῖ* t | 10 *τῇ τοιαύτῃ*] *τινὶ* y | 11 *εὐλογίας* y | 12. 13 *προσένέγκατος* w, *προσενέγκαντος* y | 13 *ἐπιδίδωσιν* x | 14 *ἱερεῦσι* yt | 15 *ἐξών* X | 15 *δια-* .... 19 *εὐπρεπές* w post 23 *διακόνων* | 20 *διακόνησσαν* w | 22 *ἀφορῆσαι* w | 23 *εἴσιν* x | 23 *περὶ* .... p 267, 22 fin > w in medio folio 135ª | 24 *δὲ* + yt | 24 *Ματθαῖος* t | 26 *εὐλογείτῳ* y | 28 *οὕτω* y | 29. 30 *οἰκτίρμον* t | 30 *ποίησιν* y

*θαρσιν, καὶ ἔλαιον τοῦ ἱλαρῦναι πρόσωπον εἰς ἀγαλλίαμα
εὐφροσύνης· αὐτὸς καὶ νῦν διὰ τοῦ χριστοῦ σου ἁγίασον
τὸ ὕδωρ τοῦτο καὶ τὸ ἔλαιον ἐπ' ὀνόματι τοῦ προσκομίσαντος
ἢ τῆς προσκομισάσης *, καὶ δὸς * δύναμιν ὑγείας ἐμποιητι-
κήν, νόσων ἀπελαστικήν, δαιμόνων φυγαδευτικήν, * πάσης
ἐπιβουλῆς διωκτικήν· διὰ χριστοῦ τῆς ἐλπίδος ἡμῶν, μεθ'
οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶ-*
29 *νας· ἀμήν.* | *ὁ αὐτὸς περὶ ἀπαρχῶν καὶ δεκατῶν ἔτι προ-
στάσσω, πᾶσαν ἀπαρχὴν προσκομίζεσθαι τῷ ἐπισκόπῳ καὶ
τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις εἰς διατροφὴν αὐτῶν,
πᾶσαν δὲ δεκάτην προσφέρεσθαι εἰς διατροφὴν τῶν λοιπῶν
κληρικῶν καὶ τῶν παρθένων καὶ τῶν χηρῶν καὶ τῶν ἐν
πενίᾳ ἐξεταζομένων· αἱ γὰρ ἀπαρχαὶ τῶν ἱερέων εἰσὶν καὶ*
30 *τῶν αὐτοῖς ἐξυπηρετουμένων διακόνων.* | *ὁ αὐτὸς περὶ πε-
ρισσευμάτων * Τὰς περισσευούσας ἐν τοῖς μυστικοῖς εὐλο-
γίας κατὰ γνώμην τοῦ ἐπισκόπου ἢ τῶν πρεσβυτέρων οἱ
διάκονοι διανεμέτωσαν τῷ κλήρῳ, τῷ ἐπισκόπῳ μέρη τέσ-
σαρα, πρεσβυτέρῳ μέρη τρία, διακόνῳ μέρη δύο, τοῖς δὲ
ἄλλοις, ὑποδιακόνοις ἢ ἀναγνώσταις ἢ ψάλταις ἢ διακονίσ-
σαις, μέρος ἕν· τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον
τοῦ θεοῦ, ἕκαστον τιμᾶσθαι κατὰ τὴν αὐτοῦ ἀξίαν· ἡ γὰρ
ἐκκλησία οὐκ ἀταξίας, ἀλλ' εὐταξίας ἐστὶ διδασκαλεῖον.*
31 | *κἀγὼ Παῦλος ὁ τῶν ἀποστόλων ἐλάχιστος τάδε διατάσ-
σομαι ὑμῖν τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις περὶ κανόνων
Οἱ πρώτως προσιόντες τῷ μυστηρίῳ τῆς εὐσεβείας διὰ τῶν
διακόνων προσαγέσθωσαν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέ-
ροις καὶ τὰς αἰτίας ἐξεταζέσθωσαν, οὗ χάριν προσῆλθον
τῷ κυριακῷ λόγῳ, οἵ τε προσενεγκόντες μαρτυρείτωσαν αὐ-
τοῖς, ἀκριβώσαντες τὰ κατ' αὐτούς. ἐξεταζέσθωσαν δὲ αὐ-
τῶν καὶ οἱ τρόποι, * ὁ βίος καὶ εἰ δοῦλοί εἰσιν ἢ ἐλεύθε-
ροι. καὶ ἐὰν ᾖ τις δοῦλος, ἐρωτάσθω * ὁ κύριος αὐτοῦ*

6 Tim α 1, 1 | 20 Tim α 2, 3

2 *διὰ … σου* xt [*τοῦ* et *σου* > t], *τῇ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύματος* y | 4 *αὐτῆς* + y | 4 *αὐτοῖς* + y | 5 *ἀπελατικὴν* y | 5 *ὄικου φυλακτικήν* + y | 13 *εἰσὶ* yt | 15 *διατάσσομαι* + t | 22 *ἐστὶν* x | 24 *περὶ κανόνων* > w | 27 *τὴν αἰτίαν* y | 28 *μαρτυρήτωσαν* x | 29 *δὲ* > w | 30 *καὶ* prius > w | 30 *καὶ* + yt | 30 *εἰ*] *οἱ* y | 31 *ἤι τίς* w, *ἤ τις* xy, *τις ἤ* t | 31 *οὗ δεσπότου καὶ ἐὰν πιστοῦ δοῦλος ᾖ ἐρωτάσθω* + yt

εἰ μαρτυρεῖ αὐτῷ· ἐὰν δὲ μή, ἀποβαλλέσθω, ἕως ἂν ἑαυτὸν ἄξιον ἐπιδείξῃ τῷ δεσπότῃ· εἰ δὲ μαρτυρεῖ αὐτῷ, προσδεχέσθω. εἰ δὲ ἐθνικοῦ ᾖ οἰκέτης, διδασκέσθω εὐαρεστεῖν τῷ δεσπότῃ, ἵνα μὴ βλασφημῆται ὁ λόγος. εἰ μὲν οὖν ἔχει γυναῖκα ἢ ἡ γυνὴ ἄνδρα, διδασκέσθωσαν ἀρκεῖσθαι ἑαυτοῖς· εἰ δὲ ἄγαμοί εἰσιν, μανθανέτωσαν μὴ πορνεύειν, ἀλλὰ γαμεῖν * νόμῳ. εἰ δὲ ὁ δεσπότης αὐτοῦ, πιστὸς ὢν καὶ εἰδὼς ὅτι πορνεύει, * οὐ δίδωσιν αὐτῷ γυναῖκα ἢ τῇ γυναικὶ ἄνδρα, ἀφοριζέσθω. ἐὰν δέ τις δαίμονα ἔχῃ, διδασκέσθω μὲν τὴν εὐσέβειαν, μὴ προσδεχέσθω δὲ εἰς κοινωνίαν, πρὶν ἂν καθαρισθῇ· εἰ δὲ θάνατος κατεπείγοι, προσδεχέσθω. εἴ τις πορνοβοσκός, ἢ παυσάσθω τοῦ μαστροπεύειν ἢ ἀποβαλλέσθω. πόρνη προσιοῦσα ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. εἰδωλοποιὸς προσιὼν ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. τῶν ἐπὶ σκηνῆς ἐάν τις προσίῃ ἀνὴρ ἢ γυνὴ ἢ ἡνίοχος ἢ μονομάχος ἢ σταδιοδρόμος ἢ λουδεμπιστὴς ἢ ὀλυμπικὸς ἢ χοραύλης ἢ κιθαριστὴς ἢ λυριστὴς ἢ ὁ τὴν ὄρχησιν ἐπιδεικνύμενος ἢ κάπηλος, ἢ παυσάσθωσαν ἢ ἀποβαλλέσθωσαν. στρατιώτης προσιὼν διδασκέσθω μὴ ἀδικεῖν, μὴ συκοφαντεῖν, ἀρκεῖσθαι δὲ τοῖς διδομένοις ὀψωνίοις· * πειθόμενος * προσδεχέσθω, ἀντιλέγων δὲ ἀποβαλλέσθω. ἀρρητοποιός, κίναιδος, βλάξ, μάγος, ἐπαοιδός, ἀστρολόγος, μάντις, θηρεπῳδός, λώταξ, ὀχλαγωγός, περιάμματα ποιῶν, περικαθαίρων, οἰωνιστής, συμβολοδείκτης, παλμῶν ἑρμηνεύς, φυλαττόμενος ἐν συναντήσει λώβας ὄψεων ἢ ποδῶν ἢ ὀρνίθων ἢ γαλῶν ἢ ἐπιφωνήσεων ἢ παρακροαμάτων συμβολικῶν, χρόνῳ δοκιμαζέσθωσαν· δυσέκνιπτος γὰρ ἡ κακία· παυσάμενοι οὖν

4 Tit 2, 5 | 20 Luc 3, 14

2 αὐτὸν w | 3 εἰ .... ᾖ > w in rasura, m pr idem in margine εἰ δὲ ἐθνικὸς ἦν ὁ sequente rasura septem literarum capaci | 3 ἐθνικὸς x | 4 βλασφημεῖται y | 5 ἑαυτούς x | 6 δ' yt | 6 εἰσὶ t | 7 ἐν + w | 7 καὶ > y | 7 εἰδὸς w | 8 καὶ + w | 11 ι vocis καθαρισθῇ in rasura w | 11 κατεπείγει w, κατεπίγοι x | 12 τοῦ > w | 13 εἰδω ... 14 ἀποβαλλέσθω > w | 15 προσείη wt | 17 ὁ τὴν > w | 18 παυσάσθω ἢ ἀποβαλλέσθω w | 20 δὲ > y | 20 καὶ + x | 20 οὖν + y | 21 δὲ > y | 22 ἐπαοιδός ... 23 ὀχλαγωγός xyt, ὀχλαγωγός ἐπαοιδός λογάξ w | 23. 24 ὑιονιστής w | 25 ὄψεως yt | 25 ὀρνήθων w | 27 δυσέκνηπτος w | 27 γὰρ > x

προσδεχέσθωσαν, μὴ πειθόμενοι δὲ ἀποβαλλέσθωσαν. παλ-
λακή τινος ἀπίστου * δούλη, ἐκείνῳ μόνῳ σχολάζουσα, προ-
σδεχέσθω· εἰ δὲ καὶ πρὸς ἄλλους ἀσελγαίνει, ἀποβαλλέσθω.
πιστὸς ἐὰν ἔχῃ παλλακήν, εἰ μὲν δούλην, παυσάσθω καὶ
νόμῳ γαμείτω, εἰ δὲ ἐλευθέραν, ἐκγαμείτω αὐτὴν νόμῳ· εἰ
δὲ μή, ἀποβαλλέσθω. ἑλληνικοῖς τις ἔθεσιν ἐξακολουθῶν
ἢ ἰουδαϊκοῖς μύθοις ἢ μετατιθέσθω ἢ ἀποβαλλέσθω. θεατρο-
μανίᾳ εἴ τις πρόσκειται ἢ κυνηγίοις ἢ ἱπποδρομίοις ἢ ἀγῶ-
σιν, ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. ὁ μέλλων κατηχεῖσθαι
τρία ἔτη κατηχείσθω· εἰ δὲ σπουδαῖός τις ᾖ καὶ εὔνοιαν ἔχῃ
περὶ τὸ πρᾶγμα, προσδεχέσθω· ὅτι οὐχ ὁ χρόνος, ἀλλ' ὁ
τρόπος κρίνεται. ὁ διδάσκων εἰ καὶ λαικὸς ᾖ, ἔμπειρος δὲ
τοῦ λόγου καὶ τὸν τρόπον σεμνός, διδασκέτω· ἔσονται γὰρ
πάντες διδακτοὶ θεοῦ. πᾶς πιστὸς ἢ πιστή, ἕωθεν ἀναστάν-
τες ἐξ ὕπνου, πρὸ τοῦ * ἔργον ἐπιτελέσαι νιψάμενοι προσευ-
χέσθωσαν· εἰ δέ τις λόγου κατήχησις γένηται, προτιμη-
σάτω τοῦ ἔργου τὸν λόγον τῆς εὐσεβείας. ὁ πιστὸς ἢ ἡ
πιστὴ τοῖς οἰκέταις εὐμενῶς προσεχέτωσαν, καθὼς καὶ ἐν
τοῖς προλαβοῦσι διεταξάμεθα καὶ ἐν ταῖς ἐπιστολαῖς ἐδι-
32 δάξαμεν. | ἐγὼ Πέτρος καὶ ἐγὼ Παῦλος διατασσόμεθα * Ἐρ-
γαζέσθωσαν οἱ δοῦλοι πέντε ἡμέρας, σάββατον δὲ καὶ κυ-
ριακὴν σχολαζέτωσαν ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν διδασκαλίαν
τῆς εὐσεβείας· τὸ μὲν γὰρ σάββατον εἴπομεν δημιουργίας
λόγον ἔχειν, τὴν δὲ κυριακὴν ἀναστάσεως. τὴν μεγάλην
ἑβδομάδα πᾶσαν καὶ τὴν μετ' αὐτὴν ἀργείτωσαν οἱ δοῦλοι·

13 Ioh 6, 45 = Isaj 54, 13

2 rasura sex literarum capax w | 2 μόνῳ > X | 2. 3 προσεδεχέσθω t | 4 ἔχει w | 4 παλακὴν habere *videtur* w | 4 δούλην xyt, δούλη ἐστὶν w | 4 παυσάσθῳ y | 5 γαμήτω w | 5 ἐλευθέρα w | 5 ἐκγαμήτω W? | 6 ἀπὸλλεσθω X | 7 μεταθέσθω xyt | 8 ἱπποδρομικοῖς w, omisso ἢ sequenti | 10 ἔχει wxyt | 11 περὶ τὸ πρᾶγμα > w | 11. 12 οὐ χρόνος ἀλλὰ τρόπος w | 12 ἢ xyt, εἴη w | 13 τρόπων w | 15 τὸ + w | 16 λόγος κατηχήσεως γίνεται w, γίνεται etiam y | 16. 17 προτιμησάτωσαν w | 17 ὁ et ἡ > w | 19 προλαβοῦσιν x | 19. 20 ἐδιδάξαμεν xyt, διετάξαμεν w | 20 post versum vacuum unum et lemniscum inscr πέτρου καὶ παῦλου διατάξεις w | 20 ἐγὼ παῦλος καὶ ἐγὼ πέτρος xy | 29 ἐγὼ alterum > w | 20 ταῦτα ὑμῖν + y | 20. 21 ἐργάζεσθαι w | 21 οἱ δοῦλοι xyt, τοὺς λαοὺς w | 22 ἐν > wy | 22 διδασκαλείαν X? | 24 λόγον xyt, τρόπον w | 25 ἐνδομάδα y

ὅτι ἡ μὲν πάθους ἐστίν, ἡ δὲ ἀναστάσεως, καὶ χρεία διδα-
σκαλίας τίς ὁ παθὼν καὶ ἀναστὰς ἢ τίς ὁ συγχωρήσας ἢ
καὶ ἀναστήσας. τὴν ἀνάληψιν ἀργείτωσαν διὰ τὸ πέρας τῆς
κατὰ χριστὸν οἰκονομίας. τὴν πεντηκοστὴν ἀργείτωσαν διὰ
τὴν παρουσίαν τοῦ ἁγίου πνεύματος τὴν δωρηθεῖσαν τοῖς
πιστεύσασιν εἰς χριστόν. τὴν τῶν γενεθλίων ἑορτὴν ἀργεί-
τωσαν διὰ τὸ ἐν αὐτῇ τὴν ἀπροσδόκητον χάριν δεδόσθαι
ἀνθρώποις, γεννηθῆναι τὸν τοῦ θεοῦ λόγον Ἰησοῦν χρι-
στὸν ἐκ Μαρίας τῆς παρθένου ἐπὶ σωτηρίᾳ τοῦ κόσμου. τὴν
τῶν θεοφανίων ἑορτὴν ἀργείτωσαν διὰ τὸ ἐν αὐτῇ ἀνάδει-
ξιν γεγενῆσθαι τῆς τοῦ χριστοῦ θεότητος, μαρτυρήσαντος
* αὐτῷ τοῦ πατρὸς ἐν τῷ βαπτίσματι καὶ τοῦ παρακλήτου
ἐν εἴδει περιστερᾶς ὑποδείξαντος τοῖς παρεστῶσι τὸν μαρ-
τυρηθέντα. τὰς ἡμέρας τῶν ἀποστόλων ἀργείτωσαν· δι-
δάσκαλοι γὰρ ὑμῶν εἰς χριστὸν κατέστησαν καὶ πνεύματος
ὑμᾶς ἠξίωσαν ἁγίου. τὴν ἡμέραν Στεφάνου τοῦ πρωτομάρτυ-
ρος ἀργείτωσαν καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων τῶν προτι-
μησάντων χριστὸν τῆς ἑαυτῶν ζωῆς. | εὐχὰς ἐπιτελεῖτε ὄρ- 33
θρου καὶ τρίτῃ ὥρᾳ καὶ ἕκτῃ καὶ ἐννάτῃ καὶ ἑσπέρᾳ καὶ
ἀλεκτοροφωνίᾳ· ὄρθρου μὲν εὐχαριστοῦντες, ὅτι ἐφώτισεν
ἡμᾶς ὁ κύριος παραγαγὼν τὴν νύκτα καὶ ἐπαγαγὼν τὴν
ἡμέραν· τρίτῃ δέ, ὅτι ἀπόφασιν ἐν αὐτῇ ὑπὸ Πιλάτου ἔλαβεν
* ὁ κύριος· ἕκτῃ δέ, ὅτι ἐν αὐτῇ ἐσταυρώθη *· ἐννάτῃ δέ,
ὅτι πάντα κεκίνητο, τοῦ δεσπότου σταυρουμένου, φρίττοντα
τὴν τόλμαν τῶν δυσσεβῶν Ἰουδαίων, μὴ φέροντα τοῦ κυρίου
τὴν ὕβριν· ἑσπέρᾳ δὲ εὐχαριστοῦντες ὅτι ὑμῖν ἀνάπαυσιν ἔδωκε
τῶν μεθημερινῶν κόπων τὴν νύκτα· ἀλεκτρυόνων δὲ κραυγῇ

13 Matth 3, 16

1. 2 διδάσκεσθαι y | 2 ἢ alterum > wy | 3 ἀναστάς w | 4 πεντικο-στὴν w | 7 τὴν > w | 7. 8 τοῖς ἀνθρώποις δεδόσθαι w | 8. 9 Ἰησοῦν χριστὸν > w | 10 ἐπιφανίων y, ἐπιφανείων t | 11 γεγενεῖσθαι x | 12 ἂν + Y | 13 παρεστῶσιν xy | 15 ὑμῶν > y | 16 ἁγίου > t | 16. 17 μάρτυρος xy | 18 ἐπιτελεῖται x | 19 ἐνάτῃ x | 19 ἑσπέρας w | 20 ἀλεκτοροφωνίας wy | 20 ὄθρου w | 20 εὐχαριστοῦντες > w | 21 ἡμᾶς w, ὑμῖν xt, ὑμᾶς y | 22 ἐν αὐτῆι ἀπόφασιν ἀπὸ w | 22 πηλάτου x | 23 ἐναυτῇ + X | 23 δὲ utrumque > w | 23 ὁ χριστός + w | 23 ἐνάτῃ xy | 24 ἐσταυρωμένον yt | 26 Εσπέρα t, ἀφ' ἑσπέρας w, ἑσπέραν xy [ἑ x] | 26 ἡμῖν ἔδωκεν ἀνάπαυσιν w | 26 δέδωκεν x | 27 τῶν > w | 27 καθημερινῶν wy [καθ' ἡμ'' y]

διὰ τὸ τὴν ὥραν εὐαγγελίζεσθαι τὴν παρουσίαν τῆς ἡμέρας εἰς ἐργασίαν τῶν τοῦ φωτὸς ἔργων. εἰ μὴ δυνατὸν ἐν ἐκκλησίᾳ διὰ τοὺς ἀπίστους προϊέναι, κατ' οἶκον συνάξεις, ὦ ἐπίσκοπε, ἵνα μὴ εἰσέρχηται εὐσεβὴς εἰς ἐκκλησίαν ἀσεβῶν. οὐχ ὁ τόπος γὰρ τὸν ἄνθρωπον ἁγιάζει, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον· ἐὰν δὲ ἀσεβεῖς κατέχωσι τὸν τόπον, φευκτέος σοι ἔστω διὰ τὸ βεβηλῶσθαι ὑπ' αὐτῶν. ὡς γὰρ οἱ ὅσιοι ἱερεῖς ἁγιάζουσιν, οὕτως οἱ ἐναγεῖς μιαίνουσιν. εἰ μήτε ἐν οἴκῳ ἅμα μήτε ἐν ἐκκλησίᾳ συναθροισθῆναι δυνατόν, ἕκαστος παρ' ἑαυτῷ ψαλλέτω, ἀναγινωσκέτω, προσευχέσθω, ἢ καὶ ἅμα δύο ἢ τρεῖς· ὅπου γὰρ ἂν ὦσι, φησὶν ὁ κύριος, δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. πιστὸς μετὰ κατηχουμένου μήτε κατ' οἶκον προσευχέσθω· οὐ γὰρ δίκαιον τὸν μεμυημένον μετὰ τοῦ ἀμυήτου συμμολύνεσθαι. εὐσεβὴς μετὰ αἱρετικοῦ μήτε κατ' οἶκον συμπροσευχέσθω· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; πιστὸς ἢ πιστὴ δούλοις συναφθέντες ἢ ἀφιστάσθωσαν ἢ ἀπο-
34 βαλλέσθωσαν. | κἀγὼ Ἰάκωβος, ἀδελφὸς μὲν τοῦ χριστοῦ κατὰ σάρκα, δοῦλος δὲ ὡς θεοῦ μονογενοῦς, ἐπίσκοπος δὲ ὑπ' αὐτοῦ τοῦ κυρίου καὶ τῶν ἀποστόλων Ἱεροσολύμων χειροτονηθείς, τάδε φημὶ Ἑσπέρας γενομένης, συναθροίσεις τὴν ἐκκλησίαν, ὦ ἐπίσκοπε· καὶ μετὰ τὸ ῥηθῆναι τὸν ἐπιλύχνιον ψαλμὸν προσφωνήσει ὁ διάκονος ὑπὲρ τῶν κατηχουμένων καὶ χειμαζομένων καὶ τῶν φωτιζομένων καὶ τῶν ἐν μετανοίᾳ, ὡς προείπομεν. μετὰ δὲ τὸ ἀπολυθῆναι αὐτοὺς ὁ διάκονος ἐρεῖ Ὅσοι πιστοί, δεηθῶμεν τοῦ κυρίου· καὶ
35 μετὰ τὸ προσφωνῆσαι αὐτὸν τὰ τῆς πρώτης εὐχῆς ἐρεῖ | Σῶσον καὶ ἀνάστησον ἡμᾶς, ὁ θεός, διὰ τοῦ χριστοῦ σου. ἀναστάντες αἰτησώμεθα τὰ ἐλέη τοῦ κυρίου καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰρήνης, τὰ καλὰ καὶ τὰ συμφέροντα, χριστιανὰ τὰ τέλη, τὴν ἑσπέραν καὶ τὴν

11 Matth 18, 20 | 16 Cor β 6, 14

2 εἰ ... p 276, 3 ἀμήν > w ante finem folii 137ᵃ | 3 προϊέναι διὰ τοὺς ἀπίστους yt | 4 εἰσέρχεται x | 6 φευκταῖός xt [ο t] | 9 ἅμα > t | 10 ἀναγινωσκέσθω y | 11 ἂν > t | 11 ὦσιν x, εἰσι t | 11 φησὶν ὁ κύριος > t | 16 προσευχέσθω x | 17 δοῦλοι t | 18. 19 κατὰ σάρκα τοῦ χριστοῦ yt | 20 καὶ τῶν ἀποστόλων > y | 20. 21 χειροτονιθεὶς x | 28 ὁ θεός > y

νύκτα εἰρηνικὴν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν ἀκατάγνωστον αἰτησώμεθα· ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι θεῷ διὰ τοῦ χριστοῦ αὐτοῦ παραθώμεθα. καὶ ὁ ἐπίσκοπος ἐπευχόμενος λεγέτω | Ὁ ἄναρχος * καὶ 36
ἀτελεύτητος, ὁ τῶν ὅλων ποιητὴς διὰ χριστοῦ καὶ κηδεμών, * αὐτοῦ δὲ θεὸς καὶ πατήρ, ὁ τοῦ πνεύματος προβολεὺς καὶ τῶν νοητῶν καὶ αἰσθητῶν βασιλεύς, ὁ ποιήσας ἡμέραν πρὸς ἔργα φωτὸς καὶ νύκτα εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν· σὴ γάρ ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον· αὐτὸς καὶ νῦν, δέσποτα φιλάνθρωπε καὶ τὸ πᾶν ἀγαθέ, εὐμενῶς πρόσδεξαι τὴν ἑσπερινὴν εὐχαριστίαν ἡμῶν ταύτην. ὁ διαγαγὼν ἡμᾶς τὸ μῆκος τῆς ἡμέρας * καὶ ἀγαγὼν ἐπὶ τὰς ἀρχὰς τῆς νυκτός, φύλαξον ἡμᾶς διὰ τοῦ χριστοῦ σου· εἰρηνικὴν παράσχου τὴν ἑσπέραν καὶ τὴν νύκτα ἀναμάρτητον, καὶ καταξίωσον ἡμᾶς τῆς αἰωνίου σου ζωῆς διὰ τοῦ χριστοῦ σου, δι᾽ οὗ σοι δόξα, τιμὴ καὶ σέβας σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ ὁ διάκονος λεγέτω Κλίνατε τῇ χειροθεσίᾳ· καὶ ὁ ἐπίσκοπος λεγέτω Θεὲ πατέρων καὶ κύριε τοῦ ἐλέους, ὁ τῇ σοφίᾳ σου κατασκευάσας ἄνθρωπον, τὸ λογικὸν ζῷον τὸ θεοφιλὲς τῶν ἐπὶ γῆς, καὶ δοὺς αὐτῷ τῶν ἐπὶ τῆς χθονὸς ἄρχειν· καὶ καταστήσας γνώμῃ σῇ ἄρχοντας καὶ ἱερεῖς, τοὺς μὲν πρὸς ἀσφάλειαν τῆς ζωῆς, τοὺς δὲ πρὸς λατρείαν ἔννομον· αὐτὸς καὶ νῦν ἐπικάμφθητι, κύριε παντοκράτωρ, καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν λαόν σου, τοὺς κάμψαντας αὐχένα καρδίας αὐτῶν, καὶ εὐλόγησον αὐτοὺς διὰ χριστοῦ, δι᾽ οὗ ἐφώτισας ἡμᾶς φῶς γνώσεως καὶ ἀπεκάλυψας ἡμῖν σεαυτόν· μεθ᾽ οὗ σοι καὶ ἡ ἐπάξιος ὀφείλεται προσκύνησις παρὰ πάσης λογικῆς καὶ ἁγίας φύσεως καὶ πνεύματι τῷ παρακλήτῳ εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ ὁ διάκονος λεγέτω Προσέλθετε ἐν εἰρήνῃ. ὡσαύτως ὄρθρου ὁ διά-

21 Gen 1, 28 | 25 Psalm 31, 17

3 παραθῶμεν yt | 4 θεὸς + yt | 6 πρὸ δὲ πάντων + yt | 6 δὲ > yt | 6 προβολεὺς x, κύριος yt | 9 ἡ prius > t | 9. 10 κατηρτήσω x | 11 τὸ πᾶν ἀγαθὲ xy, πανάγαθε t | 12 διαγαγεῖν y | 13 δοὺς + y | 16 σου prius > yt | 17 συν x, ἐν yt | 21 τῶν alterum yt, τὸν x | 24 παντοκράτορ t | 28 σαυτὸν yt | 31 προέλθετε yt [Π t]

κονος μετὰ τὸ ῥηθῆναι τὸν ὀρθρινὸν καὶ ἀπολῦσαι αὐτὸν
τοὺς κατηχουμένους καὶ χειμαζομένους καὶ βαπτιζομένους
καὶ τοὺς ἐν μετανοίᾳ καὶ τὴν ὀφειλομένην ποιήσασθαι προ-
σφώνησιν, ἵνα μὴ πάλιν λέγωμεν τὰ αὐτά, ἐπιφερέτω μετὰ
τὸ Σῶσον αὐτούς, ὁ θεός, καὶ ἀνάστησον ἐν τῇ χάριτί σου
*Αἰτησώμεθα* παρὰ τοῦ κυρίου τὰ ἐλέη αὐτοῦ καὶ τοὺς οἰκτιρ-
μούς, τὸν ὄρθρον τοῦτον καὶ τὴν ἡμέραν εἰρηνικὴν καὶ ἀνα-
μάρτητον καὶ πάντα τὸν χρόνον τῆς παρεπιδημίας ἡμῶν,
τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰρήνης, χριστιανὰ τὰ τέλη, ἵλεω
καὶ εὐμενῆ τὸν θεόν. ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι θεῷ
διὰ τοῦ μονογενοῦς αὐτοῦ παραθώμεθα. καὶ ὁ ἐπίσκοπος
38 ἐπευχόμενος λεγέτω | Ὁ θεὸς * τῶν πνευμάτων καὶ πάσης
σαρκός, ὁ ἀσύγκριτος καὶ ἀπροσδεής, ὁ δοὺς τὸν ἥλιον εἰς
ἐξουσίαν τῆς ἡμέρας, τὴν δὲ σελήνην καὶ τὰ ἄστρα εἰς ἐξου-
σίαν τῆς νυκτός· αὐτὸς καὶ νῦν ἔπιδε ἐφ' ἡμᾶς εὐμενέσιν
ὀφθαλμοῖς καὶ πρόσδεξαι τὰς ἑωθινὰς ἡμῶν εὐχαριστίας καὶ
ἐλέησον ἡμᾶς· οὐ γὰρ διεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς
θεὸν ἀλλότριον. οὐ γάρ ἐστιν ἐν ἡμῖν θεὸς πρόσφατος,
ἀλλὰ σὺ ὁ αἰώνιος καὶ ἀτελεύτητος, ὁ τὸ εἶναι ἡμῖν διὰ χρι-
στοῦ παρασχόμενος καὶ τὸ εὖ εἶναι δι' αὐτοῦ δωρησάμενος,
αὐτὸς ἡμᾶς δι' αὐτοῦ καταξίωσον καὶ τῆς αἰωνίου ζωῆς, μεθ'
οὗ σοι δόξα καὶ τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς
τοὺς αἰῶνας· ἀμήν. καὶ ὁ διάκονος λεγέτω Κλίνατε τῇ χει-
39 ροθεσίᾳ. καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων | Ὁ θεὸς ὁ πι-
στὸς καὶ ἀληθινός, ὁ ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριά-
δας τοῖς ἀγαπῶσί σε, ὁ φίλος ταπεινῶν καὶ πενήτων προ-
στάτης, οὗ πάντα ἐν χρείᾳ καθέστηκεν, ὅτι τὰ σύμπαντα
δοῦλά σου· ἔπιδε ἐπὶ τὸν λαόν σου τοῦτον, τοὺς κεκλικό-
τας σοι τὰς ἑαυτῶν κεφαλάς. καὶ εὐλόγησον αὐτοὺς εὐλο-
γίαν πνευματικήν, φύλαξον αὐτοὺς ὡς κόρην ὀφθαλμοῦ,
διατήρησον αὐτοὺς ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καὶ κατα-
ξίωσον αὐτοὺς τῆς αἰωνίου * ζωῆς ἐν χριστῷ Ἰησοῦ τῷ ἠγα-
πημένῳ σου παιδί· μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ

12 Num 16, 22 | 13 Gen 1, 16 | 25 Exod 20, 6

1 ῥυθῆναι t | 6 τοῦ > t | 9 ἵλεων yt | 10 εὐμενεῖ y | 12 ὁ + t | 14 τοὺς ἀστέρας y | 22 καὶ primum > y | 26 ἀγαπῶσίν x | 28 σου prius xt, σά y | 32 σου + y | 33 δόξα > x

τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων· ἀμήν. καὶ ὁ διάκονος λεγέτω Προέλθετε ἐν εἰ-
ρήνῃ. ἐπὶ δὲ ταῖς προσφερομέναις ἀπαρχαῖς οὕτως εὐχαρι-
στείτω ὁ ἐπίσκοπος | Εὐχαριστοῦμέν σοι, κύριε παντοκράτωρ, 40
δημιουργὲ τῶν ὅλων καὶ προνοητά, διὰ τοῦ μονογενοῦς σου
παιδὸς Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν, ἐπὶ ταῖς προσε-
νεχθείσαις σοι ἀπαρχαῖς, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον
δυνάμεθα. τίς γὰρ ἀνθρώπων ἐπαξίως εὐχαριστῆσαί σοι
δύναται ὑπὲρ ὧν δέδωκας αὐτοῖς εἰς μετάληψιν; ὁ θεὸς
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντων τῶν ἁγίων, ὁ
πάντα τελεσφορήσας διὰ τοῦ λόγου σου καὶ κελεύσας τῇ γῇ
παντοδαποὺς ἐκφῦσαι καρποὺς εἰς εὐφροσύνην καὶ τροφὴν
ἡμετέραν, ὁ δοὺς τοῖς νωθεστέροις καὶ βληχώδεσι χιλόν,
ποηφάγοις χλόην, καὶ τοῖς μὲν κρέα, τοῖς δὲ σπέρματα,
ἡμῖν δὲ σῖτον * τὴν πρόσφορον καὶ κατάλληλον τροφήν,
καὶ ἕτερα διάφορα, τὰ μὲν πρὸς χρῆσιν, τὰ δὲ πρὸς ὑγείαν,
τὰ δὲ πρὸς τέρψιν. ἐπὶ τούτοις οὖν ἅπασιν ὑμνητὸς ὑπάρ-
χεις τῆς εἰς ἅπαντας εὐεργεσίας διὰ χριστοῦ, μεθ' οὗ σοι
δόξα, τιμὴ καὶ σέβας καὶ πνεύματι τῷ ἁγίῳ εἰς τοὺς αἰῶ-
νας· ἀμήν. | ἐπὶ δὲ τῶν ἐν χριστῷ ἀναπαυσαμένων μετὰ 41
τὸ προσφωνῆσαι τὰ τῆς πρώτης εὐχῆς (ἵνα μὴ πάλιν λέγω-
μεν) ὁ διάκονος προσθήσει καὶ ταῦτα | Καὶ ὑπὲρ τῶν ἀνα-
παυσαμένων ἐν χριστῷ ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὑπὲρ
τῆς κοιμήσεως τοῦδε ἢ τῆσδε δεηθῶμεν, ὅπως ὁ φιλάν-
θρωπος θεὸς * προσδεξάμενος αὐτοῦ τὴν ψυχὴν ἀφήσῃ
αὐτῷ πᾶν ἁμάρτημα ἑκούσιον καὶ ἀκούσιον, καὶ ἵλεως καὶ
εὐμενὴς γενόμενος κατατάξῃ εἰς χώραν εὐσεβῶν ἀνειμέ-
νων, εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ μετὰ πάν-
των τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων καὶ ποιησάντων τὸ
θέλημα αὐτοῦ, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

30 Isaj 35, 10

3. 4 εὐχαριστεῖ t | 4 παντοκράτορ t | 11 τελεσφορέσας y | 13 βληχώδεσιν x | 13 χειλὸν x, χεῖλον t | 15 πρὸς τροφὴν + t | 15 τὴν et τροφήν > t | 16 ὑγίειαν y, ὑγίαν t | 17 ἅπασι ὑπερύμνητος t | 18 πάντας t | 18 μεθ' xy, δι' t | 19 καὶ ... ἁγίῳ] ἐν ἁγίω πνεύματι t | 21 φωνῆσαι t | 21 πρώτης εὐχῆς xy, προσευχῆς t | 22 καὶ alterum et τῶν > t | 23 ὑπὲρ .... 24 δεηθῶμεν > t | 25 ὁ + t | 25 ἀφήσῃ x, ἀφῆ y, παρείδῃ t | 26 ἵλεος x | 27. 28 ἀνειμένην y | 28 κόλπον t

*ἐγειρώμεθα· ἑαυτοὺς καὶ ἀλλήλους τῷ ἀιδίῳ θεῷ διὰ τοῦ ἐν ἀρχῇ λόγου παραθώμεθα. καὶ ὁ ἐπίσκοπος λεγέτω* Ὁ *τῇ φύσει ἀθάνατος καὶ ἀτελεύτητος, παρ' οὗ πᾶν ἀθάνατον καὶ θνητὸν γέγονεν, ὁ τὸ λογικὸν τοῦτο ζῷον τὸν ἄνθρωπον τὸν κοσμοπολίτην θνητὸν ἐκ κατασκευῆς ποιήσας καὶ ἀνάστασιν * ἐπαγγειλάμενος, ὁ τὸν Ἐνὼχ καὶ τὸν Ἡλίαν θανάτου πεῖραν μὴ ἐάσας λαβεῖν, ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ * Ἰακώβ, ὧν οὐχ ὡς νεκρῶν, ἀλλ' ὡς ζώντων θεὸς εἶ (ὅτι πάντων αἱ ψυχαὶ παρὰ σοὶ ζῶσιν καὶ τῶν δικαίων τὰ πνεύματα ἐν * χειρί σου εἰσίν, ὧν οὐ μὴ ἅψηται βάσανος· πάντες γὰρ οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου εἰσίν)· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τόνδε, ὃν ἐξελέξω καὶ προσελάβου εἰς ἑτέραν λῆξιν, καὶ συγχώρησον αὐτῷ, εἴ τι ἄκων ἢ ἑκὼν ἐξήμαρτεν, καὶ ἀγγέλους εὐμενεῖς παράστησον αὐτῷ· καὶ κατάταξον αὐτὸν ἐν τῷ κόλπῳ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι, ὅπου οὐκ ἔνι λύπη καὶ ὀδύνη καὶ στεναγμός, ἀλλὰ χῶρος εὐσεβῶν ἀνειμένος καὶ γῆ εὐθέων σοὶ ἀνακειμένη καὶ τῶν ἐν αὐτῇ ὁρώντων τὴν δόξαν τοῦ χριστοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας, εὐχαριστία καὶ προσκύνησις καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. καὶ ὁ διάκονος λεγέτω* Κλίνατε * *καὶ εὐλογεῖσθε. καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω ὑπὲρ αὐτῶν λέγων τάδε* Σῶσον, *κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ σου καὶ ποίμανον αὐτοὺς ὑπὸ τὴν δεξιάν σου καὶ σκέπασον αὐτοὺς ὑπὸ τὰς πτέρυγάς σου, καὶ δὸς αὐτοῖς τὸν ἀγῶνα τελέσαι τὸν καλόν, τὸν δρόμον ἀνῦσαι, τὴν πίστιν τηρῆσαι ἀτρέπτως, ἀμέμπτως,*

8 Matth 22, 32 | 9 Luc 20, 38 | 9 Deut 33, 3 | 24 Act 20, 28 | 27 Tim β 4, 7

1 *ἐγειρώμεθα* xt, *ἀναστάντες* y | 4 *τοῦτο* > yt | 5 *ἐν κατασκευῇ* t | 6 *ἀναστασίαν* t | 6 *αὐτῶ* + y | 7 *καὶ* xy, *ὁ θεὸς* t | 8 *ὁ θεὸς* + t | 8 *ὧν* > t | 9 *ζῶσι* yt | 10 *π̅ν̅α̅* x | 10 *τῇ* + y, *τῇ* + t | 11 *οἱ* > t | 12 *ἔπιδε* > x | 13. 14 *ἑκὼν ἢ ἄκων* t | 14 *ἐξήμαρτε* yt | 17 *σοι εὐαρεστησάντων* t | 17 *καὶ* prius > t | 18 *ἀνημένος* t | 18 *εὐθείων* xt | 18. 19 *σοὶ ἀνακειμένη*] *συνανημένη* t | 20 *μεθ'* xy, *δι'* t | 20 *καὶ* alterum > t | 21 *καὶ* prius xy, *ἐν* t | 21 *τῷ* > t | 22 *ἑαυτοὺς* + y | 23 *τοιάδε* t | 25 *καὶ* > t | 28 *τελέσαι τὸν* xy, *ἀγωνίσασθαι* t | 28 *ἀνύσαι* xy [*ῦ* y], *τελέσαι* t

*ἀνεγκλήτως· διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ τοῦ ἀγα-*
*πητοῦ σου παιδός, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ*
*τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. | ἐπιτελείσθω* 42
*δὲ τρίτα τῶν κεκοιμημένων ἐν ψαλμοῖς καὶ ἀναγνώσμασιν*
*καὶ προσευχαῖς διὰ τὸν διὰ τριῶν ἡμερῶν ἐγερθέντα, καὶ*
*ἔνατα εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων,*
*καὶ τεσσαρακοστὰ κατὰ τὸν παλαιὸν τύπον (Μωσῆν γὰρ οὕ-*
*τως ὁ λαὸς ἐπένθησεν), καὶ ἐνιαύσια ὑπὲρ μνείας αὐτοῦ· καὶ*
*διδόσθω * ἐκ τῶν ὑπαρχόντων αὐτοῦ πένησιν εἰς ἀνάμνησιν*
*αὐτοῦ. | ταῦτα δὲ περὶ εὐσεβῶν λέγομεν· περὶ γὰρ ἀσεβῶν* 43
*ἐὰν τὰ τοῦ κόσμου δῷς πένησιν, οὐδὲν ὀνήσεις αὐτόν. ᾧ*
*γὰρ περιόντι ἐχθρὸν ἦν τὸ θεῖον, δῆλον ὅτι * καὶ μεταστάντι·*
*οὐ γάρ ἐστιν ἀδικία παρ' αὐτῷ. δίκαιος γὰρ ὁ κύριος καὶ*
*δικαιοσύνας ἠγάπησεν· καὶ Ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐ-*
*τοῦ. | ἐν δὲ ταῖς μνείαις αὐτῶν καλούμενοι μετὰ εὐταξίας* 44
*ἑστιᾶσθε καὶ φόβου θεοῦ, ὡς δυνάμενοι καὶ πρεσβεύειν ὑπὲρ*
*τῶν μεταστάντων. πρεσβύτεροι γὰρ καὶ διάκονοι χριστοῦ*
*ὑπάρχοντες, νήφειν ὀφείλετε πάντοτε καὶ πρὸς ἑαυτοὺς καὶ*
*πρὸς ἑτέρους, ἵνα δύνησθε τοὺς ἀτακτοῦντας νουθετεῖν. λέ-*
*γει δὲ ἡ γραφὴ Οἱ δυνάσται θυμώδεις εἰσίν· οἶνον * μὴ πι-*
*νέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας καὶ ὀρθὰ*
*κρίνειν οὐ μὴ δύνωνται. οὐκοῦν καὶ οἱ πρεσβύτεροι καὶ οἱ*
*διάκονοι μετὰ * θεὸν τὸν παντοκράτορα καὶ τὸν ἠγαπημένον*
*αὐτοῦ υἱὸν δυνάσται ὑπάρχουσι τῆς ἐκκλησίας; τοῦτο δέ*
*φαμεν, οὐχ ἵνα μὴ πίνωσιν (ἄλλως γὰρ οὐκ ἔστιν ὑβρίσαι*
*τὸ ὑπὸ θεοῦ γενόμενον εἰς εὐφροσύνην), ἀλλ' ἵνα μὴ πα-*
*ροινῶσιν. οὐ γὰρ εἶπεν ἡ γραφὴ μὴ πίνειν οἶνον, ἀλλὰ τί*

7 Deut 34, 8 | 13 Psalm 11, 7 | 14 apocryphum | 20 Prov 31, 4. 5 | 26 Sirach 34, 27

4 *δὲ* > w | 4 *καὶ ἀναγνώσμασιν* > w, *καὶ ἀναγνώσεσι* yt | 5 *τὸν διὰ* > x | 6 *ἔννατα* wyt | 7 *μωϋσῆν* w | 8 *ἐπένθησε* yt | 8 *μνήμης* y | 8 *αὐτῶν* w | 8 *καὶ* alterum > w | 9 *δὲ* + w | 9 *αὐτοῖς* w | 10 *αὐτῶν* w | 12 rasura trium literarum capax w | 12 *μετα* in *μεταστάντι* a correctore y | 13 *ὁ* > y | 14 *ἠγάπησε* yt | 15 *μνήμαις* w | 17 *γὰρ* > t | 18 *ὀφείλεται* x | 18 *ἑντοὺς* X | 19 *δύνασθαι* w | 20 *δὲ* wyt, *γὰρ* x | 20 *δὲ* + t | 21 *ἐπιλάθονται* x | 22 *μὴ* > w | 22 *δύνανται* w, *δύνονται* x | 23 *τὸν* + w | 24 *ὑπάρχουσιν* x | 25 *πίωσιν* w | 25 *ἀλλ' ὡς* y | 25 *οὐκ* > x, *καὶ* t | 26 *ἀλλὰ* t | 26. 27 *παροινῶσι* t | 27 *εἶπε* W | 27 *γραφῆι* w

φησιν; Μὴ πῖνε οἶνον εἰς μέθην· καὶ πάλιν Ἄκανθαι φύον-
ται ἐν χειρὶ * μεθύσου. τοῦτο δὲ οὐ περὶ τῶν ἐν κλήρῳ μό-
νον φαμέν, ἀλλὰ καὶ περὶ παντὸς λαϊκοῦ χριστιανοῦ, ἐφ'
οὗ ἐπικέκληται τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ·
καὶ αὐτοῖς γὰρ εἴρηται Τίνι οὐαί; τίνι θόρυβος; τίνι ἀηδίαι
καὶ λέσχαι; τίνος πελιοὶ οἱ ὀφθαλμοί; τίνι συντρίμματα
διακενῆς; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ καὶ τῶν κατασκο-
45 πουμένων ποῦ πότοι γίνονται; | τοὺς διωκομένους διὰ πί-
στιν καὶ πόλιν ἐκ πόλεως φεύγοντας διὰ τὸ μεμνῆσθαι
τῶν λόγων τοῦ κυρίου προσλαμβάνεσθε· ἐπιστάμενοι γὰρ
ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής, ἀποδι-
δράσκουσιν καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων προΐενται, ἵνα
ἀνεξάρνητον ἐφ ἑαυτοῖς τὸ ὄνομα τοῦ χριστοῦ διατηρήσω-
σιν. ἐπικουρεῖτε οὖν αὐτοῖς τὰ πρὸς * χρείαν, ἐντολὴν κυ-
46 ριακὴν πληροῦντες. | ἐκεῖνο δὲ κοινῇ πάντες παραγγέλλομεν,
ἕκαστον * ἐμμένειν τῇ τάξει τῇ δοθείσῃ αὐτῷ καὶ μὴ ὑπερ-
βαίνειν τοὺς ὅρους· οὐ γάρ εἰσιν ἡμέτεροι, ἀλλὰ τοῦ θεοῦ.
ὁ ὑμῶν γάρ, φησὶν ὁ κύριος, ἀκούων ἐμοῦ ἀκούει, καὶ ὁ
ἐμοῦ ἀκούων ἀκούει τοῦ ἀποστείλαντός με· καὶ ὁ ὑμᾶς ἀθε-
τῶν ἐμὲ ἀθετεῖ, ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά
με. εἰ γὰρ τὰ ἄψυχα γενόμενα τὴν εὐταξίαν ἀποσώζει, οἷον
νύξ, ἡμέρα, ἥλιος, σελήνη, ἄστρα, στοιχεῖα, τροπαί, μῆνες,
ἑβδομάδες, ἡμέραι, ὧραι, καὶ δουλεύει τῇ διατυπωθείσῃ
χρείᾳ κατὰ τὸ εἰρημένον Ὅριον ἔθου, ὃ οὐ παρελεύσεται·
καὶ πάλιν περὶ τῆς θαλάσσης Ἐθέμην αὐτῇ ὅρια περι-

1 Aggae 1, 6 | 1 Prov 26, 9 | 5 Prov 23, 29. 30 | 9 Matth 10, 23 | 11 Matth 26, 41 | 18 Luc 10, 16 | 24 Psalm 104, 9 | 25 Iob 38, 10. 11

1 πίνειν w | 2 τοῦ + w | 4 τοῦ κυρίου xyt, κυρίου τοῦ θεοῦ w | 5 εἴρηται .... ἀη > y [sic] | 5 ἀηδεῖαι x, δίαι y | 6 πελιοῖ W, πελιοὶ x, πελιδνοῖ w, πελιδνοὶ y, πελίδνοι t | 6 τίνι xyt, τίνος w | 7 χρονϊζόντων w | 7 τῶν alterum > w | 7. 8 κατασκοπευόντων w | 10 τὸν λόγον xy | 10 προσλαμβάνεσθαι w, προσλαμβάνεσθεσ x | 11. 12 ἀποδράσκουσιν w, ἀποδιδράσκουσι yt | 12 ἀπαρχὴν y | 12 προσίενται w | 12 ἵν' y | 13 ἐφ' wxy, ἐν t | 14 τὰς + xy | 14 χρείας xy | 15 ἐκείνω x, τοῦτο w | 15 κοινῆι w | 15 πᾶσι w | 16 μὲν + x | 16 τῇ prius > t | 16 τῆι αὐτῶι δοθείσῃ τάξει w | 18 ὑμῶν ... ἀκούων xyt, ἀκούων γὰρ ὑμῶν φησὶν ὁ κύριος w | 20 ἐμὲ prius ... ἀθετῶν > y | 20 ὁ δὲ xt, καὶ ὁ w | 21 εἰ seqq > w substituens καὶ τὰ ἑξῆς | 21 γὰρ xt, τοίνυν y | 23 ἑνδομάδες y | 24 παρελεύσονται t

θεὶς * κλεῖθρα καὶ πύλας, εἶπα δὲ αὐτῇ Μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ, πόσῳ μᾶλλον ὑμεῖς οὐδὲν ὀφείλετε * παρακινεῖν τῶν ὑμῖν κατὰ γνώμην θεοῦ παρ' ἡμῶν ὁρισθέντων; ἀλλ' ἐπειδὴ πάρεργον οἱ πολλοὶ καὶ τοῦτο ἡγήσαντο εἶναι, συγχέειν δὲ τὰς τάξεις καὶ τὴν ἐφ' ἑκάστου χειροτονίαν παρακινεῖν τολμῶσιν, ὑφαρπάζοντες ἑαυτοῖς ἀξιώματα τὰ μὴ δεδομένα καὶ ἐπιτρέποντες ἑαυτοῖς τυραννικῶς ἃ μὴ ἔχουσιν ἐξουσίαν διδόναι, καὶ διὰ τοῦτο παροργίζουσι μὲν θεόν, ὥσπερ οἱ Κορεῖται καὶ ὁ βασιλεὺς Ὀζίας παρ' ἀξίαν ἐπιθέμενοι ἄνευ θεοῦ τῇ ἀρχιερωσύνῃ καὶ γενόμενοι οἱ μὲν πυρίφλεκτοι, ὁ δὲ κατὰ τοῦ μετώπου λεπρός, παροξύνουσι δὲ καὶ τὸν * χριστὸν τὸν διαταξάμενον, λυποῦσι δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀκυροῦντες αὐτοῦ τὴν μαρτυρίαν, εἰκότως τὸν ἐπηρτημένον κίνδυνον τοῖς τὰ τοιαῦτα πράττουσι προϊδόμενοι καὶ τὴν εἰς τὰς θυσίας καὶ εὐχαριστίας ἀμέλειαν ἐκ τοῦ ὑφ' ὧν μὴ χρὴ προσαγομένας ἀσεβῶς, παιδιὰν ἡγουμένων τὴν ἀρχιερατικὴν τιμήν, ἥτις μίμησιν περιέχει τοῦ μεγάλου ἀρχιερέως Ἰησοῦ χριστοῦ τοῦ βασιλέως ἡμῶν, ἀνάγκην ἔσχομεν καὶ τοῦτο παραινέσαι· ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τῆς ἑαυτῶν ματαιότητος. λέγομεν δὲ ὡς Μωσῆς ὁ τοῦ θεοῦ θεράπων, ᾧ ὁ θεὸς ἐνώπιος ἐνωπίῳ ὡμίλει ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον, ᾧ εἶπεν Οἶδά σε παρὰ πάντας, ᾧ κατὰ πρόσωπον ὡμίλει καὶ οὐ δι' ἀδήλων ἢ ἐνυπνίων ἢ ἀγγέλων ἢ αἰνιγμάτων, οὗτος, ἡνίκα τὴν θείαν νομοθεσίαν διετάσσετο, διεῖλε τίνα μὲν χρὴ ὑπὸ τῶν ἀρχιερέων ἐπιτελεῖσθαι, τίνα δὲ ὑπὸ τῶν ἱερέων, τίνα δὲ ὑπὸ τῶν Λευιτῶν, ἑκάστῳ τὴν οἰκείαν καὶ ἀνήκουσαν τῇ λειτουργίᾳ θρησκείαν ἀπονείμας. καὶ ἅπερ μὲν τοῖς ἀρχιερεῦσι προστέτακτο ἐπιτελεῖν, τούτοις τοὺς ἱερέας οὐ θε-

12 Eph 4, 30 | 19 Tim α 5, 15 | 21 Exod 33, 11 | 23 Exod 33, 19

1 καὶ + t | 2. 3 ὀφείλεται y | 3 τολμᾶν + yt | 7 τὰ > y | 7 διδόμενα t | 8 ἔχωσιν t | 9 κορῖται xy | 10 ἀρχιερωρωσύνη t | 11. 12 παροξύνουσιν x | 12 καὶ ... δὲ > t | 12 τὸν prius > y | 12 ἰησοῦν + y | 12 λυποῦσιν x | 14 ἐπηρτισμένον x | 14 τὰ > y | 14. 15 πράττουσιν x | 15 προειδόμενοι xyt | 21 δὲ > t | 22 λαλήσῃ t | 22 ὥω x | 23. 24 διαδήλων x, διαδῆλων y, διὰ δήλων t, ἐν ἄλλω δι' ἀδήλων margo t | 25 θείαν > y | 25 διεῖλεν x, διέστειλεν y | 28 θρισκείαν x | 28 ἅπερ xt, ὑπὲρ y | 28. 29 ἀρχιερεῦσιν x | 29 προσέτακτο t

μιτὸν ἦν προσιέναι, ἅπερ δὲ τοῖς ἱερεῦσιν ὥριστο, τούτοις οἱ Λευῖται οὐ προσῄεσαν, ἀλλ' ἕκαστοι ἃς παρειλήφεισαν ὑπηρεσίας περιγεγραμμένας ἐφύλαττον· εἰ δέ τις πέρα τῆς παραδόσεως προσιέναι ἐβούλετο, θάνατος ἦν τὸ ἐπιτίμιον. τοῦτο δὲ μάλιστα διέδειξε καὶ ἡ κατὰ τὸν Σαοὺλ πεῖρα, ὃς θῦσαι νενομικὼς δίχα τοῦ προφήτου καὶ ἀρχιερέως Σαμουὴλ ἔσπασεν εἰς ἑαυτὸν ἁμαρτίαν καὶ κατάραν ἀναπόβλητον, καὶ οὐδὲ τὸ κεχρῖσθαι ὑπ' αὐτοῦ εἰς βασιλέα ἐδυσώπησε τὸν προφήτην. ἐνεργεστέρᾳ δὲ τῇ πράξει διέδειξεν ὁ θεὸς * τοῖς κατὰ τὸν Ὀζίαν, οὐκ ἐν μελλησμῷ τὰς ἐπὶ τῇ παρανομίᾳ εἰσπραξάμενος δίκας· καὶ ὁ τῆς ἀρχιερωσύνης καταμανεὶς καὶ τῆς βασιλείας ἀλλότριος κατέστη. τὰ δὲ ἐφ' ἡμῶν ἴσως οὐκ ἀγνοεῖτε· ἴστε γὰρ πάντως ἐπισκόπους τε παρ' ἡμῶν ὀνομασθέντας καὶ πρεσβυτέρους καὶ διακόνους εὐχῇ καὶ χειρῶν ἐπιθέσει, τῇ διαφορᾷ τῶν ὀνομάτων * τὴν διαφορὰν τῶν πραγμάτων δεικνύοντας· οὐ γὰρ ὁ βουλόμενος παρ' ἡμῖν ἐπλήρου τὴν χεῖρα, ὥσπερ ἐπὶ τῆς κιβδήλου τῶν δαμάλεων ἐπὶ τοῦ Ἱεροβοὰμ παρακεκομμένης ἱερωσύνης, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ. εἰ μὲν γὰρ μὴ θεσμός τις ἦν καὶ τάξεων διαφορά, ἤρκει ἂν δι' ἑνὸς ὀνόματος τὰ ὅλα τελεῖσθαι· ἀλλ' ὑπὸ τοῦ κυρίου διδαχθέντες ἀκολουθίαν πραγμάτων, τοῖς μὲν ἐπισκόποις τὰ τῆς ἀρχιερωσύνης ἐνείμαμεν, τοῖς δὲ πρεσβυτέροις τὰ τῆς ἱερωσύνης, τοῖς δὲ διακόνοις τὰ τῆς πρὸς ἀμφοτέρους διακονίας, ἵν' ᾖ καθαρῶς τὰ τῆς θρησκείας ἐπιτελούμενα. οὔτε γὰρ διακόνῳ προσφέρειν θυσίαν θεμιτὸν ἢ βαπτίζειν ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην ποιεῖσθαι, οὔτε πρεσβύτερον χειροτονίας ἐπιτελεῖν· οὐ γὰρ ὅσιον ἀνεστράφθαι τὴν τάξιν. οὐ γάρ ἐστιν ὁ θεὸς ἀκαταστασίας, ἵνα οἱ ὑποβεβηκότες τὰ τῶν κρειττόνων τυραννικῶς σφετερίζωνται, νομοθεσίαν καινὴν ἀναπλάττοντες

17 Reg γ 13, 33 | 28 Cor α 14, 33

2 προσίεσαν xt | 2 ἃς x, ἅσπερ yt [ς t] | 2 παρειλήφεσαν y | 4 παραδώσεως X | 4 προϊέναι y | 5 διέδειξεν x | 7 ἔστησεν y, sed η a correctore m pr | 7 fin πόβλητον > Y | 8 ἐδυσώπησεν x | 9 ἐναργεστέρα y | 9 ἔδειξεν y | 9 ἐν + yt | 10 μελισμῷ t | 11 καὶ ὁ xt, ὁ οὖν y | 13 τε > yt | 15 καὶ + yt | 16 ἡμῶν y | 17 ἐπλήρου xt, ἐτίθει y | 19 μὲν γὰρ xt, τοίνυν y | 25 διάκονον y | 27 οὔτε x, οὖσε t, ἢ y | 30 σφετερίζονται x

ἐπὶ κακῷ τῷ ἑαυτῶν, ἀγνοοῦντες ὅτι σκληρὸν αὐτοῖς τὸ πρὸς κέντρα λακτίζειν· οὐ γὰρ ἡμᾶς ἢ τοὺς ἐπισκόπους πολεμοῦσιν οἱ τοιοῦτοι, ἀλλὰ τὸν πάντων ἐπίσκοπον καὶ τοῦ πατρὸς ἀρχιερέα, χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν. ὑπὸ Μωσέως μὲν γὰρ τοῦ θεοφιλεστάτου ἀρχιερεῖς κατεστάθησαν καὶ ἱερεῖς καὶ Λευῖται, ὑπὸ δὲ τοῦ σωτῆρος ἡμῶν ἡμεῖς οἱ δεκατρεῖς ἀπόστολοι, ὑπὸ δὲ τῶν ἀποστόλων ἐγὼ Ἰάκωβος καὶ ἐγὼ Κλήμης καὶ σὺν ἡμῖν ἕτεροι, ἵνα μὴ πάντας πάλιν καταλέγωμεν, κοινῇ δὲ ὑπὸ πάντων ἡμῶν πρεσβύτεροι καὶ διάκονοι καὶ ὑποδιάκονοι καὶ ἀναγνῶσται. πρῶτος τοίνυν * τῇ φύσει ἀρχιερεὺς ὁ μονογενὴς χριστός, οὐχ ἑαυτῷ τὴν τιμὴν ἁρπάσας, ἀλλὰ παρὰ τοῦ πατρὸς κατασταθείς· ὅς γενόμενος ἄνθρωπος δι' ἡμᾶς καὶ τὴν πνευματικὴν θυσίαν προσφέρων τῷ θεῷ αὐτοῦ καὶ πατρὶ πρὸ τοῦ πάθους, ἡμῖν διετάξατο μόνοις τοῦτο ποιεῖν, καίτοι ὄντων σὺν ἡμῖν καὶ ἑτέρων τῶν εἰς αὐτὸν πεπιστευκότων· ἀλλ' οὐ πάντως πᾶς ὁ πιστεύσας ἤδη καὶ ἱερεὺς κατέστη ἢ ἀρχιερατικῆς ἀξίας ἔτυχεν. μετὰ * τὴν ἀνάληψιν αὐτοῦ ἡμεῖς προσενεγκόντες κατὰ τὴν διάταξιν αὐτοῦ θυσίαν καθαρὰν * ἀναίμακτον, προεχειρισάμεθα ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους ἑπτὰ τὸν ἀριθμόν. ὧν εἷς ἦν Στέφανος ὁ μακαριώτατος μάρτυς, οὐκ ἀπολειπόμενος ἡμῶν κατὰ τὴν πρὸς θεὸν εὔνοιαν· ὅς τοσοῦτον τὴν θεοσέβειαν τῇ πίστει ἐνεδείξατο καὶ τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἀγάπην, ὡς ὑπὲρ αὐτοῦ δοῦναι καὶ τὴν ψυχήν, πρὸς τῶν κυριοκτόνων Ἰουδαίων λίθοις βληθείς. ἀλλ' ὅμως ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνήρ, ὁ τῷ πνεύματι ζέων, ὁ τὸν χριστὸν ὁρῶν ἐκ δεξιῶν τοῦ θεοῦ καὶ τὰς οὐρανίους πύλας ἀνεῳγμένας, οὐδαμοῦ φαίνεται τοῖς μὴ ἀνήκουσι τῇ διακονίᾳ χρησάμενος, ἢ θυσίαν ἀνενεγκὼν ἢ χεῖρας ἐπιθείς τινι, ἀλλὰ τὸ τῆς διακονίας τάγμα φυλάξας μέχρι τέλους· οὕτω γὰρ ἔπρεπε τῷ τοῦ χριστοῦ μάρτυρι τὴν

1 Act 26, 14 | 26 Act 18, 25 | 27 Act 7, 55. 56

3 τῶν t | 3 πάντον x | 8 ὑμῖν t | 8 πάντα x | 8. 9 πάλιν πάντας y | 10 οἱποδιάκονοι x | 11 ὁ + y | 14 τῷ πατρὶ αὐτοῦ καὶ θεῷ y | 16 πάντων y | 16 πᾶς > t | 17 πιστεύων y | 17 ἔτυχε yt | 18 δὲ + yt | 18 αὐτοῦ > y | 19 καὶ + yt | 21 μακάριος yt | 28 οὐρανίας t | 29 ἀνήκουσιν x | 31 ἔπρεπεν x

εὐταξίαν ἀποσῴζειν. εἰ δὲ Φίλιππον τὸν διάκονον ἡμῶν καὶ Ἀνανίαν τὸν πιστὸν ἀδελφὸν αἰτιῶνταί τινες, ὅτι ὁ μὲν τὸν εὐνοῦχον ἐβάπτισεν, ὁ δὲ ἐμὲ Παῦλον, ἀγνοοῦσιν αὐτοὶ ὃ λέγομεν ἡμεῖς. εἴπομεν γὰρ ὅτι οὐχ ἑαυτῷ τις ἁρπάζει τὸ ἱερατικὸν ἀξίωμα, ἀλλ' ἢ παρὰ τοῦ θεοῦ λαμβάνει ὡς Μελχισεδὲκ καὶ Ἰώβ, ἢ παρὰ ἀρχιερέως ὡς Ἀαρὼν παρὰ Μωσέως· οὐκοῦν καὶ Φίλιππος καὶ Ἀνανίας οὐχ ἑαυτοὺς προείλοντο, ἀλλ' ὑπὸ τοῦ χριστοῦ προεχειρίσθησαν τοῦ ἀρχιερέως τοῦ ἀσυγκρίτου θεοῦ.

6 ἀρχιερέων y | 7 οὐχ xt, οὐκ αὐτοὶ y | 9 Lagarde reliqq p 18, 16

---

## Scholia*)

x 59^b y 47^a Ὅτι ἀργὸν οὐ χρὴ ἐσθίειν τινὰ τῶν πιστῶν, ὡς [οὐδὲ + y] οἱ περὶ Πέτρον ἁλιεῖς [> y] καὶ οἱ λοιποὶ ἀπόστολοι, οἱ δὲ [[2] οὐδὲ οἱ y] περὶ Παῦλον καὶ Ἀκύλαν σκηνοποιοί, οἱ δὲ [[2] οὐδὲ οἱ y] περὶ Ἰούδαν Ἰακώβου [οἱ μὲν γὰρ ἦσαν σκηνοποιὸι ὁι δὲ + y] γῆς ἐργάται. ἱστορεῖ Ἡγήσιππος καὶ Τερτυλιανὸς [τερτιλιανὸς y] ὁ Ῥωμαῖος.

x 160^b y 105^a α Πέτρος ὁ τῶν ἀποστόλων πρόκριτος ἐκήρυξε [ν + x] τὸ εὐαγγέλιον Πόντῳ Γαλατίᾳ Καππαδοκίᾳ Ἀσίᾳ [> y] Βιθυνίᾳ καὶ τελευταῖον ἐν Ῥώμῃ [τῆ ῥωμαίων y], ἐν ᾗ καὶ ἐσταυρώθη ὑπὸ Ἀγρίππα πραιφέκτου [πρεφ" y] βασιλεύοντος Νέρωνος, εἰς ἣν καὶ θάπτεται [τέθαπται y].

x 147^a y 106^b β Ἀνδρέας ὁ [> y] ἀδελφὸς Πέτρου κηρύττει [ἐκήριξεν y] τὸ εὐαγγέλιον Σκύθαις Σογδιανοῖς [ογδιανοῖς x] Θρᾳξίν, ὃς διὰ τὸ χριστοῦ κήρυγμα [κύρ" y] σταυρῷ τελειοῦται ὑπὸ Αἰγεάτου [αιγαιάτου x] ἀνθυπάτου, καὶ ἐτάφη ἐν Πάτραις, ὕστερον δὲ μετετέθη ἐν Κωνσταντινουπόλει ὑπὸ Κωνσταντίνου ["τίου y] αὐτοκράτορος.

x 161^b y 110^b γ Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, ἀδελφὸς Ἰωάννου, ἐκήρυξεν ἐν Ἰουδαίᾳ τὸ εὐαγγέλιον, ἀνῃρέθη [δὲ + y] μαχαίρᾳ ὑπὸ Ἡρώδου τοῦ τετράρχου καὶ κεῖται ἐν Καισαρείᾳ.

x 171^b y 116^b δ Ἰωάννης ὁ εὐαγγελιστής, ἀδελφὸς Ἰακώβου, φυγαδευθεὶς ὑπὸ Δομετιανοῦ ἐν Πάτμῳ τῇ νήσῳ συνεγράψατο τὸ κατ' αὐτὸν εὐαγγέλιον ἐν τοῖς Τραϊανοῦ χρόνοις. κεῖται [δὲ + y] ἐν

*) ea quae xy habent communi more scripta edo, quae unus tantum codex praebet, ita profero ut in illo exarata leguntur.

Ἐφέσῳ ἰδίῳ τέλει χρησάμενος, οὗ τὸ λείψανον ζητηθὲν οὐχ εὕρηται [ἥυρηται x].

x $172^{a}$ y $117^{a}$ ε Φίλιππος ἀσιανῇ διοικήσει κηρύξας τὸν ζωοποιὸν λόγον ἐν Ἱεραπόλει τῆς Φρυγίας [˝γείας y] τέθαπται ἅμα ταῖς θυγατράσιν [˝σι y], μαρτυρίῳ τελειωθεὶς ἐπὶ Δομετιανοῦ αὐτοκράτορος.

x $172^{b}$ y $117^{a}$ ς Βαρθολομαῖος Ἰνδοῖς*) τὸ κατὰ Ματθαῖον ἐκήρυξεν εὐαγγέλιον, ὃς καὶ τέθαπται ἐν Ἰνδίᾳ.

x $173^{a}$ y $117^{b}$ ζ Θωμᾶς ἐκήρυξεν Πάρθοις Μήδοις Πέρσαις Γερμανοῖς**) Ὑρκανοῖς Βακτριανοῖς [βακηρ˝ y?] Βαρσοῖς [μάρσοις y], ὃς καὶ μαρτυρήσας κεῖται ἐν Ἐδέσῃ τῆς Ὀσδροήνης [ὀδνοήνης y].

η Matthaeus est, de quo nihil adnotatur.

y $117^{b}$ θ ἰάκωβος ἀλφάιου τὰς ιβ φυλᾶς ταῖς ἐν τῇ διασπορᾷ κηρύττει τὸ εὐαγγέλιον, ὃς καὶ αὐτὸς κεῖται ἐν ἰοδαία.

x $174^{a}$ y $118^{a}$ ι Θαδδαῖος ὁ καὶ Λεββαῖος, ἐπικαλούμενος [δὲ καὶ + y] Ἰούδας ζηλωτής, Ἐδεσηνοῖς [ἐδαισηνοῖς x] κηρύξας τὸν λόγον καὶ τοῖς ἐν τῇ μέσῃ τῶν ποταμῶν Ἀβγάρου Ἐδέσης τοπαρχοῦντος, [διὸ τέλει χρησάμενος + y] τέθαπται [θάπτεται y] ἐν Βηρυτῷ τῆς Φοινίκης.

ibidem ια Σίμων ὁ κανανίτης [καὶ + y] κήρυξ τοῦ λόγου σταυρῷ [διὰ σταυροῦ y] τελειοῦται ἐν τῇ [> y] Ἰουδαίᾳ ἐπὶ Δομετιανοῦ.

y $118^{b}$ ιβ ματθίας ἐν ἰουδαία διδάσκων τὸν χριστοῦ λόγον τῶν ἑνδομήκοντα γεγονῶς μαθητῶν· ὃς μετὰ τὴν χριστοῦ ἄνοδον συγκατηριθμήθη τοῖς ιβ ἀποστόλοις ἀντὶ ἰούδα τοῦ γενομένου προδότου· κεῖται ἐν ἰλῆμ.

x $175^{b}$ y $119^{a}$ Παῦλος [ὁ τῶν ἐθνῶν διδάσκαλος + x] ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ καταγγελίας τὸ [τω x] χριστοῦ εὐαγγέλιον τοῖς ἔθνεσιν ἐν Ῥώμῃ διδάσκων τὸν λόγον ἀνῃρέθη ὑπὸ Νέρωνος καὶ Ἀγρίππα βασιλέων Ῥώμης κεφαλῇ κολασθεὶς [τὴν κεφαλὴν ἀποτμηθεὶς y] καὶ τέθαπται ἐν τῇ αὐτῇ Ῥώμῃ.

x $178^{a}$ y $120^{b}$ Ἰάκωβος ὁ τοῦ κυρίου ἀδελφὸς λίθοις [ξύλοις y] ὑπὸ Ἰουδαίων ἐν Ἱεροσολύμοις διὰ τὸν χριστοῦ λόγον ἀνῄρηται [˝ρειται y].

confer notum libellum quem e codice w $147^{b}$—$149^{b}$ ita edo ut scriptus est***), nisi quod σ in fine vocabulorum retinere nolui:

ἱππολύτου ἐπισκόπου ῥώμης· καὶ δωροθέου ἐπισκόπου τύρου καὶ ἱερομάρτυρος· περὶ τῶν μαθητῶν τοῦ κυρίου, ὅπου ἕκαστος αὐτῶν ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ χριστοῦ, καὶ ἐτελειώθη ⁘

---

*) id est Arabibus Homeritis. Euseb HE ε 10.

**) recte Seb Tengnagel *Kermâni Pâres* literis persicis margini adscripsit.

***) hunc pudet in editione Hippolyti omisisse, quod feci non quia non nossem, sed quia propter additum Dorothei nomen videretur in suspicionem vocari posse. sed manifesto ad eundem auctorem pertinet ad quem chronicon. similiter scriptus est canon muratorianus qui dicitur. chronici contuli codicem harleianum 5251: *incipit liber generationibus Adam usque ad ordinem quae continetur in huius volumine libri.* tota autem tela hippolytea de integro retexenda est.

α Πέτρος· οὗτος ἐκήρυξεν ἐν γαλϊλαίαι καὶ ἐν τοῖς μεσογείοις πόντου· καὶ γαλάταις· καὶ ἀσίας· καὶ βιθυνίας· καὶ ῥώμης ἔνθα καὶ ἐσταυρώθη ὑπὸ ἀγρίππα πρεφέκτου. ἐν χρόνοις νέρωνος, βασιλέως ῥωμαίων ⁘

β Παῦλος· οὗτος ἐκήρυξεν ἀπὸ ἱερουσαλημ ἕως τοῦ ἰλλυρικοῦ· καὶ ἰταλίας· καὶ ἰσπανίας· μέχρι ῥώμης, ἔνθα καὶ τὴν κεφαλὴν ἀπετμήθει ὑπὸ τῶν αὐτῶν ἀσεβῶν ἀρχόντων· κηρύξας τὴν ἐνσεβῆι πίστιν τῆι ἀνθρωπότητι ἐν ἔτεσι λε̄· ἐτελιώθη δὲ μετὰ πέτρου, ἐν τῆι εἰρημένη πόλει ῥώμηι ⁘

γ Ἰάκωβος ὁ τοῦ ζεβεδάιου· οὗτος ταῖς ιβ̅ φυλαῖς τοῦ ἰσραὴλ ταῖς ἐν τῆι διασποράι· ἐναγγελισάμενος τὸν χριστὸν, ἀναιρεῖται μαχάιρα, ὑπὸ ἠρώδου τοῦ τετράρχου ⁘

δ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ· οὗτος τῆι ἀσῆα κηρύσσων, ὑπὸ δομετιανοῦ βασιλέως ῥώμης, ἐξωρίσθη ἐν πάτμωι τῆι νήσω· ἔνθα καὶ συνεγράψατο τὸ ἐναγγέλιον αὐτοῦ· ἐν τοῖς χρόνοις τραϊανοῦ ὅπου καὶ τὴν ἀποκάλυψιν ἐθεάσατο· ἐτέθη δὲ ἐν ἐφέσωι, μετάρσιος γεγονώς· διὸ καὶ ὁ λόγος κεκράτηκε. σὺν τῶι ἐνὼχ καὶ ἠλία ἔτι ἐν σαρκὶ αὐτὸν ὑπάρχειν ⁘

ε Ἀνδρέας ὁ ἀδελφὸς πέτρου· οὗτος ἐκήρυξεν πάση τῆι παραλίω· βϊθυνίαστὲ καὶ πόντου· θράκης καὶ σκυθίας· μετέπειτα δὲ, ἐπορεύθη ἐν σεβαστουπόλει τῆι μεγάληι· ὅπου παρεμβάλλει ψάρος καὶ φάσις ποταμός· οὗ ἐσώτερον οἱ αἰθίοπες οἰκοῦσιν· ἔπειτα ἐν πάτραις τῆς ἀχαΐας· καὶ ἐσταυρώθη ὑπὸ αἰγεάτου ἀνθυπάτου· καὶ ἐτέθη ἐν πάτραις τῆς ἑλλάδος· μετετέθη δὲ, ἐν κωνσταντινούπολει μεταλουκᾶι τοῦ ἐναγγελιστοῦ καὶ τιμοθέου.

ς Φίλϊππος· οὗτος ἐν φρυνία ἐκήρυξε τὸν χριστὸν· καὶ ἐσταυρώθη ἐν ἱεράπολει τῆς ἀσίας. ἔνθα καὶ ἐτέθη ⁘

ζ Βαρθολομαῖος· οὗτος τοῖς ἰνδοῖς τοῖς καλουμένοις ἐνδαίμοσι· κηρύξας τὸν χριστὸν καὶ δεδωκὼς αὐτοῖς τὸ κατὰ ματθαῖον ἐναγγέλιον, τέθαπται ἐν οὐρβανουπολει τὴν κεφαλὴν ἀποτμηθείς· πρὸ τῆς σφαγῆς ἐκδαρθεὶς ὥσπερ θύλαξ ⁘

η Θωμᾶς· οὗτος ἐκήρυξε πάρθοις καὶ μήδοις· καὶ γερμανοῖς, καὶ ὑρκανοῖς· τελειοῦται δὲ λογχευθεὶς· ἐν πόλει τῆς ἰνδίας, καλαμίτη λεγομένη· κεῖται δὲ, ἐν ἐδέση τῆς ὀσδρόνης ⁘

θ Ματθαῖος ὁ τελώνης· οὗτος τῆι ἑβραΐδι γλώσση, τὸ ἐναγγέλιον αὐτοῦ συνεγράψατο πρῶτος ἐν ἱερουσαλὴμ· ἡρμηνεύθη δὲ τῆι ἑλληνικῆι γλώσσηι, ὑπὸ ἰωάννου τοῦ ζεβεδάιου· οὗτος κηρύξας τὸν χριστὸν ἐν ἱεραπόλει τῆς συρίας πυρὶ τελειοῦται ⁘

ι Ἰούδας ἰακώβου· οὗτος ἐν πάση τῆι μεσοποταμίαι κηρύξας τὸν χριστὸν, ὑπὸ ἰουδαίων ἀναιρεῖται λίθοις· κεῖται δὲ ἐνεδέση τῆι πόλει ⁘

ια Θαδδαῖος ὁ λεβαῖος καὶ ἰούδας· οὗτος ἐδεσινοῖς ἐκήρυξε· τέθαπται δὲ ἐν ὀστρακνη τῆι πόλει τῆς αἰγύπτου. σταυρωθείς ⁘

ιβ Ἰάκωβος· οὗτος ἦν ἀδελφὸς τοῦ κυρίου, κατα σακα [sic?]· καθίσταται δὲ, πρῶτος ἐπίσκοπος ἐνιερουσαλὴμ· οὗτος ἐμαρτύρησε καταβληθεὶς ὑπὸ ἀνόμων ἀνδρῶν, ἐκ τοῦ πτερυγίου τοῦ ναοῦ τοῦ ἐν

ἱερουσαλὴμ· κειμένου αὐτοῦ κάτω καὶ ἔτι ζῶντος, κναφεὺς ἀνεῖλεν αὐτὸν· πατάξας τῶι ξύλωι μεθ' οὗ ἐβάσταζε τὰ ἱμάτια καὶ ἐπορεύετο ἀποπλύναι αὐτά ∵

ιγ Σίμων ὁ κανανίτης ὁ ζηλωτὴς· οὗτος ἐκήρυξε πάσῃ τῆι βρεττανία. καὶ τῆι τῶν ἀφρῶν χώρα· μετέπειτα δὲ ἐν τῆ ἰουδαίαι καθίσταται ἐν σιὼν ἐπίσκοπος. μετὰ ἰάκωβον τὸν δίκαιον, τὸν ἀδελφόν κυρίου· ὅστις ζήσας ἔτη ρκε, ἐμαρτύρησε σταυρωθεὶς ἐπὶ ἀδριανοῦ βασιλέως, ῥώμης ∵

ιδ Ματθίας δὲ· οὗτος ἐν τῆι ἰουδαία ἐκήρυξε τὸν λόγον· εἷς ὢν, ἐκ τῶν ἑβδομίκοντα μαθητῶν· μετὰ τὴν τοῦ κυρίου ἀνάστασιν συγκαταριθμηθεὶς τοῖς ια ἀποστόλοις, ἀντὶ ἰούδα· ὃς καὶ ἐν τῆι πρώτηι αἰθιοπία κηρύξας τὸν χριστὸν, τελειοῦται καὶ τέθαπται ἐκεῖ ∵

ιε Λουκᾶς ὁ εὐαγγελιστὴς· οὗτος σὺν τῶι παύλωι ἐκοπίασεν ἐν τῶι ἐναγγελίωι τοῦ χριστοῦ· ὅστις τὸ εὐαγγέλιον αὐτοῦ καὶ τὰς πράξεις τῶν ἀποστόλων ἔγραψε θεοφίλωι ἐπισκόπωι ἀντιοχείας τῆς μεγάλης· οὗτός ἐστιν οὗ μέμνηται παῦλος ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ λέγων· συνέπεμψα δὲ μετὰτούτων, τὸν ἀδελφὸν οὗ ὁ ἔπαινος ἐν τῶι ἐναγγελίωι*)· καὶ πάλιν· ἀσπάζεται ὑμᾶς λουκᾶς ὁ ἰατρός**) ∵

ις Μάρκος ὁ εὐαγγελιστὴς· οὗτος ἐν τῆι αἰγύπτωι ταῖς ιβ φυλαῖς ταῖς ἐν τῆι διασπορᾶι· κηρύσσων τὴν πίστιν. καθίσταται ἐπίσκοπος ἐν ἀλεξανδρείαι τῆι μεγαλῃ· ὃς καὶ τὸ εὐαγγέλιον συνέγραψε, ὡς πέτρος ὁ ἀπόστολος αὐτῶι ὑφηγήσατο· ὃν καὶ υἱὸν ὀνομάζει ἐν τῆι ἐπιστολῆι αὐτοῦ ὁ πέτρος οὕτως λέγων· ἀσπάζεται ὑμᾶς, μάρκος ὁ υἱός μου***) ∵

Ὁ μὲν φίλιππος ὁ ἀποβηθσαιδὰ, κεῖται ἐν ἱεράπολει, ὅπου καὶ ἐσταυρώθη ∻ ὁ δὲ εἰστοὺς ἑβδομίκοντα φίλιππος εἷς ὢν ἐκ τῶν ἑπτὰ διακόνων· ὁ καὶ τὸν κανδάκην βαπτίσας θυγατέρας ἔσχεν τέσσαρας· καὶ κεῖται ἐν τράλῃ τῆς ἀσίας μετὰ καὶ τῶν θυγατέρων αὐτοῦ, ὕστερον δὲ, μετετέθησαν ∵

Canones apostolorum non sunt nisi in wt neque eos in xy unquam fuisse credo, z quum in fine mutilus sit, dubitationi locum dat. praeceduntur in w eo libello quem in reliquiis meis p 36. 37 edidi. discrepantia scripturae haec est:

reliquiarum p 36

2 ἐν τῇ ἑβδομάδι] τὴν ἑβδομάδα | 3 διακηνησίμου | 4 θετϊκῶς ? | 6 καταταγέσθω | 9 μεταλαβὼν τοῦ σώματος | 9 λούσηται [καὶ non omittitur] | 15 ἐξέλθῃ | 16 fin sequitur canon decimus quartus, ζ vocatus | 17 μορὸν | 18 ἔσται | 19 ἣ μητρὸς > | 19 ἔστω > | 22 εἰστὴν τράπεζαν | 24 ἀγάγει | 25 ἔστω > | 26 μωσῆι |

37

4 κτινῶν | 5. 6 vide p 36, 16 | 9 ἀπαρχῆς | 9 λινοῦ | 9 μωσῆι | 11 δίδει | 11 μάνταις | 11 δίδει | 12 ante πιστοὶ + γήσ |

---

*) Cor β 8, 18 | **) Col 4, 14 | ***) Petr α 5, 13

reliquiarum 20

12 ἕτεροι κανόνες τῶν ἁγίων ἀποστόλων οἵτινες ἐγράφησαν κατὰ τάξιν w, Κανόνες ἐκκλησιαστικοὶ τῶν αὐτῶν ἁγίων ἀποστόλων t | 13 ὑπὸ ἐπισκόπων χειροτονείσθω t | 14 χειροτονείσθω > t | 16 τοῦ] ὑπὸ t | 17 τὸ wt, τῳ W? | 17 ἤ μέλι ante ἐπὶ alterum t | 17 τοῦ θεοῦ + post τὸ t |

21

1. 2 τῷ καιρῷ τῷ δέοντι post καθαιρείσθω t | 1 post χιδρῶν + ἢ στάχυας σίτου t | 2 δὲ > t | 2 ἕτερον > t | 3 ἤ] καὶ t | 3 ἁγίαν + ante λυχνίαν t | 3 ἁγίας προσφορᾶς] θείας ἀναφορᾶς t, ἁγίας ἀναφορᾶς w | 4 δ' + ante ἄλλη t | 6 ἐπιμερίζουσιν w | 6 καὶ + ante τοῖς prius t | 9 ἐκβάλῃ t | 11. 12 ἀναλαμβανέσθω t | 12 μή] μήγε t | 13 .... p 22, 5 > w, sed ex numeris margini adscriptis manifestum est librarium aut in autographo non invenisse aut consulto omisisse, nam canon 12 vocatur ζ | 17 εὔλογος ἤ t | 17 εἴ] ἐὰν t | 18 γενηθεὶς t | 19 fin ἀνενεγκόντος t | 20 εἰς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν post πιστοὺς + t | 20 ἱερῶν + ante γραφῶν t |

22

1 ἂν post ὡς + t | 1 ἀταξίαν t | 3 οὗτος] καὶ αὐτὸς t | 6 ἢ λαϊκὸς > w | 6 ἀπελθὸν W | 7 ἀφοριζέσθωσαν οἱ δεξάμενοι t | 9 ... 15 > w | 9 εἴη] ἢ t | 10 τὴν > t | 10 τοῦ > t | 12 ἡ + post ἢ t | 13 ποιῆσαι t | 13 πλεῖόν t | 14 τῆς post λόγῳ + t | 15 γίνεσθαι > t | 16 τοῦ > t | 17 ἀπολήψας w | 17 παρὰ .... ἐπισκόπου > wt, habent ante τοῦτον 19 | 18 ἀπέλθῃ t | 18 μεταστὰς] ἐν ἄλλῳ διαστάς margo t 18 διατρίβῃ t | 19 vide ad 17 | 20 ἐπανελθεῖν τοῦ ἐπισκόπου t, omisso αὐτοῦ |

23

1 τυγχάνουσιν w | 1 ἡγησάμενος t | 2 δέξηται wt | 4 παλακὴν w | 7—11 > w |

24

2 ἐπισκοπῆς + post ἄξιος wt | 2 γενέσθω t | 3 ἀκροτηριάσας w | 3 ἑαυτὸν ἀκρωτηριάσας t | 3 αὐτοφόντης t | 4 ἐστι t | 4 ἑαυτοῦ > t | 5 ἀκρωτηριάσῃ t, ἀκροτηριάσῃ w | 5 καθερείσθω w | 7 ἀκροτηριάσας wt | 7 ἐστιν wt | 9 ἐπὶ] ὁ t | 10 λέγει .... 18 fin > w | 11 τὸ αὐτὸ t, qui ἐν θλίψει addit | 11 δὲ > t | 12 παρελθόντων t | 13 μόνους t | 15 ἐθέλοντας t | 16 γὰρ ἡμᾶς ὁ κύριος ταῦτα t |

25

2 ἐπ' t | 2 ἐγκλήμασιν w | 2 ἐφάψασθαι t | 6 ἐκκοπτέσθω wt | 6 παντάπασιν w | 8—16 > w | 13 καὶ] ἢ t, ἐν ἄλλῳ εὐσεβείᾳ καὶ δικαιοσ. t *addend* | 14 ἐστι t | 14 ὡσαύτως δὲ > t | 15 ἢ + post δευτέραν t | 16 τοῦ ἐπισκόπου παράκλησιν t | 18 ἀλλ' ἤ] ἀλλὰ w |

26

1 ἀφωρίσαντος t | 1 τελευτήσει w | 3 ... 15 > w | 4 προσδέχεσθε t, praemisso γραμμάτων | 7 καὶ + post γὰρ t | 9 περιττὸν πράττειν t | 10 πράττειν > t | 10 ἑαυτοῦ t | 12 οὕτω t | 13 τοῦ κυρίου] χριστοῦ t | 13 τῷ + post ἐν t | 13 ὁ πατὴρ ... 14 πνεῦμα > t | 15 > t | 17

*καὶ*] *ἢ* t | 17 *ἐλεγχθεῖ* w | 18 *γνώμην* + post *τὴν* w | 19 *γνώμην* > w | 20 *εἰ*] *ἰ* t | 21 *ἀφορισμένον* t | p 26, 20 .... p 28, 15 > w |

27

11 *τοῦ* > t | 13 *εἶεν*] *ὦσιν* t | 13 *ὡς πενησιν ἐπιχορηγείτω* t | 15 *οἱ* + post *καὶ* t | 18 *Εστω* t | 19 *ἵνα* t | 20 *ὡς βούληται καὶ οἷς βούλεται* t | 24 *μήτε τὸν ἐπίσκοπον* > t | 25 [ ] habet t | 25 *ἢ* alterum] *εἰ καὶ* t |

28

5 *τῶν* + ante *διακόνων* t | 5 *ἐπιχορηγεῖσθαι* t | 9 *προσεδρεύοντας*] *παραμένοντας* t | 14 *τὰ* > t | 15 fin *ὡσαύτως καὶ λαϊκὸς* + t | 16. 17 *δανϊζομένους* w | 18 ... p 29, 2 > w | 21 *ἢ διάκονον* + ante *αἱρετικῶν* t | 25 *μεμολυμμένον* t |

29

3 *ἐκβαλὼν* t, *ἐκβαλλὼν* w | 3 *ἢ* prius > wt | 3 *ἑτέρα* W | 6 *βαπτίση* wt | 6 *ἢ* + post *ἀλλὰ* w | 9 *ἐπιτελέση* wt | 9 *ἓν* > t | 11 *βαπτίζετε* w addens *αὐτοὺς* | 11 *ἀλλ'* w | 11 *πορευθέντες* ... 12 *αὐτοὺς* > w | 15 *διὰ* > t | 16 *ἐπιλανθανόμενος* t | 17 *ἄρρεν* t | 19 *ἀποβαλλέσθω* wt | 21 *προσδέχεται* wt | 21 *λυπῇ* w | 21 *χριστὸν τὸν*] *τὸν χριστὸν* t |

30

2 *μεταλάβῃ* w | 2 *καὶ* prius] *ἢ* t | 2 *βδελυσσόμενος* ... 3 *ἄσκησιν* > t | 2 *βδελλυσσόμενος* w | 3 *κεκαυστηριασμένος* t | 4 *γίνεται* w | 5 *φορᾳθῇ* t, *φωραθῇ* w | 6 *καταλύειν* t | 7 *ἑαυτοῦ* + w ante *ἐπίσκοπον* | 7 *ἀδίκως* + t post *ἐπίσκοπον* | 7 *γὰρ φησὶ* + t ante *τοῦ*, *γὰρ* ibidem + w, *φησὶν* post *λαοῦ* 8 + w | 8 *σου* > w | 10 *χωλὸν ἢ* > t | 10 *ἢ τυφλὸν ἢ κωφὸν* w | 10 *τὸν* + t ante *τὰς* | 11 *χλευάσῃ* wt | 12 ... 19 > w | 16 *ἐπιχορηγῇ* t | 21 *ἐλεγχθῇ* wt | 22 ... p 31, 2 > w, sed canonem *ξβ* post *οθ* habet, *μδ* numerans | 23 *ἀρνήσηται* tw | 23 *ἀποβαλλέσθω*] *ἀφοριζέσθω* t |

31

1 *τοῦ* > w | 3 *ἐκ* + wt ante *τοῦ* | 4 *κρέας* t | 5 *καὶ* + wt post *γὰρ* | 5 *εἰ*] *ἐὰν* t | 6 *εἴη*] *ἤ* t, > w | 7 *νηστεύων* > t, habet post *μόνον* 8 | 8 *μόνον* + post *ἑνὸς* wt | 8 *εἰ*] *ἐὰν* t, qui *ἤ* + post *λαϊκὸς* | 9. 10 > w | 11 *καὶ* + wt ante *ἀπὸ* | 11 *κρούσματος* wt | 12 *ἀποκτείνας* w | 12 *ἤ* + post *λαϊκὸς* wt | 14 *ἔχει*] *σχῇ* t, *ἔχῃ* w | 15 *καὶ* + post *ἦν* tw | 15. 16 *ἠρετήσατο* w | 18 *δέξηται* wt | 19 *μήγε* ... *παρὰ*] *μὴ δείξοι παρ'* t | 19 *ἔχει*] *αὐτὸν ἔχειν* t | 20 *τῶν* > t | 20 *ἢ χειροτονηθέντας* > w |

32

1 *ἢ ὑποδιάκονος* > t | 2 *νηστεύει* t | 2 *ἢ* alterum > w | 3 *ἢ*] *καὶ* w | 5 ... 10 > w | 5 *ἢ* primum ... 6 *νηστεύοι*] *ἢ ἄλλος κληρικὸς νηστεύει* t | 6 *ἑορτάζει* t | 7 *παρ'* > t | 8 *ἤ* + post *λαικὸς* t | 9 *εἰς* + post *ἢ* t | 10 *ἢ* + ante *ἐν* t, > ante *λύχνους* t | 10 *ἅψῃ* t | 12 *τιθέτω* w | 13 *ἀργυροῦ ἢ χρυσοῦ ἢ ὀθόνης ἁγιασθὲν* t | 14 *οἰκίαν* w | 14 *φοραθείη* t | 16 ... p 33, 5 > w | 16 *παρὰ*] *ὑπὸ* t | 16 *ἀνθρώπων*] *καὶ πιστῶν προσώπων* t | 18 *ὁμολογήσοι*] *ἀπολογήσοιτο* t | 19 *ὑπακούσοι* t | 19. 20 *δύο ἐπισκόπων ἀποσταλλέντων πρὸς αὐτὸν* t | 20 *οὕτω* t | 20 *μὴ* ... *οὕτως* 33, 1 > t |

33

1 *ἀπαντήση* t | 4 *μόνον. φησὶ γὰρ ὁ νόμος* + t post *ἕνα* | 4 *γὰρ* > t | 4 *ἢ*] *καὶ* t | 7 *ὃν*] *οὓς αὐτὸς* t | 8 *αὐτοῦ* + ante *ποιεῖσθαι* t | 8 *καὶ* + post *δίκαιον* w | 9 *θεοῦ*] *χριστοῦ* t | 10 *ποιήσοι* t | 12 *εἰ*] *Εάν* t | 12 *ἀνάπειρος* w | 12 *ἢ* > w | 15 *δὲ* > w | 16 *παρεμποδίζηται* t, *ἐμποδίζοιτο* w | 17 *σχῆι* w | 19 fin + w canonem *ξβ* vide supra p 30, 22 | 20 *ἐθνικοῦ βίου*] *ἐθνῶν* t | 21 *ἔστιν* w | 21 *ἐπίσκοπον*] *εἰς ἐπισκοπὴν* t | 23 *γένοιτο* t |

34

1 ... 12 > w | 1 *ἢ πρεσβύτερον* > t | 1 *καθεῖναι* t | 7 *κατεργάζεται* t | 8 *αἶος ὀνήσιμος ὁ ἡμέτερος ἀνεφάνη* t | 8 *συγχωροῦσιν* t | 9 *ἐλευθεροῦσι* t | 9 *ἐξαποστέλλουσι* t | 14 *ἢι* + post *κληρικὸς* w | 15 ... p 35, 10 *ἀποστόλων* > w | 17 *καὶ* + t ante *δευτερονόμιον* | 17 *τοῦ* + t ante *ναυὴ* | 17 *τῶν* + ante *κριτῶν* t | 17 *τῆς* + ante *ῥοὺθ* t | 18 *δ*] *τέσσαρα* t | 19 ante *μακαββαίων* [sic scribit t] + *ἰουδεὶθ ἓν* t | 19 *ἓν* alterum] *τρία* t, addens *ἰὼβ ἓν· ψαλτήριον ἓν·* | 19 *Σολομῶνος* t | 19 *βιβλία* + ante *τρία* t |

35

1 *δεκαδύο*] *δεκαὲξ* t | 2 *ἓν ἱερεμίου, ἓν ἰεζεκιήλ* t | 3 *τὴν σοφίαν* t | 4 *δ*] *τέσσαρα* t | 5 *ιδ*] *δεκατέσσαρες* t | 10 *ταῦτα* .... 11 *ἐπίσκοποι*] *ταῦτα διέταξάμεθα ὑμῖν ὦ ἐπίσκοποι, καὶ πᾶσιν ὑμῖν τοῖς χριστιανοῖς* w | 14 *αἴδιος*] *ἀγέννητος* t | 15 *σθενώσει*] *ἑνώσει* t | 15 *καὶ* > t | 15 *καταρτίσει* t, *καταστήσει* w | 16 *καὶ καταξιώσει*] *καταξιώσει τε* t | 19 *πατρὶ σὺν*] *καὶ πατρὶ ἐν* t | 20 *τε* + post *νῦν* t | 20 *τέλος τῶν διατάξεων τῶν ἁγίων ἀποστόλων* subscr w, qui canones numeravit *μζ*, *Τέλος διαταγῶν τῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος καθολικῆς διδασκαλίας* subscr t.

---

HISTORY OXFORD OF ART

## Addenda et corrigenda

In editionis venetae pagina antepenultima erratorum tabula invenitur, quam non animadverti nisi libro meo finito. qua pudenda neglegentia mea factum est, ut in commentario sive corrigenda sive supplenda haec sint (Turrianus in scripturis suis afferendis ipse interdum errat):

1, 12 ***θεὸν*** habet t
2, 14 ***ὁ*** habet t
2, 26 ***πλησίον σου ᾶ κτε͂*** t
21, 4 ***τῇ*** habet t
21, 17 ***γὰρ*** habet t
34, 18 ***τὰ*** habet t
37, 12 fin ***ψυχικῆς*** + t
39, 19 ***πιστῶν*** + t = Cotel
57, 5 ***διηνεκῶς*** + t = Cotel
62, 19 ***καὶ πάντων δεομένων*** + t = Cotel
70, 4 ***δικαίων*** t = Cotel
73, 20 ***τὰς*** etiam t
74, 17 ***Πέτρον*** habet t
84, 4 ***τὸν*** habet t
105, 17 ***τὴν*** habet t
118, 10 ***χήραις καὶ ὀρφανοῖς δίκαιος***
124, 1 ***εἰς*** habet t
150, 10 ***ἀλεκτοροφωνίας*** t
199, 1 ***ἀποστραφεὶς ἀποκλείσης*** t
203, 22 ***ὁ*** habet t
206, 17 ***τὸ*** habet t
208, 24 ***σὴν*** habet t
209, 19 ***ἐν ἄλλω ἀποστείλας ἐπὶ γῆ*** t

---

| | | |
|---|---|---|
| p 86 *adnot* 3 *a fine* | wyzt *scribe* | wyz |
| 108, 26 *marg* | ܦ | ܐ |
| 110, 11 „ | ܠܦ | ܠܐ |
| 112, 3 „ | ܒܦ | ܒܐ |
| 229, 8 *a fine* | VIII, 15 | VIII, 14 |

C.V.

N 1144 1202